Commentarium In Evangelium Matthaei (Lib. 12-17) (Greek)

Origen of Alexandria (c. AD 185–253)

SermonIndex.net / Church Fathers

Contents

Book 12 **1**

Book 13 **35**

Book 14 **63**

Book 15 **87**

Book 16: <Ὡριγένους> τῶν εἰς τὸ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμος ιζ΄ **120**

Book 17: Τῶν εἰς τὸ κατὰ Ματθαῖον Ὡριμένους ἐξηγητικῶν τόμος ιζ **155**

Book 12

Τῶν εἰς τὸ κατὰ Ματθαῖον □εὐαγγέλιον□ ἐξηγητικῶν Ὠριγένους τόμος ιβ΄.

Καὶ προσελθόντες Σαδδουκαῖοι καὶ Φαρισαῖοι, πειράζοντες ἐπηρώτων αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς (16,1 [—4]).

Οἱ πρὸς ἀλλήλους διαφωνοῦντες περὶ τῶν ἀναγκαιοτάτων δογμάτων Σαδδουκαῖοι καὶ Φαρισαῖοι — πρεσβεύουσι γὰρ οἱ μὲν Φαρισαῖοι τὴν τῶν νεκρῶν ἀνάστασιν ἐλπίζοντες εἶναί τινα μέλλοντα αἰῶνα, οἱ δέ Σαδδουκαῖοι οὐδέν ἴσασι μετὰ τὸν βίον τοῦτον ἀνθρώπῳ ἀποκείμενον, ἤτοι ὡς ἐπ᾽ ἀρετὴν προκόψαντι ἢ μηδὲ τὴν ἀρχῆν ἐπιτηδεύσαντι ἐξελθεῖν τῶν τῆς κακίας ὅρων — οὗτοι, ἵνα πειράσωσι τὸν Ἰησοῦν, ὁμονοοῦσιν. ὅμοιον δέ <τι> τούτων γεγένηται, ὡς ὁ Λουκᾶς ἀνέγραψε, Ἡρώδην καὶ Πιλᾶτον γενομένους ἀλλήλοις φίλους, ἵνα τὸν Ἰησοῦν ἀποκτείνωσι· τάχα γὰρ ἡ μέν πρὸς ἀλλήλους αὐτῶν μάχη ἐποίησεν ἄν τὸν μὲν Ἡρώδην μὴ εἰς χάριν τοῦ λέγοντος λαοῦ »σταύρου σταύρου αὐτὸν« ἀξιοῦν αὐτὸν ἀναιρεθῆναι, τὸν δὲ Πιλᾶτον ῥοπήν τινα ἔχοντα τὴν ὑπὲρ τοῦ <ἀπολῦσαι τὸν Ἰησοῦν□ μὴ ἄν αὐτὸν καταδεδικάσθαι, τῆς πρὸς Ἡρώδην ἔχθρας τῇ πρὸς τὸ ἀπολῦσαι τὸν Ἰησοῦν προ- ϋπαρχούσῃ ῥοπῇ. ἡ δέ νομιζομένη φιλία τὸν Ἡρώδην ἰσχυρότερον πρὸς τὴν κατὰ τοῦ Ἰησοῦ ἀξίωσιν πεποίηκε παρὰ Πιλᾶτον, βουλόμενον τάχα καὶ διὰ τὴν νεαρὰν φιλίαν κεχαρισμένον τι τῷ Ἡρώδῃ καὶ παντὶ τῷ Ἰουδαίων ἔθνει ποιῆσαι. Πολλάκις δὲ καὶ νῦν ὁρᾶν ἔστιν ἐν τῷ βίῳ καὶ τοὺς διαφωνότατα δόγματα εἴτε ἐν τῇ Ἑλλήνων φιλοσοφίᾳ εἴτε καὶ ἐν ἄλλοις λόγοις ἔχοντας ὁμονοεῖν δοκοῦντας, ἵνα χλευάζωσι καὶ προσπολεμῶσι τῷ ἐν τοῖς μαθηταῖς Ἰησοῦ Χριστῷ. ἀπὸ τούτων δ᾽ οἶμαι) ἔστι διαβῆναι τῷ λόγῳ ἐΠὶ τὸ ἰδεῖν, ὅτι μήποτε καὶ τῶν ἀντικειμένων ἐνεργειῶν διαφωνίαν πρὸς ἀλλήλας ἐχουσῶν, ὡς Φαραὼ πρὸς Ναβουχοδονόσορ καὶ Θαραθὰ βασιλέως λἰθιόπων πρὸς Σεναχηρεὶμ βασιλέα Ἀσσυρίων, γίνεταί ποτε συμφωνία κατὰ τοῦ Ἰησοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, οὕτως τάχα καὶ »παρέστησαν οἱ βασιλεῖς τῆς γῆς κοὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό«, οὐδαμῶς πρότερον ἀλλήλοις ὁμονοοῦντες, ἵνα σκοπήσαντες »κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ« »τὸν κύριον τῆς δόξης« ἀποκτείνωσιν.

Ἐπὶ ταῦτα δέ τῷ λόγῳ ἐληλύθαμεν διὰ τοὺς ἅμα προσελθόντας τῷ Ἰησοῦ Φαρισαίους καὶ Σαδδουκαίους, τοὺς ἐν τοῖς περὶ ἀναστάσεως διαφωνοῦντας, καὶ οἱονεὶ συμφωνήσαντας διὰ τὸ πειράσαι τόν σωτῆρα ἡμῶν καὶ ἐπερωτῆσαι

αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. οὐ γὰρ ἀρκούμενοι τοῖς ἐν ταῖς ἰάσεσι πάσης νόσου καὶ πάσης μαλακίας »ἐν τῷ λαῷ« τεραστίοις καὶ τοῖς ἄλλοις παραδόξοις, ὅ ἐν γνώσει πολλῶν πεποιήκει ὁ σωτὴρ ἡμῶν, ἠβούλοντο αὐτὸν ἐπιδεῖξαι αὐτοῖς καὶ ἐξ οὐρανοῦ σημεῖον. καὶ στοχάζομαι ὅτι ὑπενόουν μὲν τὰ ἐπὶ γῆς σημεῖα, ὡς δυνάμενα κοὶ μὴ ἐκ θεοῦ εἶναι οὐκ ὤκνησαν γοῦν λέγειν ὅτι »ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια« ὁ Ἰησοῦς), ἐδόκει δ’ αὐτοῖς μὴ δύνασθαι ἐξ οὐρανοῦ σημεῖον ἀπὸ Βεελζεβοὺλ ἤ τινος πονηρᾶς γίνεσθαι δυνάμεως. ἡμάρτανον δέ περὶ ἀμφοτέρων , τῶν τε ἐπὶ γῆς καὶ τῶν ἐξ οὐρανοῦ σημείων, μὴ δόκιμοι πραπεζῖται μηδέ ἐπιστάμενοι διακρίνειν πνεύματα ἐνεργοῦντα, ποῖα μέν ἀπὸ τοῦ θεοῦ ἐστι ποῖα δὲ ἀφεστηκότα αὐτοῦ. καὶ ἐχρῆν αὐτοὺς εἰδέναι ὅτι καὶ τὰ πολλὰ τῶν ἐπὶ Μωσέως κατὰ τῆς Αἰγύπτου τεραστίων, οὐκ ὄντα ἐξ οὐρανοῦ, σαφῶς ἦν τοῦ θεοῦ, καὶ τὸ πεσὸν »πῦρ ἐξ οὐρανοῦ« ἐπὶ τὰ πρόβατα τοῦ Ἰὼβ οὐκ ἦν ἀπὸ τοῦ θεοῦ· τοῦ αὐτοῦ γὰρ ἐκεῖνο τὸ πῦρ ἦν, οὗ ἦσαν καὶ οἱ αἰχμαλωτεύσαντες« καὶ οἱ ποιήσαντες »τρεῖς ἀρχὰς« ἱππέων κατὰ κτηνῶν τοῦ Ἰώβ. οἶμαι δ’ ὅτι καὶ ἐν τῷ Ἡσαΐᾳ, ὡς δυναμένων σημείων δειχθῆναι κοὶ ἀπὸ γῆς καὶ ἀπὸ οὐρανοῦ ὀληθῶν μέν ἐκ θεοῦ, ἐν πάσῃ« δὲ »δυνάμει καὶ σημείοις Λ·οὶ τέρασι ψεύδους« ἀπὸ τοῦ πονηροῦ) λέλεκται τῷ Ἀχάζ · »αἴτησον σεαυτῷ σημεῖον βορὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕφος« · εἰ γὰρ μὴ ἦν σημεῖα καὶ οὐ »παρὰ κυρίου τοῦ θεοῦ« τινα τῶν εἰς βάθος καὶ τῶν εἰς ὕφος, οὐκ ἄν ἐλέλεκτο τὸ »αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕφος«. εὖ οἶδα δὲ ὅτι δόξει τινὶ βίαιον εἶναι τὸ τοιοῦτον τῆς περὶ τοῦ »αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου« ἐκδοχῆς· ἀλλὰ ἐπίστησον τῷ εἰρημένῳ παρὰ τῷ ἀποστόλῳ περὶ τοῦ ἀνθρώπου τῆς ἁμαρτίας«, τοῦ υἱοῦ »τῆς ἀπωλείας«, ὅτι »ἐν πάσῃ δυνάμει κοὶ σημείοις κοὶ τέρασι ψεύδους καὶ πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις« ἐκεῖνος ἐπιφανεῖται, μιμούμενος πάντα τέρατα τὰ τῆς ἀληθείας. καὶ ὥσπερ οἱ τῶν Αἰγυπτίων ἐπαοιδοὶ καὶ φαρμακοί, ὡς ἐλάττους τοῦ ἀνθρώπου τῆς ἁμαρτίας« καὶ τοῦ υἱοῦ τῆς ἀπωλείας«, δυνάμεις τινὰς ἐμιμήσαντο καὶ σημεῖα καὶ τέρατα τῆς ἀληθείας, ποιοῦντες τὰ τοῦ ψεύδους εἰς τὸ μὴ πιστεύεσθαι τὰ ἀληθῆ, οὕτως οἶμαι τὸν ἄνθρωπον τῆς ἁμαρτίας τὰ *** σημεῖα μιμήσασθαι καὶ τὰς δυνάμεις.

Τάχα δέ κοὶ ταῦτα ὑφορώμενοι διὰ τὰς περὶ αὐτοῦ προφητείας οἱ Φαρισαῖοι ζητῶ δ’ εἰ καὶ Σαδδουκαῖοι) πειράζοντες ἐπηρώτων σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς τὸν Ἰησοῦν. εἰ δέ μὴ τοῦτο λέγοιμεν αὐτοὺς ὑπονενοηκέναι, τί φήσομεν αὐτοὺς πεπονθέναι πρὸς τὰ ὑπὸ τοῦ Ἰησοῦ γινόμενα τεράστια ἀτέγκτους μένοντας καὶ μὴ δυσωπουμένους τῶν γινομένων τὰ παράδοξα; ἐὰν δέ τις ὑπολαμβάνῃ ἀπολογίας ἡμᾶς ἀφορμὰς δεδωκέναι τοῖς Φαρισαίοις καὶ Σαδδουκαίοις, ὅπου μὲν »ἐν Βεελζεβοὺλ« φάσκουσιν ἐκβεβλῆσθασι ὑπὸ Ἰησοῦ τὰ δαιμόντα, ὅπου δὲ ἐπερωτῶσι μετὰ τοῦ πειράζειν τὸν Ἰησοῦν περὶ σημείου οὐρανίου, ἴστω ὅτι ὑπὸ μέν πιθανότητός φαμεν αὐτοὺς περιεσπᾶσθαι πρὸς τὸ μὴ πιστεῦσαι τοῖς τοῦ Ἰησοῦ παραδόξοις, οὐ μὴν ὥστε καὶ συγγνωστοὺς εἶναι μὴ ἐνορῶντας τοῖς τῶν προφητῶν λόγοις πληρουμένοις ἐν τοῖς πράξεσι τοῦ Ἰησοῦ,

ἅς οὐδαμῶς πονηρὰ δύναμις μιμήσασθαι οἵα τε ἦν. ψυχὴν γὰρ ἐξελθοῦσαν ἐπιστρέψαι, ὥστε ἤδη ὄζοντα καὶ τετάρτην ἡμέραν ἄγοντα ἀπὸ τῶν μνημείων ἐξελθεῖν, οὐδενὸς ἦν ἢ τοῦ ἀκούσαντος ἀπὸ τοῦ πατρός· »ποιήσωμεν ἄνθρωπον κοτ᾽ εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν«. ἀλλὰ καὶ ἀνέμοις κελεῦσαι καὶ ὁρμὴν θαλάσσης λόγῳ παῦσαι, οὐδενὸς ἄλλου ἦν ἢ ἐκείνου, »δι᾽ οὗ τὰ πάντα« καὶ αὐτὴ ἡ θάλασσα καὶ οἱ ἄνεμοι γεγόνασιν. ἔτι δὲ καὶ ἡ διδασκαλία ἐπὶ τὴν ἀγάπην τοῦ κτίσαντος προ[σ]καλουμένη συνᾳδόντως νόμῳ καὶ προφήταις καὶ τὰς ὁρμὰς καταστέλλουσα καὶ τὰ ἤθη κατ᾽ εὐσέβειαν μορφοῦσα τί ἄλλο ἐδήλου τοῖς ὁρᾶν δυναμένοις ἢ ὅτι »ἀληθῶς θεοῦ υἱὸς« ἦν ὁ τὰ τοσαῦτα ἐργαζόμενος; ἐφ᾽ οἷς εἶπε καὶ τοῖς μαθηταῖς τοῦ Ἰωάννου· » πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ὅσα εἴδετε καὶ ἠκούσατε · τυφλοὶ ἀναβλέπουσι« καὶ τὰ ἑξῆς.

Μετὰ Μετὰ ταῦτα κατανοήσωμεν τίνα τρόπον, ἐπερωτηθεὶς περὶ σημείου ἑνός, ἕν᾽ ἐκ τοῦ οὐρανοῦ ἐπιδείξῃ τοῖς ἐπερωτήσασι Φαρισαίοις καὶ Σαδδουκαίοις, ἀποκρίνεται καὶ λέγει· γενεὰ Πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνὰ τοῦ Προφήτου , ὅτε καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθε. τὸ σημεῖον δέ ἄρα τοῦ Ἰωνᾶ κατὰ τὴν ἐρώτησιν αὐτῶν οὐχ ἁπλῶς σημεῖον ἦν, ἀλλὰ καὶ ἐξ οὐρανοῦ· ὥστε αὐτὸν καὶ τοῖς πειράζουσι καὶ ἐκπιζητοῦσι σημεῖον ἐξ οὐρανοῦ οὐρανοῦ ἧττον κατὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα δεδωκέναι τὸ σημεῖον. εἰ γὰρ ὡς Ἰωνᾶς ἐποίησεν »ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς« καὶ μετὰ τοῦτο ἐνέστη ἀπ αὐτῆς, πόθεν ἄν λέγοιμεν τὸ τῆς ἀναστάσεως τοῦ Ἰησοῦ γεγονέναι σημεῖον ἢ ἀπὸ τοῦ οὐρανοῦ; καὶ μάλιστα ἐπεὶ παρὰ τὸν καιρὸν τοῦ πάθους γέγονεν ἅμα τῷ εὐεργετουμένῳ λῃστῇ εἰς τὸν παράδεισον τοῦ θεοῦ, μετὰ τοῦτο οἶμοι) καταβαίνων εἰς ᾅδου πρὸς τοὺς νεκροὺς ὡς »ἐν νεκροῖς ἐλεύθερος«. καὶ δοκεῖ μοι συνάπτειν τὸ ἀφ᾽ ἑαυτοῦ σημεῖον ὁ σωτὴρ τῷ λόγῳ τοῦ κατὰ τὸν Ἰωνᾶν σημείου, λέγο)ν οὐχ ὅμοιον ἐκείνῳ μόνον δίδοσθαι σημεῖον ὑπ᾽ αὐτοῦ, ἀλλὰ καὶ αὐτὸ ἐκεῖνο. πρόσχες γὰρ τῷ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. οὐκοῦν ἐκεῖνο τοῦτο ἦν τῷ ἐκεῖνο τούτου δηλωτικὸν γεγονέναι, ἵνα ἡ ἐκείνου λύσις τοῦ σημείου ἀσάφειαν αὐτόθεν ἔχοντος τὸ παθεῖν ᾖ τὸν σωτῆρα καὶ »ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας« πεποιηκέναι. ἅμα δὲ καὶ καθολικόν τι μανθάνομεν ὅτι, εἴπερ τὸ σημεῖον σημαίνει τι, ἕκαστον τῶν ἀναγεγραμμένων σημείων εἴτε ὡς ἐν γενομένῃ ἱστορίᾳ εἴτε ὡς <ἐν> ἐντολῇ) δηλωτικόν τινός ἐστιν πληρουμένου · οἷον τὸ σημεῖον Ἰωνᾶ, ἐξιόντος μετὰ μετὰ ἡμέρας ἀπὸ τῆς κοιλίας »τοῦ κήτους«, τῆς τοῦ σωτῆρος ἡμῶν ἦν ἀναστάσεως μετὰ »τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας« ἀνισταμένου ἀπὸ τῶν νεκρῶν, καὶ ἡ περιτομὴ λεγομένη »σημεῖον« τῆς παρὰ τῷ Παύλῳ δηλουμένης ἐν τῷ · »ἡμεῖς γὰρ ἐσμεν ἡ περιτομή«. ζήτει δέ καὶ σὺ πᾶν τὸ ἐν τοῖς παλαιοῖς γράμμασι σημεῖον τίνος ἐν τῇ καινῇ φῇ τύπος πράγ> ἐστι, καὶ τὸ ἐν καινῇ διαθήκῃ ὀνομασθὲν σημεῖον τίνος ἐστὶν ἢ ἐν τῷ μέλλοντι αἰῶνι δηλωτικὸν ἢ καὶ ἐν ταῖς ὕστερον γενεαῖς μετὰ τὸ γεγονέναι τὸ σημεῖον.

Κοὶ πονηρὰν μὲν εἶπεν αὐτοὺς γενεὰν διὰ τὴν ἀπὸ τοῦ πονηροῦ ποιότητα εἰς ἐγγενομένην ἐγγενομένην ἔστι δέ ἡ Πονηρία ἑκούσιος κακοποιία), μοιχαλίδα δέ διὰ τοῦτο, ἐπεὶ τὸν τροπικῶς λεγόμενον ἄνδρα, τῆς ἀληθείας λόγον ἢ νόμον, καταλιπόντες οἳ Φαρισαῖοι καὶ Σαδουκαῖοι ἐμοιχεύθησαν ὑπὸ τοῦ ψεύδους καὶ τοῦ νόμου »τῆς ἁμαρτίας« εἰ γὰρ δύο εἰσὶ νόμοι, ὅ τε ἐν τοῖς μέλεσιν« ἡμῶν ἀντιστρατευόμενος »τῷ νόμῳ τοῦ νοὸς« καὶ ὁ »τοῦ νοός«, λεκτέον ὅτι ὁ μὲν »τοῦ νοὸς« τουτέστιν ὁ »πνευματικὸς«) ἀνήρ ἐστι, πρὸς ὃν ἡρμόσθη ἀπὸ θεοῦ γυνὴ ἡ ψυχὴ) ἀνδρὶ »τῷ νόμῳ«) κατὰ τὸ γεγραμμένον »παρὰ δέ θεοῦ ἁρμόζεται ἀνδρὶ γυνή«, ὁ δὲ ἄλλος μοιχός ἐστι τῆς ὑποτασσομένης αὐτῷ ψυχῆς καὶ δι᾽ αὐτὸν μοιχαλίδος χρηματιζούσης. ὅτι δέ ὁ νόμος ἀνὴρ τῆς ψυχῆς ἐστι, σαφῶς ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος παριστᾷ λέγων ὅτι »ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ · ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ« κοὶ τὰ ἑξῆς. πρόσχες γὰρ ἐν τούτοις ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ᾽ ὅσον χρόνον ζῇ (ὁ νόμος ὡς ἀνὴρ γυναικός) · ἡ γὰρ ὕπανδρος γυνὴ ἡ ὑπὸ τὸν νόμον ψυχὴ) τῷ ζῶντι ἀνδρὶ δέδεται ὄντι) νόμῳ· ἐὰν δέ ἀποθάνῃ ὁ ἀνὴρ ὁ νόμος) κατήργηται ἀπὸ τοῦ νόμου ὅς ἐστιν ἀνήρ)«. ἀποθνῄσκει δέ ὁ νόμος τῷ ἀναβάντι ἐπὶ τὴν μακαριότητα καὶ μηκέτι ὑπὸ νόμον πολιτευομένῳ, ἀλλ᾽ ὡς ὁ Χριστὸς πράττοντι, ὅς εἰ καὶ γέγονεν ὑπὸ νόμον« διὰ τοὺς ὑπὸ νόμον. »ἵνα τοὺς ὑπὸ νόμον κερδήσῃ«, οὔτε ἔμεινεν ὑπὸ νόμον οὔτε ἀφῆκεν ὑπὸ νόμον τοὺς ὑπ᾽ αὐτοῦ ἐλευθερωθέντας· ἀνήγαγε γὰρ αὐτοὺς ἅμα ἑαυτῷ ἐπὶ τὴν ὑπὲρ τὸν νόμον θείαν πολιτείαν, τὸν περιέχοντα ὡς πρὸς τοὺς ἀτελεστέρους καὶ ἔτι ἁμαρτάνοντας) θυσίας περὶ ἀφέσεως ἁμαρτημάτων. ὁ οὖν ἀναμάρτητος καὶ μηκέτι δεόμενος τῶν νομικῶν θυσιῶν ὑπερβέβηκε τελειωθεὶς τάχα καὶ τὸν πνευματικὸν νόμον, καὶ γέγονεν ἐν τῷ ὑπὲρ αὐτὸν λόγῳ, ὅστις τοῖς μὲν ἐν σαρκὶ ζῶσι »σὰρξ« ἐγεγόνει. τοῖς δέ μηδαμῶς ἔτι »κατὰ σάρκα« στρατευομένοις, ὡς ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν«, θεὸς λόγος ὤν, θεωρεῖται καὶ ἀποκαλύπτει τὸν πατέρα. τρία τοίνυν κατὰ τὸν τόπον νοητέον, γυναῖα ὕπανδρον ὑπὸ ἄνδρα τὸν νόμον, καὶ γυναῖκα μοιχαλίδα »ζῶντος τοῦ ἀνδρὸς« νόμου γινομένην ἀνδρὶ ἑτέρῳ«, τῷ νόμῳ τῆς σαρκός, τὴν ψυχήν, κοὶ γυναῖκα τῷ ἀδελφῷ τοῦ τεθνηκότος ἀνδρὸς γαμουμένην, τῷ ζῶντι καὶ μὴ ἀποθνῄσκοντι λόγῳ, ὅς »ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει, θάνατος« γαρ »αυτου ουκετι κυριευει«.

Καὶ ταῦτα διὰ τὸ »ἐὰν ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ τοῦ νόμου τοῦ ἀνδρὸς« καὶ διὰ τὸ »ἄρ᾽ οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ« καὶ διὰ τὸ »ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ«. αὐτὸ δὲ τὸ »ἄρ᾽ οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει« παρειλήφαμεν βουλόμενοι σαφῶς παραστῆσαι, διὰ τί τοῖς πειράζουσι Φαρισαίοις καὶ Σαδδουκαίοις καὶ ἐπιζητοῦσι ἐπιζητοῦσι ἐξ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς ὁ Ἰησοῦς εἶπεν οὐ μόνον τὸ γενεὰ πονηρά, ἀλλὰ καὶ μοιχαλίς. γενικῶς μὲν οἶν ὁ ἐν τοῖς μέλεσι νόμος ὁ ἀντιστρατευόμενος »τῷ νόμῳ τοῦ νοὸς« ὡς μοιχὸς ἀνὴρ μοιχός ἐστι τῆς ψυχῆς · ἤδη δέ κοὶ πᾶσα δύναμις ἀντικειμένη, ἐπικρατοῦσα τῆς ἀνθρωπίνης ψυχῆς κοὶ ἀναμιγνυμένη

αὐτῇ, μοιχός ἐστιν αὐτῆς, νυμφίον ἐχούσης ὑπὸ τοῦ θεοῦ οὐτῇ δοθέντα τὸν λόγον. μετὰ ταῦτα γέγραπται ὅτι καταλιπὼν αὐτοὺς ἀπῆλθεν· πῶς γὰρ οὐκ ἔμελλεν ὁ νυμφίος λόγος καταλιπεῖν τὴν μοιχαλίδα γενεὰν καὶ ἀπιέναι ἀπ᾽ αὐτῆς; εἴποις δ᾽ ἄν ὅτι τὴν Ἰουδαίων συναγωγὴν ὡς μοιχαλίδα καταλιπὼν ὁ τοῦ θεοῦ λόγος ἀπελήλυθεν ἀπ᾽ αὐτῆς, καὶ ἔλαβε »γυναῖκα πορνείας« ἀπὸ τῶν ἐθνῶν· ἐπεὶ ἐκεῖνοι μὲν ὄντες πόλις πιστὴ Σιὸ)ν« γεγόνασι πόρνοι. οὗτοι δὲ ὡς ἡ Ῥαὰβ ἡ πόρνη τοὺς τοῦ Ἰησοῦ κατασκόπους ὑποδεξαμένη διεσώθη πανοικί, μετὰ τοῦτο μηκέτι πορνεύουσα, ἀλλὰ ἐλθοῦσα παρὰ τοὺς τοῦ Ἰησοῦ πόδας καὶ βρέχουσα αὐτοὺς τοῖς τῆς μετανοίας δάκρυσι καὶ ἀλείφουσα τῇ τῆς ἁγίας πολιτείας τῶν μύρο)ν εὐωδίᾳ, δι᾽ ἣν Σίμωνι τῷ λεπρῷ τῷ προτέρῳ λαῷ) ὀνειδίζων ἔλεγεν ὅσα γέγραπται.

Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν (16, 5 [— 12]).

Ἐπεὶ μὴ χρήσιμοι ἦσαν οἱ ἄρτοι οἱ πρὸ τοῦ πέραν τοῖς ἐλθοῦσι μαθηταῖς εἰς τὸ πέραν ἄλλων γὰρ ἔχρῆζον πρὸ τοῦ πέραν καὶ ἄλλων ἐδέοντο εἰς τὸ πέραν), διὰ τοῦτο ἀμελήσαντες τοῦ ἀπάγεσθαι ἀπιόντες εἰς τὸ πέραν ἄρτους, ἐπελάθοντο αὐτοὺς σὺν ἑαυτοῖς λαβεῖν. εἰς τὸ πέραν δὲ γεγόνασι μαθηταὶ τοῦ Ἰησοῦ οἳ διαβάντες ἀπὸ τῶν σωματικῶν ἐπὶ τὰ πνευματικὰ καὶ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητά. καὶ τάχα ἵνα ἀποστρέψηται τοὺς διὰ τοῦ ἐφθακέναι εἰς τὸ πέραν) ἀρξαμένους πνεύματι τοῦ παλινδρομεῖν ἐπὶ τὰ σάρκινα, εἶπε τοῖς εἰς τὸ πέραν ὁ Ἰησοῦς· ὁρᾶτε καὶ προσέχετε. ἦν γὰρ τι φύραμα διδασκαλίας καὶ ζύμης ἀληθῶς παλαιᾶς, τῆς κατὰ τὸ ψιλὸν γράμμα καὶ διὰ τοῦτο οὐκ ἀπηλλαγμένης τῶν ἀπὸ κακίας, ὅπερ παρεῖχον Φαρισαῖοι κοὶ Σαδδουκαῖοι ἀφ᾽ ἧς οὐ βούλεται Ἰησοῦς ἐσθίειν ἔτι τοὺς ἰδίους μαθητὰς ποιήσας αὐτοῖς νέον« καὶ πνευματικὸν »φύραμα«, ἑαυτὸν παρασχὼν τοῖς ἀποστᾶσι τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων καὶ προσεληλυθόσιν αὐτῷ) ἄρτον ζῶντα ἐξ οὐρανοῦ καταβεβηκότα καὶ ζωὴν διδόντα τῷ κόσμῳ«. ἐπεὶ δὲ ὁδός ἐστι τῷ μηκέτι χρησομένῳ ζύμῃ κοὶ φυράματι καὶ διδασκαλίᾳ Φαρισαίων καὶ Σαδδουκαίων πρότερον μὲν τὸ θεωρεῖν δεύτερον δέ τὸ προσέχειν, ἵνα μήποτε ἐκ τοῦ μὴ βλέπειν καὶ ἐξ ἀπροσεξίας μεταλάβῃ τις τῆς ἀπηγορευμένης ζύμης ἐκείνων, διὰ τοῦτο πρῶτον τὸ ὁρᾶτε λέγει τοῖς μαθηταῖς καὶ δεύτερον τὸ προσέχετε. διορατικῶν οὖν ἐστι καὶ προσεκτικῶν χωρίζειν τὴν ζύμην τῶν Φαρισαίων καὶ Σαδδουκαίων καὶ πᾶσον οὐκ ἀζύμων »εἰλικρινείας καὶ ἀληθείας« τροφὴν ἀπὸ τοῦ ζῶντος ἄρτου καὶ ἐξ οὐρανοῦ καταβεβηκότος, ἵνα τὰ μὲν τῶν Φαρισαίων καὶ Σαδδουκαίων μὴ προσίηται τὸν δὲ ζῶντα κοὶ ἀληθινὸν ἄρτον ἐσθίων τις ῥωσθῇ τὴν ψυχήν.

Κοὶ τὸ ῥητὸν δὲ εὐκαίρως ἄν προσφέροιμεν τοῖς μετὰ τοῦ Χριστιανίζειν αἱρουμένοις τὸ σωματικῶς Ἰουδαΐζειν · οὗτοι γὰρ οὐχ ὁρῶσιν οὐδὲ προσέχουσιν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἀλλὰ παρὰ τὸ βούλημα τοῦ ἀπαγορεύσαντος αὐτὴν Ἰησοῦ τὸν Φαρισαίων ἄρτον ἐσθίουσι. καὶ πάντες δ᾽ (οἶμαι) ὅσοι οὐ βούλονται φρονεῖν ὅτι ὁ νόμος πνευματικός ἐστιν« κοὶ

»σκιὰν« ἔχει »τῶν μελλόντων ἀγαθῶν« καὶ »σκιά ἐστι τῶν μελλόντων«, οὐδὲ ζητοῦσι τίνος μέλλοντος ἀγαθοῦ ἐστι σκιὰ ἕκαστος τῶν γόμων, οὐχ ὁρῶσιν οὐδέ προσέχουσιν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων , οἱ δέ καὶ τὴν τῶν νεκρῶν ἀθετοῦντες ἀνάστασιν οὐ φυλάττονται ἀπὸ τῆς ζύμης τῶν Σαδδουκαίων , κοὶ πολλοί γε ἐν τοῖς ἑτεροδόξοις διὰ τὴν περὶ ἀναστάσεως νεκρῶν ἀπιστίαν εἰσὶν οἱ ἐμφυρόμενοι τῇ τῶν Σαδδουκαίων ζύμῃ. ταῦτα δὴ λέγοντος τοῦ Ἰησοῦ διελογίζοντο ἐν ἑαυτοῖς οὐ γεγωνὸς λέγοντες οἱ μαθηταί, ἀλλ᾽ ἐν ταῖς καρδίαις ἑαυτῶν· ὅτι ἄρτους οὐκ ἐλάβομεν. κοὶ οἱονεὶ τοιαῦτα ἦν ἅ ἔλεγον· εἰ μέν εἴχομεν ἄρτους, οὐκ ἄν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων εἰλήφειμεν· ἐπεὶ δέ ἀπορίᾳ ἄρτων κινδυνεύομεν ἀπὸ τῆς ἐκείνων ζύμης λαβεῖν, οὐ βούλεται δ᾽ ἡμᾶς ὁ σωτὴρ παλινδρομεῖν ἐπὶ τὴν ἐκείνων διδασκαλίαν, διὰ τοῦτο ἡμῖν εἶπε τὸ ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. κοὶ ταῦτα μέν ἐκεῖνοι διελογίζοντο· ὁ δὲ βλέπων Ἰησοῦς τὰ ἐν ταῖς καρδίαις αὐτῶν καὶ ἀκούων τῶν ἐν αὐταῖς λόγων, ὡς τῶν καρδιῶν ἐπίσκοπος ἀληθής, ἐπιπλήσσει αὐτοῖς ὡς οὐ νοοῦσιν οὐδὲ μεμνημένοις ἄρτων, ὧν παρ᾽ αὐτοῦ εἰλήφασι, δι᾽ οὓς καὶ ἐν ἀπορίᾳ δοκοῦντες εἶναι ἄρτων οὐκ ἔχρηζον τῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ζύμης.

Εἶτα σαφηνίζων καὶ γυμνότερον παριστὰς (τοῖς περιελκομένοις διὰ τὴν ὁμωνυμίαν ἄρτου καὶ ζύμης) ὅτι μὴ περὶ αἰσθητοῦ ἔλεγεν αὐτοῖς ἄρτου, ἀλλὰ περὶ τῆς ἐν τῇ διδασκαλίᾳ ζύμης, ἐπιφέρει τὸ πῶς οὐ νοεῖτε, ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν; προσέχετε δὲ ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. καίτοι μηδὲ γυμνώσαντος αὐτοῦ τὴν ἑρμηνείαν ἀλλ᾽ ἔτι ἐπιμένοντος τῇ τροπολογίᾳ, συνῆκαν οἱ μαθηταὶ ὅτι ὁ λόγος τῷ σωτῆρι ἦν περὶ διδοσκαλίας, τροπικῶς ζύμης εἰρημένης, ἣν ἐδίδασκον Φαρισαῖοι καὶ Σαδδουκαῖοι. ὅσον μὲν οὖν ἔχομεν σὺν ἡμῖν τὸν Ἰησοῦν ποιοῦντα τὴν φάσκουσαν ἐπαγγελίον· »ἐδοὺ ἐγὼ μεθ᾽ ἡμῶν εἰμι πόσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος«, οὐ δυνάμεθα »νηστεύειν« οὐδὲ ἀπορεῖν τροφῆς, ὡς διὰ τὴν ἀπορίαν αὐτῆς ζητεῖν κἂν παρὰ Φαρισαίων καὶ Σαδδουκαίων τῆς ἀπηγορευμένης ζύμης λαμβάνειν καὶ ἐσθίειν. γένοιτο δ᾽ ἄν ποτε καιρός, συνόντος αὐτοῦ, τοῦ ἡμᾶς ἀτροφεῖν, ὡς ἐν τοῖς ἀνωτέρω λέλεκται ἐν τῷ »ἤδη ἡμέρας τρεῖς παραμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσιν«. ἀλλὰ κἂν τοῦτο συμβῇ, μὴ βουλόμενος ἡμᾶς »νήστεις ἀπολῦσαι, μήποτε ἐκλυθῶμεν ἐν τῇ ὁδῷ«, εὐχαριστεῖ ἐπὶ τοῖς παρὰ τοῖς μαθηταῖς ἄρτοις καὶ ποιεῖ ἡμῖν περισσεῦσαι ἀπὸ τῶν ἑπτὰ (ὡς ἀποδεδώκαμεν) ἄρτων τὰς ἑπτὰ σπυρίδας. ἔτι δὲ καὶ τοῦτο τηρητέον (διὰ τοὺς οἰομένους μὴ πάνυ τι τὴν θεότητα παρίστασθαι τοῦ σωτῆρος ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου), ὅτι [τὸ] διαλογιζομένων ἐν ἑαυτοῖς τῶν μαθητῶν καὶ λεγόντων ἄρτους μὴ ἔχειν <τὸ> γνῶναι τοὺς διαλογισμοὺς τὸν Ἰησοῦν καὶ εἰπεῖν· τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε, οὐκ ἀνθρώπινον ἦν· »μονώτατος« γὰρ γινώσκει τὰς καρδίας τῶν ἀνθρώπων (ὡς ὁ Σολομῶν ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν φησιν) ὁ κύριος. ἐπεὶ δὲ τοῦ Ἰησοῦ εἰπόντος· προσέχετε ἀπὸ τῆς ζύμης, συνῆκαν οἱ μοθηταὶ ὅτι οὐκ εἶπε προοέχειν ἀπὸ τῶν ἄρτων, ἀλλ᾽ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων, ἐπιστήσεις εἰ, ὅπου ποτ᾽ ἂν ζύμη ὀνομασθῇ, εἰς διδαχὴν τροπολογεῖται, εἴτε ἐν νόμῳ εἴτε καὶ

ἐν ταῖς μετὰ τὸν νόμον γραφαῖς. οὕτω δὲ μήποτε ζύμη οὐ προσφέρεται ἐπὶ τὸ θυσιαστήριον· οὐ γὰρ δεῖ τὰς εὐχὰς τρόπον ἔχειν διδασκαλίας, ἀλλ᾽ εἶναι αὐτὸ μόνον αἰτήσεις ἀγαθῶν ἀπὸ τοῦ θεοῦ. ζητήσαι δ᾽ ἄν τις διὰ τὰ ἀποδεδομένα περὶ τῶν μαθητῶν ἐλθόντων εἰς τὸ πέραν, εἰ δύναταί τις ἐλθὼν εἰς τὸ πέραν ὀνειδίζεσθαι ὡς ὀλιγόπιστος καὶ ὡς οὐδέπω νοῶν οὐδὲ μνημονεύων τῶν ὑπὸ τοῦ Ἰησοῦ γεγενημένων. οὐ χαλεπὸν δ᾽ οἶμαι) πρὸς τοῦτο εἰπεῖν ὅτι, ὡς πρὸς τὸ τέλειον«, ὅπερ ὅταν ἔλθῃ, τὸ ἐκ μέρους καταργηθήσεται«, πᾶσα ἡ ἐνταῦθα πίστις ἡμῶν ὀλιγοπιστία ἐστί, καὶ ὡς πρὸς ἐκεῖνο οὐδέπω νοοῦμεν οἱ »ἐκ μέρους« γινώσκοντες οὐδέ μνημονεύομεν · οὐ γὰρ διαρκῆ καὶ συμπαρεκτεινομένην μνήμην ἀναλαβεῖν δυνάμεθα τῷ πλήθει τῆς φύσεως τῶν θεωρημάτων.

Ἔτι δέ ἔστι καὶ ἐντεῦθεν μαθεῖν ὅτι καὶ ἐπὶ μόνοις διαλογισμοῖς οὓς ἐν ἑαυτοῖς διαλογιζόμεθα, ἔσθ᾽ ὅτε ἐγκαλούμεθα καὶ ὡς ὀλιγόπιστοι ὀνειδιζόμεθα. ἐγὼ δ᾽ οἶμοι ὅτι, ὥσπερ μοιχεύει τις ἐν τῇ καρδίᾳ« μόνη οὐ πάντως φθάνων κοὶ ἐπὶ τὴν πρᾶξιν, οὕτω καὶ τὰ λοιπὰ τῶν ἀπηγορυμένων ἐν μόνη τῇ καρδίᾳ τις πράττει. ὡς οὖν ὁ μοιχεύσας »ἐν τῇ καρδίᾳ« ἀνάλογον τῇ τοιαύτη μοιχείᾳ κολασθήσεται, οὕτως καὶ ὁ τῶν ἀπηγορευμένων τι ποιήσας ἐν τῇ καρδίᾳ, φέρ᾽ εἰπεῖν κλέψας ἐν μόνη καρδίᾳ ἢ ψευδομαρτυρήσας ἐν μόνη καρδίᾳ, οὐχ ὡς ὁ καὶ ἔργῳ μὲν κλέψας ἢ καὶ τὴν πρᾶξιν τῆς ψευδομαρτυρίας ἐπιτελέσας, ὡς δέ μόνον ἐν τῇ καρδίᾳ τὰ τοιαῦτα παιήσας καλασθήσεται, κοὶ τοῦτο εἰ Παρ᾽ αὐτὸν μὴ ἦλθε καὶ ἐπὶ τὴν μοχθηρὰν πρᾶξιν · εἰ γὰρ πρὸς τῷ βεβουλῆσθαι ἐνεχείρησε μὲν οὐ τέτευχε δέ, κολασθήσεται οὐχ ὡς τῇ καρδίᾳ μόνη, ἀλλὰ καὶ τῇ πράξει ἡμαρτηκώς. ζητήσαι δ᾽ ἄν τις πρὸς τὰ τοιαῦτα, εἰ μοιχεύει μέν τις »ἐν τῇ καρδίᾳ« μόνη κἄν μὴ τὸ ἔργον τῆς μοιχείας ποιήσῃ, οὐ σωφρονεῖ δὲ ἐν μόνη τῇ καρδίᾳ· τὸ παραπλήσιον δὲ καὶ περὶ τῶν λοιπῶν ποιήσεις ἐπαινετᾶν. ἔχει δέ τι πιθανῶς ἡμᾶς παραλογίσασθαι συνάμενον ὁ τόπος, ὅπερ τοῦτον οἶμοι) καθαρτέον τὸν τρόπον · μοιχεία μὲν γενομένη ἐν τῇ καρδίᾳ« ἔλαττόν ἐστιν ἁμάρτημα ἢ εἰ προσθείη τις καὶ τὴν πρᾶξιν· ἀμήχανον δέ σωφροσύνην εἶναι ἐν καρδίᾳ ἐμποδίζουσαν τῇ σωφρονικῇ πράξει, εἰ μὴ ἄρα τις καὶ ἐπὶ τούτου τὴν ἐν ἐρημίᾳ βιασθεῖσαν παραλάβοι κατὰ τὸν νόμον) εἰς παράδειγμα παρθένον. ἔστω γὰρ τὴν καρδίαν τινὸς εἶναι καθαρωτάτην, τὴν δὲ βίον πεποιηκέναι, <τὴν> ἐν τῷ ἀκολάστῳ, φθορὰν τοῦ σώματος τῆς σώφρονος — αὕτη δὴ δοκεῖ μοι σώφρων μὲν πάντως εἶναι ἐν τῷ κρυπτῷ, τῷ δὲ σώματι οὐκέτι εἶναι καθαρὰ ὁποία πρὸ τῆς βίας ἦν ἀλλ᾽ οὐχί, ἐπεὶ οὐ καθαρά, ἤδη καὶ ἀκόλαστος.

Ταῦτα καὶ διὰ τὸ ἐλογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους οὐκ· ἐλάβομεν ᾧ ἐπιφέρεται τὸ γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν· ὀλι- γε γόπιστοι, τι διαλογίζεσθε ἐν ἑαυτοῖς καὶ τὰ ἑξῆς· ἔδει γὰρ τὸν περὶ τῶν ἐν τῷ κρυπτῷ φόγον ἐξετασθῆναι καὶ παρανακειμένως αὐτῷ τὸν ἐν τῷ κρυπτῷ ἔπαινον.

θαυμάζω δέ εἰ οἱ μαθηταὶ ταὶ ᾠοντο, πρὶν σαφηνισθῆναι αὐτοῖς ὑπὸ τοῦ Ἰησοῦ τὸν λόγον, ὅτι ἀπαγορεύει αὐτοῖς ὁ διδάσκαλος καὶ ὁ κύριος αἰσθητὴν *** ζύμην Φαρισαίων ἢ Σαδδουκαίων φυλάξασθαι ὡς οὐ καθαρὰν καὶ διὰ τοῦτο

ἀπαγορευομένην, ἵνα μηδ’ ὅτε ἄρτους οὐκ εἰλήφεισαν, τῇ ἐκείνων ζύμῃ χρήσωνται. τὸ δ’ ὅμοιον καὶ ἐπ᾽ ἄλλων μέν ζητήσαιμεν , ἀρκεῖ δέ παραδείγματος χάριν τὸ περὶ τῆς Σαμαρείτιδος ἐν τῷ »πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πόλιν · ὅς δ’ ἄν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν καὶ γὰρ ἐκεῖ ὅσον ἐπὶ τῇ λέξει) ἡ Σαμαρεῖτις δόξει οἴεσθαι περὶ ὕδατος αἰσθητοῦ ἐπαγγέλλεσθαι τὸν σωτῆρα λέγοντα· »ὅς δ’ ἄν πίη ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα«. κἀκεῖνα οὖν τροπολογητέον καὶ συνεξεταστέον ὕδωρ πηγῆς »τοῦ Ἰακώβ«, ἀφ᾽ ἧς ἤντλει ἡ Σαμαρεῖτις, ὕδατι τοῦ Ἰησοῦ, καὶ ἐνταῦθα τό ὅμοιον ποιητέον· τάχα γὰρ οὐδὲ ἄρτοι ἦσαν πεφθέντες, ἀλλά τις ζύμη οὐτὸ μόνον ὠμὴ ἡ διδαχὴ τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

Ἐλθὼν δέ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ (16. 13 — 19]).

Πυνθάνεται τοῖν μαθητῶν ὁ Ἰησοῦς, τίνα λέγουσιν αὐτὸν οἱ ἄνθρωποι εἶναι, ἵν’ ἡμεῖς μάθωμεν ἀπὸ τῆς ἀποκρίσεως τῶν ἀποστόλων τὰς διαφόρους περὶ τοῦ σωτῆρος ἡμῶν ἐν Ἰουδαίοις γενομένας ὑπολήψεις τότε. τάχα δέ καὶ ἵνα οἱ μιμηταὶ τοῦ Ἰησοῦ διδάσκωνται ἀεὶ περιεργάζεσθαι περὶ τῶν λεγομένων ὑπὸ τῶν ἀνθρώπων Περὶ αὐτῶν· ὅπερ <ν ἡμῖν> συμβαλεῖται Πρὸς τό, εἴ μὲν φαῦλον λέγεται, τούτου τὰς

ἀφορμὰς παντὶ τρόπῳ περιαιρεῖν, εἴ τι δέ ἀστεῖον, τούτου τὰς προφάσεις συναύξειν.

πλὴν ὅρα διὰ τὰ διάφορα ἐν Ἰουδαίοις περὶ τοῦ Ἰησοῦ κινήματα. τίνα τρόπον ἀπό τινων οὐχ ὑγιῶν δογμάτων ἔλεγόν τινες μὲν ὅτι Ἰωάννης ἦν ὁ βαπτιστὴς ὁμοίως Ἠρώδη τῷ τετράρχῃ τῷ εἰπόντι τοῖς παισὶν αὐτοῦ · »οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν καὶ διὰ τοῦτο οἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ«), ἄλλοι δέ ὅτι Ἠλίας ἐστὶν ὁ νῦν καλούμενος Ἰησοῦς, ἤτοι γένεσιν ὑπομείνας δευτέραν, ἢ ἔκτοτε ἐν σαρκὶ ζῶν καὶ κατὰ τόν παρόντα ἐπιφανεὶς χρόνον. καὶ οἱ φάσκοντες δὲ ὅτι Ἱερεμίας εἴη ὁ Ἰησοῦς, καὶ οὐχὶ τύπος τοῦ Χριστοῦ ὁ Ἱερεμίας, τάχα ἐκ τῶν εἰρημένο)ν ἐν τοῖς ἀρχαῖς τοῦ Ἱερεμίου περὶ Χριστοῦ ἐκινήθησαν, οὐ πληρω-

θέντων μὲν ἐν τῷ προφήτῃ τότε ἀρξαμένων δὲ πληροῦσθαι ἐν τῷ Ἰησοῦ, ὃν ἔρετο ὁ θεὸς εἰς »ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ κατασκάπτειν καὶ ἀπολλύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν«, προφήτην αὐτὸν εἰς ἔθνη γενέσθαι ποιήσας οἷς ἐκήρυξε τὸν λόγον. ἀλλὰ καὶ οἱ λέγοντες ὅτι εἷς τις ἦν τῶν προφητῶν, τοιαῦτα περὶ αὐτοῦ ὑπελάμβανον διὰ τὰ ἐν τοῖς προφήταις ὡς πρὸς αὐτοὺς μὲν ῥηθέντα οὐ πεπληρωμένα δὲ ἐπ᾽ αὐτοῖς.

Ἀλλ᾽ οἱ μὲν Ἰουδαῖοι, ὡς ἄξιοι τοῦ ἐπὶ τῇ καρδίᾳ αὐτῶν καλύμματος, ἐψευδοδόξουν περὶ τοῦ Ἰησοῦ. Πέτρος δέ, ὡς οὐ σαρκὸς καὶ αἵματος μαθητὴς ἀλλὰ καὶ χωρήσας ἀποκάλυψιν τοῦ ἐν οὐρανοῖς πατρός, *** ὡμολόγησεν αὐτὸν τὸν Χριστὸν τυγχάνειν. ἦν μέν οὖν καὶ τὸ ὑπὸ τοῦ Πέτρου λεγόμενον τῷ σωτῆρι, τὸ σὺ εἶ ὁ

Χριστός, μὴ γινωσκόμενον ὑπὸ τῶν Ἰουδαίων ὅτι Χριστὸς εἴη, μέγα· μεῖζον δὲ ὅτι ἠπίστατο αὐτὸν οὐ μόνον Χριστὸν εἶναι, ἀλλὰ καὶ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος καὶ διὰ τῶν

προφητῶν εἰρηκότος »ζῶ ἐγώ«, *** καὶ*** ἐμὲ ἐγκατέλιπον, πηγὴν ὕδατος ζῶντος«. καὶ ζωὴ δὲ ὡς ἀπὸ πηγῆς ζωῆς τοῦ πατρὸς ὁ εἰπών· ἐγώ εἰμι ἡ ζωή«. καὶ πρόσχες ἐπιμελῶς εἰ μή, ὥσπερ οὐ ταὐτόν ἐστι πηγὴ ποταμοῦ καὶ ποταμός, οὕτως πηγὴ ζωῆς καὶ ζωή. καὶ ταῦτα δὲ προσεθήκαμεν διὰ τὸ προσκεῖσθαι τῷ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τὸ τοῦ ζῶντος· ἐξαίρετον γάρ τι ἐχρῆν παραστῆσαι ἐν τῷ λεγομένῳ περὶ τοῦ θεοῦ καὶ πατρὸς τῶν ὅλων, ὡς ζῶντος παρά τε τὴν αὐτοζωὴν καὶ τὰ μετέχοντα αὐτῆς. ἐπεὶ δὲ εἴπομεν μὴ ἀπό τινων ὑγιῶν δογμάτων εἰρηκέναι τοὺς ἀποφηναμένους εἶναι τὸν ᾽Ιησοῦν Ἰωάννην τὸν βαπτιστὴν ἤ τινα τῶν ἐπιφερομένων, κατασκευάσωμεν καὶ τοῦτο λέγοντες ὅτι, εἰ παρατετεύχεισαν ἐπὶ τὸ βάπτισμα ἀπεληλυθότι τῷ Ἰησοῦ πρὸς τὸν

Ἰωάννην καὶ βαπτίζοντι τῷ Ἰωάννῃ τὸν Ἰησοῦν, ἢ ἀκηκόεισαν παρά τινος, οὐκ ἂν ἔλεγον Ἰησοῦν εἶναι τόν Ἰωάννην. ἀλλὰ καὶ εἰ νενοήκεισαν τὸ δόγμα ἀφ᾽ οὗ εἶπεν ὁ Ἰησοῦς· »εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι«, καὶ ὡς ἔχοντες »ὦτα« ἀκηκόεισαν τοῦ λελεγμένου, οὐκ ἂν εἶπόν τινες αὐτὸν εἶναι Ἠλίαν. καὶ οἱ εἰπόντες αὐτὸν εἶναι Ἰερεμίαν, εἰ ἑώρων ὅτι οἱ πλεῖστοι τῶν προφητῶν συμβολικά τινα αὐτοῦ ἀνειλήφασιν, οὐκ ἂν ἔλεγον αὐτὸν εἶναι Ἰερεμίαν· ὁμοίως δὲ οὐδὲ ἄλλοι00 ἕνα τινὰ τῶν προφητῶν.

Τάχα δὲ ὅπερ ἀποκριθεὶς Σίμων Πέτρος εἶπεν ἐν τῷ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀὰν ὡς ὁ Πέτρος λέγμεν, οὐ σαρκὸς καὶ αἵματος ἡμῖν ἀποκαλύψαντος ἀλλὰ φωτὸς ἡμῶν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν οὐρανοῖς πατρός, καὶ αὐτοὶ γινόμεθα ὅπερ καὶ ὁ Πέτρος, ὁμοίως αὐτῷ μακαριζόμενοι διὰ τὸ τὰ αἴτια τοῦ μακα-

ρισμοῦ ἐκείνῳ καὶ ἐφ᾽ ἡμᾶς ἐφθακέναι, τῷ σάρκα καὶ αἷμα μὴ ἀποκεκαλυφέναι ἡμῖν περὶ τοῦ τὸν Ἰησοῦν εἶναι Χριστὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος ἀλλὰ τὸν ἐν οὐρανοῖς πατέρα ἀπ᾽ οὐτῶν τῶν οὐρανῶν, ἵνα »ἐν οὐρανοῖς« πολιτευσώμεθα, ἀποκαλύψαντα ἡμῖν ἀποκάλυψιν ἀνάγουσαν εἰς τοὺς οὐρανοὺς τοὺς περιαιροῦντας μὲν πᾶν »κάλυμμα« ἀπὸ τῆς καρδίας, ἀναλαβόντας δέ τὸ πνεῦμα τῆς »σοφίας« τοῦ θεοῦ καὶ τῆς »ἀποκαλύψεως«. εἰ δὲ φήσαντες καὶ ἡμεῖς ὡς ὁ Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος οὐχ ὡς σαρκὸς καὶ αἵματος ἡμῖν ἀποκαλυψάντων, ἀλλὰ φωτὸς ἡμῶν τῇ καρδίᾳ ἐλλάμψαντος ἀπὸ τοῦ ἐν οὐρανοῖς πατρός), γινόμεθα Πέτρος, καὶ ἡμῖν ἂν λέγοιτο ἀπὸ τοῦ > λόγου τὸ σὺ εἶ Πέτρος καὶ

τὰ ἑξῆς. πέτρα γὰρ πᾶς ὁ Χριστοῦ μιμητής, ἀφ᾽ οὗ ἔπινον οἳ »<ἔπινον> «. ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας«. καὶ ἐπὶ ndaav τὴν τοιαύτην πέτραν οἰκοδομεῖται ὁ ἐκκλησιαστικὸς πᾶς λόγος κοὶ ἡ κατ᾽ αὐτὸν πολιτεία. ἐν ἑκάστῳ γὰρ τῶν τελείων, ἐχόντων τό ἄθροισμα τῶν συμπληρούντων τὴν μακαριότητα

λόγων καὶ ἔργων καὶ νοημάτων <πάντων>, ἐστὶν ἡ ὑπὸ τοῦ οἰκοδομουμένη ἐκκλησία.

Εἰ δέ ἐπὶ τὸν ἕνα ἐκεῖνον Πέτρον νομίζεις ὑπὸ τοῦ θεοῦ οἰκοδομεῖσθαι τὴν πᾶσαν ἐκκλησίαν μόνον, τι ἂν φήσαις περὶ Ἰωάννου τοῦ τῆς βροντῆς« υἱοῦ ἢ ἑκάστου τῶν ἀποστόλων; ἀληθῶς γε ἄρα τολμήσωμεν λέγειν ὅτι Πέτρου μέν ἰδίως πύλαι ᾅδου οὐ κατισχύσουσι, τῶν δὲ λοιπῶν ἀποστόλων καὶ τῶν τελείων *** κατισχύσουσιν; οὐχὶ δὲ καὶ ἐπὶ πόντων ἐφ᾽ ἑφ᾽ ἑκάστου αὐτῶν τὸ προειρημένον τὸ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς γίνεται καὶ τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν;

ἆρα δὲ τῷ Πέτρῳ μόνῳ δίδονται ὑπὸ τοῦ Χριστοῦ αἱ κλεῖδες τῆς τῶν οὐρανῶν βασιλείας, καὶ οὐδεὶς ἕτερος τῶν μακαρίων αὐτὰς λήψεται; εἰ δὲ κοινόν ἐστι καὶ πρὸς ἑτέρους τὸ δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, πῶς οὐχὶ καὶ πάντα τά τε προειρημένα καὶ τὰ ἐπιφερόμενα ὡς πρὸς Πέτρον λελεγμένα ***; καὶ γὰρ ἐνταῦθα μὲν ὡς πρὸς Πέτρον εἰρῆσραι δοκεῖ τὸ ὅσα ἂν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐξῆς· ἐν δὲ τῷ κατὰ Ἰωάννην δοὺς πνεῦμα ἅγιον ὁ σωτὴρ τοῖς μοθηταῖς διὰ τοῦ ἐμφυσήματός φησι· »λάβετε πνεῦμα ἅγιον« καὶ τὰ ἑξῆς. πολλοὶ τοίνυν φήσουαι πρὸς τὸν σωτῆρα· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ἀλλ᾽ οὐ πάντες οἱ τοῦτο φάσκοντες ἐροῦσιν αὐτῷ οὐδομῶς μὲν ἀπὸ σαρκὸς καὶ αἵματος ἀποκαλυφάντων τοῦτο μεμαθηκότες, αὐτοῦ δὲ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς ἀφελόντος τὸ ἐπικείμενον τῇ καρδίᾳ αὐτῶν »κάλυμμα«, ἵνα μετὰ τοῦτο »ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ κυρίου κατοπτριζόμενοι«

ἐν πνεύματι θεοῦ« λαλῶσι λέγοντες περὶ αὐτοῦ τὸ Κύριος ᾽Ιησοῦς« καὶ πρὸς αὐτὸν τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

Καὶ εἴ τις λέγει τοῦτο πρὸς αὐτόν, οὐ σαρκὸς καὶ αἵματος ἀποκαλυψάντων αὐτῷ ἀλλὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρός, τεύξεται τῶν εἰρημένων, ὡς μὲν τὸ γράμμα τοῦ εὐαγγελίου λέγει πρὸς ἐκεῖνον τὸν Πέτρον, ὡς δέ τὸ πνεῦμα αὐτοῦ διδάσκει πρὸς πάντα τὸν γενόμενον, ὁποῖος ὁ Πέτρος ἐκεῖνος. παρώνυμοι γὰρ πέτρας πάντες οἱ μιμηταὶ Χριστοῦ, τῆς »πνευματικῆς ἀκολουθούσης πέτρας« τοῖς σωζομένοις, ἵνα ἐξ αὐτῆς πίνωσι τὸ »πνευματικὸν πόμα«. οὗτοι δέ παρώνυμοί εἰσι τῆς πέτρος, ὡς Χριστός· ἀλλὰ καὶ Χριστοῦ μέλη« ὄντες παρώνυμοι ἐχρημάτισαν Χριστοί, πέτρας δέ Πέτροι. ἀπὸ δὲ τούτων ἀφορμὴν λαβὼν φήσεις τοὺς δικαίους παρωνύμους εἶναι Χριστοῦ τῆς δικαιοσύνης καὶ τοὺς σοφοὺς Χριστοῦ τῆς σοφίας· καὶ οὕτως ποιήσεις ἐπὶ τῶν λοιπῶν αὐτοῦ ὀνομάτων παρώνυμα ἐπὶ τοὺς ἁγίους, καὶ πρὸς πάντας τοὺς τοιούτους ἂν λέγοιτο ἀπὸ τοῦ σωτῆρος τὸ λέγον·

σὺ εἶ Πέτρος καὶ τὰ ἑξῆς ἕως τοῦ οὐ κατισχύσουσιν αὐτῆς. τίνος δέ οὐτῆς; ἆρα γὰρ τῆς πέτρας, ἐφ᾽ ἣν Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν, ἢ τῆς ἐκκλησίας (ἀμφίβολος γὰρ ἡ φράσις), ἢ ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ τῆς πέτρας καὶ τῆς ἐκκλησίας; τοῦτο δ᾽ οἶμοι ἀληθὲς τυγχάνειν· οὔτε γὰρ τῆς πέτρος, ἐφ᾽ ἧς ὁ Χριστὸς οἰκοδομεῖ τὴν ἐκκλησίαν, οὔτε τῆς ἐκκλησίας πύλαι ᾅδου κατισχύσουσιν, ὡς οὐδέ ὁδὸς

ὄφεως ἐπὶ πέτρας« (κατὰ τὸ ἐν γεγραμμένον) εὑρεθείη ἄν. εἰ δέ τινος πύλαι ᾅδου κατισχύσουσιν, οὔτε πέτρα ὁ τοιοῦτος ἀνεῖη, ἐφ᾽ ἣν οἰκολομεῖ Χριστὸς τὴν ἐκκλησίαν, οὔτε ἡ ὑπὸ Χριστοῦ οἰκοδομουμένη ἐπὶ τὴν Πέτρον ἐκκλησία· ἥ τε γὰρ πετρα ἄβατός ἐστιν ὄφει καὶ ἰσχυροτέρα τῶν ἀντιπαλαιουσῶν αὐτῇ πυλῶν ᾅδου, ὡς διὰ τὴν ἰσχὺν αὐτῆς μὴ κατισχύειν αὐτῆς τὰς πύλας τοῦ ᾅδου· ἥ τε ἐκκλησία, ὡς Χριστοῦ οἰκοδομὴ τοῦ οἰκοδομήσαντος ἑαυτοῦ τὴν οἰκίαν« φρονίμως »ἐπὶ τὴν πέτρον«, ἀνεπίδεκτός ἐστι πυλῶν ᾅδου, κατισχυουσῶν μέν παντὸς ἀνθρώπου τοῦ ἔξω τῆς πέτρος καὶ τῆς ἐκκλησίας, οὐδέν δέ δυναμένων πρὸς αὐτήν.

Νοήσαντες δὲ ὡς ἑκάστη τῶν ἁμαρτιῶν, δι᾽ ὧν ἔστιν ἐν ᾅδου γενέσθαι, πύλη ἐστὶν ᾅδου, καταληψόμεθα ὅτι ἡ ἔχουσα »σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων« καὶ διὰ τὴν κακίαν μηδὲ »ἁγία« μηδὲ »ἄμωμος« τυγχάνουσα ψυχὴ οὔτε πέτρα ἐστίν, ἐφ᾽ ἣν ὁ Χριστὸς οἰκοδομεῖ, οὔτε ἐκκλησία οὔτε ἐκκλησίας μέρος, ἥν ἐπὶ τὴν πέτραν ὁ Χριστὸς οἰκοδομεῖ. ἐὰν δέ τις πρὸς ταῦτα δυσωπεῖν ἡμᾶς βούληται διὰ τὰ πλήθη τῶν πιστεύειν νομιζομένων ἐκκλησιαστικῶν, λεκτέον αὐῷ οὐ μόνον τὸ »πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλε- κτοί«, ἀλλὰ καὶ τὸ ὑπὸ τοῦ σωτῆρος πρὸς τοὺς προσιόντας αὐτῷ λελεγμένον (ὡς ἐν τῷ κατὰ Λουκᾶν οὕτως ἔχον· »ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς θύρας, ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν (διὰ τῆς στενῆς) καὶ οὐκ ἰσχύσουσι«, καὶ τὸ ἐν τῷ κατὰ Ματθαῖον δὲ γεγραμμενον τουτον τον τροπον ρητεον· ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν«.

προσέχων δὲ τῷ »ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσι« συνήσεις ὅτι τοῦτο ἐπὶ τοὺς οὐχοῦντος μέν εἶναι ἀπὸ τῆς ἐκκλησίας, ἀσθενῶς δὲ καὶ παρὰ τὸν λόγον βιοῦντας ἀναφέρεται. οἱ μὲν οὖν μὴ ἰσχύοντες εἰσελθεῖν τῶν ζητούντων εἰσελθεῖν, τῷ πύλας ᾅδου κατισχύειν αὐτῶν οὐκ ἂν ἰσχύοιεν· ὧν δὲ πύλαι ᾅδου οὐ κατισχύουσιν, οὗτοι ζητοῦντες εἰσελθεῖν ἰσχύσουσι, »πάντα« ἰσχύοντες »ἐν τῷ ἐνδυναμοῦντι« αὐτοὺς »Χριστῷ Ἰη- σοῦ«. καὶ τοῦτο δὲ χρὴ εἰδέναι ὅτι, ὥοπερ αἱ πόλεων πύλαι ὀνόματα ἔχουσιν ἑκάστη οἰκεῖα, τὸν αὐτὸν τρόπον αἱ τοῦ ᾅδου πύλαι ὀνομασθεῖεν ἂν κατὰ τὰ εἴδη τῶν ἁμαρτημάτων· ὡς μίαν μὲν ὀνομάζεσθαι πύλην ᾅδου πορνείαν, δι᾽ ἧς ὁδεύουσιν οἱ πορνεύοντες, ἑτέραν δὲ ἄρνησιν, δι᾽ ἧς ἀρνησίθεοι εἰς ᾅδου καταβαίνου- σιν *** ἤδη δέ καὶ ἕκαστος τῶν ἑτεροδόξων καὶ γεννησάντων τψευδώνυμόν τινα

γνῶσιν ᾠκοδόμησεν ᾅδου πύλην, ἄλλην μὲν Μαρκίων καὶ Βασιλίδης ἄλλην κὰι Οὐαλεντῖνος ἄλλην. καὶ οὕτως ἕκαστος μὲν τῶν πατέρων μοχθηρᾶς γνώμης ἀρχιτέκτων γέγονε πύλης τινὸς ᾅδου· οἱ δὲ συνεργοὶ τῇ τοῦ ἀρχιτέκτονος τῶν τοιούτων διδασκαλίᾳ, ὑπουργοί τινες καὶ οἰκονόμοι δουλεύοντες μοχθηρῷ ἀρχιτεκτονικῷ ἀσεβείας λόγῳ. πολλῶν δὲ καὶ δυσαριθμήτων οὐσῶν τῶν ᾅδου πυλῶν, οὐδεμία πύλη ᾅδου κατισχύσει τῆς πέτρας ἣ ἐκκλησίας, ἣν ἐπ᾽ αὐτῇ Χριστὸς οἰκοδομεῖ. πλὴν ἔχουσί τινα ἰσχὺν αὗται αἱ πύλαι, ἀφ᾽ ἧς τινῶν μὲν κρατοῦσι τῶν μὴ ἀντιτεινόντων καὶ ἀνταγωνιζομένων πρὸς αὐτάς, ὑφ᾽ ἑτέρων

δὲ νικῶνται τῶν διὰ τὸ μὴ ἀφίστασθαι τοῦ εἰπόντος· »ἐγώ εἰμι ἡ θύρα« πάσας τὰς ᾅδου πύλας καθελόντων ἀπὸ τῆς ἑαυτῶν ψυχῆς.

Ἐνταῦθa μὲν οὖν πύλαι ᾅδου ἔ□ρηνται, ἐν δὲ τοῖς Ψαλμοῖς ὁ προφήτης εὐχαριστεῖ λέγων· »ὁ ὑφῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλοις τῆς θυγατρὸς

Σιών«. καὶ ἐκ τούτου δέ μανθάνομεν ὅτι μήποτε οὐχ οἷόν τέ ἐστιν πάσας δυνηθῆναι ἐξαγγεῖλαι »τὰς αἰνέσεις« τινὰ τοῦ θεοῦ, μὴ ὑψωθέντα »ἐκ τῶν πυλῶν τοῦ θανάτου« καὶ γενόμενον παρὰ »ταῖς πύλαις« »Σιών«. πύλαι δέ »Σιὼν« ἐναντίαι <ἂν> νοηθεῖεν πύλαις »τοῦ θανάτου«, ὡς εἶναι πύλην μὲν θανάτου τὴν ἀκολασίαν πύλην δὲ Σιὼν τὴν σωφροσύνην, καὶ οὕτω θανάτου μέν τὴν ἀδικίαν Σιὼν δέ τὴν δικαιοσύνην ἥντινα δεικνὺς ὁ προφήτης φησίν· »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν οὐτῇ«) κοὶ πάλιν τὴν μέν δειλίαν θανάτου πύλην τὴν δὲ ἀνδρείαν Σιών. καὶ ἀφροσύνην μὲν θανάτου τὴν δέ ἐναντίαν οὐτῇ φρόνησιν τῆς Σιών. πάσαις δὲ ταῖς πύλαις τῆς »ψευδωνύμου γνώ- σεως« μία ἐναντία ἐστὶ πύλη ἡ τῆς ἀψευδοῦς γνώσεως ***.

᾽Επίστησον δέ εἰ δύνασαι διὰ τὸ οὐκ ἔστιν ἡμῖν ἡ Πόλη πρὸς αἷμα καὶ σάρκα«, καὶ τὰ λοιπὰ)

λέγειν ἑκάστην ἐξουσίαν καὶ κοσμοκράτορα »τοῦ σκότους τούτου« καὶ πνευματικὸν »τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις« πύλην εἶναι ᾅδου καὶ πύλην θανάτου. πύλαι οὖν ᾅδου λέγοιντο καὶ αἱ ἀρχαὶ καὶ ἐξουσίαι, πρὸς ἃς »ἡμῖν ἡ πύλοι δέ δικαιοσύνης »τὰ λειτουργικὰ πνεύματα«. ὥσπερ δέ ἐπὶ τῶν κρειττόνων πολλαὶ προλέγονται πύλαι καὶ μετὰ τὰς πολλὰς μία ἐν τῷ »ἀνόξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ« καὶ »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ«, οὕτω καὶ ἐπὶ τῶν ἐναντίων πολλαὶ μέν πύλαι ᾅδου καὶ θανάτου, ἑκάστη ἐξουσία <, πρὸς ἃς ἡμῖν ἡ πάλη>, ὑπέρ πάσας δέ ταύτας οὐτὸς ὁ πονηρὸς ρὸς <πύλη ἐστὶ θανάτου καὶ προσέχωμέν γε ἐφ’ ἑκάστης ἁμαρτίας ὡς εἰς πύλην ᾅδου τινὰ καταβαίνοντες, εἰ ἁμαρτάνομεν· ἀλλὰ ὑψούμενοι »ἐκ τῶν πυλῶν τοῦ θανάτου« ἐξαγγείλωμεν »πάσας τὰς αἰνέσεις« τοῦ κυρίου ἐν τοῖς Πύλαις τῆς θυγατρὸς Σιών«.

οἷον ἐν μιᾷ πύλῃ τῆς θυγατρὸς Σιών, τῇ καλουμένῃ σωφροσύνῃ, ἐξαγγελοῦμεν ἀπὸ σωφροσύνης τὰς αἰνέσεις τοῦ θεοῦ, καὶ ἐν ἄλλῃ, τῇ <καλουμένῃ> δικαιοσύνῃ, ἀπὸ τὰς αἰνέσεις τοῦ θεοῦ. καὶ ἁπαξαπλῶς ἐν πᾶσιν οἷς γινόμεθα ἐπαινετοῖς, ἐν τούτοις γινόμεθα ἔν τινι πύλῃ τῆς θυγατρὸς Σιών, κατ’ ἐκείνην ἐξαγγέλλοντες αἴνεσίν τινα τοῦ θεοῦ. ἐξεταστέον δέ πῶς ἔν τινι τῶν δώδεκα λέλεκται· »ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο«. μήποτε οὖν ὁ ἐν πύλαις« ἐλέγχων εστὶν ἀπὸ πυλῶν θυγατρὸς Σιὼν τοὺς ἐν τοῖς ἐναντίοις τῆς πύλης ταύτης γενομένους ἁμαρτήμασι καὶ πυλῶν ᾅδου ἢ θανάτου. εἰ δὲ μὴ οὕτως ἀκούοις τοῦ »ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα«, ἤτοι

παρελκόντως ἔσται εἰρημένον τὸ »ἐν πύλαις«, ἢ ζήτει πῶς ἂν ἄξιον προφητικοῦ πνεύματος εἴη τὸ λελεγμένον.

Μετὰ ταῦτα ἴδωμεν πῶς λέλεκται τῷ Πέτρῳ καὶ ποντὶ *** Πέτρῳ τὸ δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν. καὶ πρῶτόν γε νομίζω ἀκολούθως λελέχθαι τῷ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς τὸ δώσω σοι τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν. ἄξιος γὰρ ἀπὸ τοῦ αὐτοῦ λόγου λαβεῖν ἐστι τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας ὀφραξάμενος πρὸς] τὰς τοῦ ᾅδου πύλας, ἵνα μὴ κατισχύσωσιν αὐτοῦ· οἱονεὶ ἆθλα λαμβάνων τοῦ μηδὲν δεδυνῆσθαι κοτ' αὐτοῦ τὰς τοῦ ᾅδου πύλας τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας, ἵν' ἑαυτῷ ἀνοίγῃ τὰς κεκλεισμένας πύλας τοῖς νικωμένοις ὑπὸ τῶν τοῦ ᾅδου πυλῶν. καὶ εἰσέρχεται, ὡς μέν σώφρων, διό τινος ἀνοιγομένης σωφροσύνης πύλης ὑπὸ κλειδὸς ἀνοιγούσης σωφροσύνης, καὶ δι' ἑτέρας, ὡς δίκαιος, δικαιοσύνης πύλης ἀνοιγομένης ὑπὸ κλειδὸς δικαιοσύνης· καὶ οὕτως ἐπὶ τῶν λοιπῶν ἀρετῶν. οἶμαι γάρ, ὅτι ὑπέρ ἑκάστης ἀρετῆς τῆς γνώσεώς τινα σοφίας μυστήρια κατάλληλα τῷ εἴδει τῆς ἀρετῆς

ἀνοίγεται τῷ κατ' ἀρετὴν βιώσαντι διδόντος τοῦ σωτῆρος τοῖς μὴ κρατηθεῖσιν ὑπὸ τῶν τοῦ ἅδου πυλῶν τοσαύτας κλεῖδας ὅσαι εἰσὶν αἱ ἀρεταί, ἀνοιγούσας ἰσαρίθμους πύλας, καταλλήλους κατὰ τὴν ἀποκάλυψιν τῶν μυστηρίων ἑκάστη ἀρετῇ. τάχα δὲ καὶ ἑκάστη ἀρετὴ οὐρανοῦ ἐστι βασιλεία, καὶ πᾶσαι ἅμα βασιλεία τῶν οὐρανῶν· ὡς κατὰ τοῦτο ἤδη ἐν βασιλείᾳ εἶναι οὐρανῶν τὸν κατὰ τὰς ἀρετὰς βιοῦντα, ὡς κατὰ τοῦτο τὸ »μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν« οὐκ ἐπὶ χρόνον ἀναφέρεσθαι, ἀλλὰ ἐπὶ τὰς πράξεις καὶ τὴν διάθεσιν· ὁ Χριστὸς γάρ, ἡ πᾶσα ἀρετή, ἐΠιδεδήμηκε καὶ λαλεῖ. καὶ διὰ τοῦτο ἐντός ἐστι« τῶν αὐτοῦ μαθητῶν »ἡ βασιλεία τοῦ θεοῦ«, καὶ οὐχὶ ὧδε καὶ ὧδε«.

Ὅρα δέ ὅσην ἔχει ἐξουσίαν ἡ πέτρα, ἐφ' ἣν ὑπὸ Χριστοῦ οἰκοδομεῖται ἡ ἐκκλησία, καὶ πᾶς ὁ λέγων· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὥστε τὰς κρίσεις μένειν βεβαίας τούτου, ὡς κρίνοντος ἐν αὐτῷ τοῦ θεοῦ, ἵνα ἐν αὐτῷ τῷ κρίνειν μὴ κατισχύσωσιν οὐτοῦ πύλοι ᾅδου. τοῦ μὲν οὖν ἀδίκως κρίνοντος καὶ μὴ κατὰ λόγον θεοῦ δεσμεύοντος ἐπὶ γῆς μηδὲ κατὰ βούλησιν αὐτοῦ λύοντος ἐπὶ γῆς, πύλαι ᾅδου κατισχύουσιν. οὗ δέ πύλοι ᾅδου οὐ κατισχύουσιν, οὗτος δικαίως κρίνει· διὸ ἔχει τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν, ἀνοίγων τοῖς λελυμένοις ἐπὶ γῆς, ἵνα καὶ ἐν οὐρανοῖς ὦσι λελυμένοι καὶ ἐλεύθεροι, καὶ κλείων τοῖς κρίσει δικαίᾳ αὐτοῦ δεδεμένοις ἐΠὶ γῆς, ἵνα καὶ ἐν οὐρανοῖς ὦαι δεδεμένοι καὶ κεκριμένοι. ἐπεὶ δέ οἱ τὸν τόΠον τῆς ἐπισκοπῆς ἐκδικοῦντες χρῶνται τῷ ῥητῷ ὡς Πέτρος, καὶ τὰς κλεῖδας τῆς τῶν οὐρανῶν βασιλείας

ἀπὸ τοῦ σωτῆρος εἰληφότες διδάσκουσί τε τὰ ὑπ' αὐτῶν δεδεμένα τουτέστι καταδεδικασμένα κοὶ ἐν οὐρανοῖς δεδέσθαι καὶ τὰ ὑπ' αὐτῶν τῶν <λελυμένα τουτέστιν> εἰληφότα καὶ ἐν οὐρανοῖς λελύσθαι, λεκτέον ὅτι ὑγιῶς λέγουσιν, εἰ ἔχουσιν ἔργον δι' ὃ εἴρηται ἐκείνῳ τῷ Πέτρῳ· σὺ εἶ Πέτρος, καὶ εἰ τηλικοῦτοί εἰσιν, ὡς ἐπ' αὐτοῖς ὑπὸ Χριστοῦ οἰκοδομεῖσθαι τὴν ἐκκλησίαν, καὶ ἐπ' αὐτοὺς

εὐλόγως τοῦτο ἀναφέροιτ’ ἄν. πύλαι δὲ ᾅδου οὐκ ὀφείλουσι κατισχύειν τοῦ θέλοντος δεσμεῖν κοὶ λύειν. εἰ δὲ »σειραῖς τῶν ἁμαρτημάτων αὐτοῦ ἔσφιγκται«***, μάτην καὶ δεσμεῖ καὶ λύει. καὶ τάχα δύνανσαι εἰπεῖν· ἐν τοῖς ἐν τῷ σοφῷ οὐρανοῖς (ταῖς ἀρεταῖς) ὁ φαῦλος, καὶ πάλιν δὲ λέλυται ἐν αὐταῖς ὁ σπουδαῖος καὶ ἀμνηστίαν λαβὼν τῶν πρὸ τῆς ἀρετῆς αὐτῷ ἡμαρτημένων. ὥσπερ δὲ τὸν μὴ ἔχοντα σειρὰς ἁμαρτιῶν μηδὲ ἁμαρτίας παραβαλλομένας »σχοινίῳ μακρῷ« ἢ ζυγοῦ ἱμάντι δαμάλεως« οὐδὲ ὁ θεὸς ἂν δήσαιτο, οὕτως οὐδ’ ὅστις ἂν ᾖ Πέτρος.

εἰ δέ τις μὴ ὢν Πέτρος καὶ μὴ ἔχων τὰ εἰρημένα ἐνταῦθα, ὥσπερ Πέτρος οἴεται δήσειν ἐπὶ γῆς ὡς τὰ δεδεμένα δεδέσθαι ἐν οὐρανοῖς, κοὶ λύσειν ἐπὶ γῆς ὡς τὰ λελυμένα λελύσθαι ἐν οὐρανοῖς, οὗτος »τε- τύφωται« μὴ ἐπιστάμενος τὸ βούλημα τῶν γραφῶν, καὶ »τυφωθεῖς« ἐμπέπτωκεν »εἰς τὸ τοῦ διαβόλου κρίμα«.

Τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός (16. 20 [—23]).

Ἀνωτέρω μὲν γέγραπται ὅτι »τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς λέγων αὐτοῖς· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε« καὶ ὅσα ἑξῆς ἀναγέγραπται εἰρηκέναι οὐτοῖς, πέμπων αὐτοὺς ἐπὶ τὴν ἀποστολήν. ἆρα οὖν τὸ τῶν ἀποστόλων ἤδη Ποιοῦντας ἔργον αὐτοὺς ἐβούλετο <καὶ> κηρύσσειν οὐτὸς εἴη ὁ Χριστός; εἴτε γὰρ ἐβούλετο, ἄξιον ζητῆσαι τί δήποτε νῦν διαστέλλεται τοῖς μαθηταῖς ἵνα μὴ εἴπωσιν ὅτι αὐτὸς εἴη ὁ Χριστός; εἴτε μὴ ἐβούλετο, πῶς δύναται σώζεσθαι τὰ τῆς ἀποστολῆς;

καὶ ταῦτα δ’ ἄν τις ζητήσαι κατὰ τὸν τόπον· ἆρα ἀποστέλλων τοὺς δώδεκα οὐκ ἀπέστελλεν αὐτοὺς φρονοῦντας ὅτι αὐτὸς εἴη ὁ Χριστός; εἰ δὲ τοῦτο ἐφρόνουν οἱ δώδεκα, δηλονότι καὶ ὁ Πέτρος· πῶς οὖν μακαρίζεται νῦν ἐμφαίνει γὰρ ἡ λέξις διὰ τούτων ὅτι νῦν πρῶτον αὐτὸν ὡμολόγησεν ὁ Πέτρος Χριστὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος«.

ὁ μὲν οἶν Ματθαῖος πεποίηκε κατά τινα τῶν ἀντιγράφων τὸ τότε διεστείλατο τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός, ὁ δὲ Μᾶρκος »ἐπετίμησεν αὐτοῖς« φησιν ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ«, ὁ δὲ Λουκᾶς »ἐπιτιμήσας« φησὶν »αὐτοῖς παρήγγειλε μηδενὶ λέγειν τοῦτο« — τί δὲ »τοῦτο« ἢ ὅτι καὶ κατ’ αὐτὸν ἀποκριθεὶς ὁ Πέτρος εἶπε (πρὸς »τίνα με λέγετε εἶναι«;)· »τὸν Χριστὸν τοῦ θεοῦ«. ἱστέον μέντοι ὅτι τινὰ τῶν ἀντιγράφων τοῦ κατὰ Ματθαῖον ἔχει τὸ ἐπετίμησεν. ἡ μὲν οὖν ἐπαπάρησις δοκεῖ μοι εἶναι γενναιοτάτη· λύσις δὲ αὐτῆς ἀναντίρρητος ζητηθήτω, ἣν ὁ εὑρίσκων, ἐὰν ᾖ πιστικωτέρα τῶν ὑφ’ ἡμῶν λεχθησομένων ὡς ὑπὸ μετρίων, εἰς μέσον φερετω.

Πρόσχες οὖν εἰ δύνασαι λέγειν ὅτι τὸ πιστεύεσθαι Ἰησοῦν εἶναι τὸν Χριστὸν ἔλαττόν ἐστι τοῦ γινώσκεσθαι τὸ πεπιστευμένον· τάχα δὲ καὶ τοῦ γινώσκεσθαι Ἰησοῦν εἶναι τὸν Χριστὸν διαφορά ἐστιν, οὐ παντὸς τοῦ γινώσκοντος ὁμοίως οὐτὸν γινώσκοντος. ὅτι μέν οὖν τὸ πιστεύεσθαι χωρὶς γνώσεως ἔλαττόν ἐστι τοῦ

γινώσκεσθαι, δῆλον ἐκ τοῦ κατὰ Ἰωάννην · »*** ἐὰν μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς«.

ὅτι δὲ καὶ τοῦ γινώσκεσθαι Ἰησοῦν εἶναι τὸν Χριστὸν διαφορά ἐστιν, οὐκ ἐπίσης τῶν γινωσκόντων γινωοκόντων αὐτόν, καὶ αὐτὴ μὲν ἡ ἐνάργεια τῷ κἂν ἐπὶ ποσὸν ἐπιστήσαντι παρίστησι τὸ πρᾶγμα· τίς γὰρ οὐκ ἂν ὁμολογήσαι ὅτι (φέρ᾽ εἰπεῖν) Τιμόθεος γινώακων Ἰησοῦν εἶναι τὸν Χριστὸν οὐκ ἐπὶ τοσοῦτον πεφώτιοτο εἰς τὴν περὶ αὐτοῦ γνῶσιν, ὅσον ὁ ἀπόστολος Ποῦλος πεφώτιοτο; καὶ τοῦτο δ᾽ αὖ τίς οὐκ ἂν παραδέξαιτο ὅτι, κἂν πλείονες ἀληθεύοντες λέγωσι περὶ θεοῦ ὅτι »αὐτός μοι δέδωκε τῶν ὄντων γνῶσιν ἀφευδῆ«, οὐχ ὁμοίως τρανοῦντες καὶ καταλαμβάνοντες τὰ γινωσκώμενα οὐδὲ τῷ ἀριθμῷ τοσαῦτα γινώσκοντες τοῦτο ἐροῦσιν; οὐ μόνον δέ κατὰ τὴν διαφορὰν τοῦ γινώσκειν ἔστι τοὺς γινώσκοντας μὴ

ὁμοίως γινώσκειν, ἀλλὰ καὶ κατὰ τὸ παραστῆσαν τὴν γνῶσιν, ὡς κατὰ τουτο του αποκαλυψαντος του πατρὸς τὸν υἱὸν ἐγνωκότα ὡς Πέτρος μεμαρτύρηται ἐγνωκέναι) ἔχειν τὸν ἀνωτάτω μακαρισμόν. εἰ δὲ ὑγιῶς ἡμῖν ταῦτα εἴρηται, ἐπιστήσεις εἰ οἱ δώδεκα πρότερον μὲν ἐπίστευον οὐκ ἐγίνωσκον δέ, ἐξῆς δὲ τῷ πιστεύειν καὶ ἀρχὰς εἶχον τοῦ γινώσκειν καὶ ὀλιγώτερα περὶ αὐτοῦ ἐγίνωσκον, ὕστερον δὲ προὔκοπτον ἐν τῷ γινώσκειν, ὡς δύνασθαι χωρῆσαι τὴν ἀπὸ τοῦ πατρὸς γνῶσιν ἀποκαλύπτοντος τὸν υἱὸν — ἐν ὁποία καταστάσει ὁ Πέτρος ἦν ἡνίκα ἐμακαρίσθη· καὶ γὰρ μακαρίζεται οὐκ ἐπὶ τῷ εἰρηκέναι· »σὺ εἶ ὁ Χριστὸς« μόνον, ἀλλὰ μετὰ τῆς προσθήκης τῆς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος«. οἱ γοῦν ἀναγράψαντες Μᾶρκος καὶ Λουκᾶς ἀποκριθέντα τὸν Πέτρον εἰρηκέναι· σὺ εἶ ὁ Χριστὸς« καὶ μὴ προσθέντες τὸ παρὰ τῷ Ματθαίῳ κείμενον <»ὁ υἱὸς θεοῦ τοῦ ζῶντος«, διὰ τοῦτο> οὐκ ἀνέγραψαν τὸν ἐπὶ τῷ εἰρημένῳ μακαρισμὸν καὶ τὴν μετὰ τὸν μακαρισμὸν εὐλογίαν λέγουσαν τὸ σὺ εἶ Πέτρος« και τα εξης.

Ἤδη δὲ καὶ τὸ πρῶτον ἐξεταστέον ὅτι τὰ μὲν ἄλλα περὶ αὐτοῦ κατήγγελλον ὡς μεγάλου καὶ θαυμαστοῦ, τὸ δὲ Χριστὸν □αὐτὸν□ εἶναι οὐδέπω ἐκήρυσσον, ἵνα μὴ δοκοίη ὁ σωτὴρ ἀφαιρεῖν αὐτῶν τὴν ἐξουσίαν τὴν περὶ τοῦ καταγγέλλειν αὐτὸν Χριστόν, ἣν πρότερον ἐδωρήσατο. καὶ τάχα τις τῷ τοιούτῳ λόγῳ παραστήσεται φάσκων ὡς ἐν εἰσαγωγῇ δεδιδάχθαι ὑπὸ τῶν ἀποστόλων τοὺς Ἰουδαίους τὰ περὶ τοῦ Ἰησοῦ ἔνδοξα, ἵνα τούτοις ἐν καιρῷ ἐποικοδομηθῇ καὶ τὰ περὶ τοῦ Χριστὸν αὐτὸν εἶνοι. τάχα δὲ πολλὰ τῶν πρὸς αὐτοὺς λελεγμένων πρὸς πάντας εἰρῆσθαι τοὺς πιστεύοντας δυνάμει· οὐ γὰρ μόνοις τοῖς ἀποστόλοις ἐφήρμοζε τὸ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι«, τάχα δὲ οὐδ᾽ ὅλως τοῖς ἀποστόλοις, ἀλλ᾽ ἅπασι τοῖς πιστεύειν μέλλουσι τὸ »παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον« καὶ τὰ ἑξῆς. ἀλλὰ καὶ τὸ πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ« καὶ τὰ ἑξῆς οὐκ ἰδίως τοῖς ἀποστόλοις, ἀλλὰ καὶ πᾶσι τοῖς πιστεύουσιν εἴρηται. κατὰ τοῦτο οὖν προϋποτύπωσίς ἐστι διδασκαλίας διὰ

τῶν πρὸς τοὺς ἀποστόλους λελεγμε. νων, υστερον κἀκείνοις καὶ παντὶ τῷ διδάσκοντι εἰς χρῆσιν ἐλευσομένης.

Ὁ δέ βουλόμενος καὶ τὸ Χριστὸν αὐτὸν εἶναι κεκηρύχθαι πρότερον ὑπὸ τῶν ἀκουσάντων ἀποστόλων τὸ »ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὁ εἰς τὸ οὖς ἀκούετε, κηρύσσετε ἐπὶ τῶν δωμάτων« ἐρεῖ ὅτι οἱονεὶ κατηχῆσαι ἠθέλησε πρότερον <ἀμαυρότερον> <παρὰ> τῶν ἀποστόλων τὸ Χριστοῦ ὄνομα, εἶτ᾽ ἐᾶσαι τοῦτο οἱονεὶ πεφθῆναι ἐν ταῖς διανοίαις τῶν ἀκουσάντων, ἵνα σιωπῆς γενομένης τοῦ τὸ τοιοῦτον περὶ αὐτοῦ κηρύσσεσθαι, εὐκαιρότερον ἐποικοδομηθῇ τοῖς προκατηχηθεῖσι Χριστὸς Ἰησοῦς ἐσταυρωμένος καὶ ἐκ νεκρων εγηγερμενος. οπερ εν ταις

qui confessus fuerit me corani hominibus« et cetera non apostolis, sed omnibus credentibus dicta sunt. secundum hoe ergo dicendum est, quod praemissa fuit illa doctrina quae factaestad apostolos, postea autem inplenda, ut videantur ea quidem, quae superius de adnuntiando Christo sunt dicta a Christo, non ad tempus pertinere quod fuit ante Christi resurrectionem, sed ad tempora post futura, haec autem quae mandat ut nemini dicant, timc apostoHs convenire.

ἀρχαῖς οὐδὲ αὐτοὶ οἱ ἀπόστολοι ᾔδεισαν· γέγραπται γὰρ ἐν τοῖς νῦν ἐξεταζομένοις ὅτι ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν καὶ τάδε καὶ τάδε παθεῖν. εἰ δὲ ταῦτα νῦν οἱ ἀπόστολοι μανθάνουσι παρὰ τοῦ Ἰησοῦ ἀπαντησόμενα αὐτῷ, τὴν ἀπὸ τῶν πρεσβυτέρων ἐπιβουλὴν καὶ ὡς ἀναιρεθήσεται καὶ ὡς μετὰ ταῦτα τῇ τρίτη ἡμέρᾳ ἐκ νεκρῶν »ἀναστήσεται«, τί χρὴ νομίζειν ἐγνωκέναι πρότερον τοὺς μαθητευομένους παρὰ τοῖς ἀποστόλοις περὶ τοῦ Ἰησοῦ ἢ ὅτι, εἰ καὶ κατηγγέλλετο αὐτοῖς Χριστός, ὡς ἐν εἰσαγωγῇ κατηγγέλλετο οὐ τρανουσῃ τὰ κατ᾽ αὐτόν; καὶ γὰρ ὁ σωτὴρ ἡμῶν ἐβούλετο, διαστελλόμενος τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός, τηρῆσαι τὴν τὴν τελειοτέραν περὶ αὐτοῦ διδασκαλίαν ἐπιτηδειοτέρῳ καιρῷ, ὅτε ἠδύναντο μαρτυρῆσαι τοῖς ἑωρακόσιν αὐτὸν σταυρούμενον τὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ οἱ ἑωρακότες αὐτὸν σταυρούμενον καὶ ἀναστάντα μαθηταί. εἰ γὰρ οἱ ἀεὶ αὐτῷ συνόντες ἀπόστολοι καὶ πάντα ἑωρακότες »ἃ ἐποίει θαυμάσια« καὶ μαρτυροῦντες

αὐτοῦ τοῖς λόγοις ὅτι »ῥήματα ζωῆς αἰωνίου« ἦσαν, ἐσκανδαλίσθησαν περὶ τὴν νύκτα τοῦ προδεδόσθαι αὐτόν, τί οἴει <ἂν> παθεῖν τοὺς <μανθάνοντας> μαθόντας, αὐτὸς εἴη ὁ Χριστός; ὧν (οἶμαι) φειδόμενος τοῦτα διεστείλατο.

Ὁ δέ βουλόμενος τὰ εἰρημένα πρὸς τοὺς δώδεκα εἰς τοὺς μετὰ ταῦτα ἀναφέρεσθαι χρόνους, καὶ μηδέπω κατηγγελκέναι τοὺς ἀποστόλους τοῖς ἀκούουσιν αὐτῶν ὅτι αὐτὸς εἴη ὁ Χριστός, φήσει ὅτι ἐβούλετο τηρηθῆναι τὴν τοῦ Χριστοῦ ἔννοιαν ἐπιπεπλεγμένην τῷ Ἰησοῦ ὀνόματι τῇ τελειοτέρᾳ καὶ σωτηρίῳ κηρύξει, ὁποίαν ἐπιστάμενος ὁ Παῦλος ἔλεγε Κορινθίοις τὸ ἐγὼ δέ ἔκρινα μηδὲν εἰδέναι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον«. διὸ πρότερον μέν ᾽Ιησοῦν,

τάδε τινὰ ποιοῦντα καὶ τοιάδε τινὰ αὐτὸν διδάσκοντα εἶναι ἐκήρυσσον. νῦν δ᾽ ὅτε Πέτρος Χριστὸν αὐτὸν εἶναι ὁμολογεῖ υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος«, ὡς

μὴ βουλόμενος κηρύσσεσθαι αὐτὸν ἤδη Χριστόν, ἵν’ εὐκαιρότερον κηρυχθῇ καὶ ἐσταυρωμένος, διαστέλλεται τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός. παρίσταται δέ πως τοῦτ᾽ εἶναι τὸ βούλημα αὐτοῦ κωλύοντος κηρύσσεσθαι αὐτὸν εἶναι Χριστὸν ἐκ τοῦ ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν εἰς ᾽Ιεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ τῶν ἐπιφερομένων. οἱονεὶ γὰρ τότε κατὰ τὸν καιρὸν ἐγνωκόσι τοῖς μαθηταῖς Ἰησοῦν εἶναι Χριστὸν υἱὸν »τοῦ θεοῦ τοῦ ζῶντος«, ἀποκαλύψαντος αὐτοῖς τοῦ πατρός, κηρύσσει (ἀντὶ τοῦ πιστεύειν αὐτοὺς εἰς Ἰησοῦν Χριστὸν »ἐσταυρωμένον«) πιστεύειν εἰς Ἰησοῦν Χριστὸν σταυρωθησόμενον, ἀλλὰ καὶ (ἀντὶ τοῦ εἰς Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐγηγερμένον ἐκ νεκρῶν«) διδάσκει αὐτοὺς Πιστεύειν εἰς ’Ιησοῦν Χριστὸν καὶ τοῦτον ἐγερθησόμενον ἐκ νεκρῶν. ἐπεὶ δὲ »ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισε

θριομβεύσος ἐν παρρησίᾳ ἐν τῷ ξύλῳ«, εἴ τις ἐπαισχύνεται τὸν Χριστοῦ σταυρόν, ἐπαισχύνεται τὴν οἰκονομίαν δι᾽ ἣν ἐθριαμβεύθησαν ἐκεῖναι, δέον καὶ »καυχᾶσθαι ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ« τὸν καὶ πιστεύοντα καὶ ἐγνωκότα ταῦτα· »δι᾽ οὗ« Χριστοῦ σταυρουμένου τοῦ κόσμου τῷ πιστεύοντι ἐδειγματίσθησαν καὶ ἐθριαμβεύθησαν αἱ ἀρχαί, ἐν αἷς (οἶμαι) ἦν καὶ ὁ ἄρχων τοῦ αἰῶνος τούτου. διόπερ ἐγγὺς γενόμενος τοῦ παθεῖν εἶπε τὸ »νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται« καὶ »νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· καὶ ἐὰν ὑψωθῶ (φησὶν) ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν«, οὐκέτι τοσοῦτον ὀbον □πρότερον□ δυναμένου τοῦ □ἄρχοντος τοῦ□ κωλύοντος ἔρχεσθαι πρὸς τὸν Ἰησοῦν τοὺς ἑλκομένους ὑπ αὐτοῦ.

Ἀναγκαῖον μέν οὖν τῷ κηρύσσεσθαι Ἰησοῦν Χριστὸν »ἐσταυρωμένον« κηρύσσεσθαι αὐτόν· □ἐλλιπὲς δέ ἐστιν αὐτὸν μέν κηρύσσειν, τὸν δὲ σταυρὸν αὐτοῦ σιωπᾶν□. κοὶ οὐχ οὕτως ἐλλιπές εἶνοί μοι φαίνεται

τὸ Ἰησοῦν εἰπεῖν τὸν Χριστον σιωπωμενου τινὸς των ἄλλων τεραστίων αὐτοῦ, ὡς σιωπωμένου τοῦ εἶναι αὐτὸν εσταυρωμενον. διόπερ τηρῶν τὸ τελειοτέρως κηρυχθῆναι ὑΠὸ τῶν ἀποστόλων τὰ περὶ αὐτοῦ, διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς καὶ ηὐτρέπιζεν αὐτοὺς λέγειν ὅτι αὐτός ἐστιν ὁ Χριστὸς ὁ ἐσταυρωμένος καὶ ἐκ νεκρῶν ἀναστάς, ἡνίκα ἤρξατο οὐ μόνον λέγειν οὐδέ ἕως τοῦ διδάσκειν προκόπτειν, ἀλλὰ καὶ δεικνύναι τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν εἰς Ἰεροσόλυμα ἀπελθεῖν καὶ τὰ ἑξῆς· πρόσεχε γὰρ τῇ δεικνύειν λέξει ὅτι, ὥσπερ τὰ αἰσθητὰ δείκνυσθαι λέγεται, οὕτως δείκνυσθαι εἴρηται ὑπὸ τοῦ Ἰηοοῦ τὰ ὑπ᾽ αὐτοῦ λεγόμενα τοῖς μαθηταῖς αὐτοῦ. καὶ οὐχ οὕτως οἶμαι δεδεῖχθαι τοῖς ἑωρακόσι σωματικῶς πολλὰ πάσχοντα αὐτὸν

ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἕκαστον τοῖν ὁρωμένων, ὡς τοῖς μαθηταῖς τὴν λογικὴν δεῖξιν περὶ τουτου.

<Καὶ> τότε μέν δεικνύειν, εἰκὸς δ’ ὅτι μετὰ τοῦτο τοῖς χωρητικοῖς γινομένοις τρανότερον ἐδείκνυεν, οὐκέτι ὡς εἰσαγομένοις ἀρχόμενος δεικνύναι, ἤδη κοὶ

προκόπτων ἐν τῷ δεικνύναι. καὶ εἴπερ ἐστὶν εὔλογον νοεῖν ὅτι πάντως οὗπερ ὁ Ἰησοῦς ἤρξατο τοῦτο ἐτέλεσε, πάντως ποτὲ ἐτέλεσεν ὃ ἤρξατο δεικνύειν τοῖς μαθηταῖς περὶ τοῦ δεῖν αὐτὸν τὰ γεγραμμένα ποθεῖν. ὅτε γὰρ τὴν ἀπὸ τοῦ λόγου περὶ τούτων <τῶν μυστηρίων> τελείαν γνῶσιν καταλαμβάνει τότε λεκτέον ἀπὸ λογικῆς δείξεως ὁρῶντος τοῦ νοῦ τὰ δεικνύμενα, τετελειῶσθαι τὴν δεῖξιν τῷ ταῦτα θεωρεῖν καὶ βουλομένῳ καὶ δυναμένῳ καὶ θεωροῦντι. ἐπεὶ δὲ οὐκ ἐνεδέχετο προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλὴμ« ἀπώλειαν ἀναλογίαν ἔχουσαν πρὸς τὸ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν«, διὰ τοῦτο ἔδει οὐ-

τὸν εἰς Ἱεροσόλυμα ἀπελθεῖν, ἵνα πολλὰ παθὼν ἐν <Ἱεροσολύμοις καὶ ἀποκτανθεὶς ἐν> ἐκείνοις ἀπαρχὴν τῆς ἐκ νεκρῶν ἀναστάσεως ποιήσῃ ἐν τοῖς »ἄνω« Ἱεροσολύμοις, <καταλείπων καὶ> > καταργῶν καὶ καταλύων τὴν ἐπὶ τῆς γῆς <Ἱερουσαλὴμ> μετὰ πάσης τῆς ἐν αὐτῇ λατρείας. ὅσον μὲν γὰρ »Χριστὸς« οὐκ »ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων«, οὐδὲ συνηγέρθησαν αὐτῷ οἱ γινόμενοι σύμμορφοι τῷ θανάτῳ καὶ τῇ ἀναστάσει αὐτοῦ, κάτω ἐζητεῖτο ἡ τοῦ θεοῦ πόλις καὶ ὁ ναός, οἱ καθαρισμοὶ καὶ τὰ λοιπά· ὅτε δὲ τοῦτο γέγονεν, οὐκέτι ἀλλὰ τὰ ἄνω. ἄτινα ἵνα ἐνστῇ, ἔδει αὐτὸν εἰς τὰ κάτω Ἱεροσόλυμα ἀπελθεῖν καὶ πολλὰ ἐκεῖ παθεῖν

ἀπὸ τῶν ἐν αὐτῇ πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων τοῦ λαοῦ, ἵαν δοξασθῇ <μὲν> ὑπὸ τῶν χωρούντων τὰς εὐεργεσίας αὐτοῦ οὐρανίων πρεσβυτέρων καὶ θειοτέρων ἀρχιερέων ὑπὸ ἀρχιερεῖ τῷ ἐνὶ τεταγμένων, δοξασθῇ δὲ ὑπὸ τῶν γραμματέων τοῦ λαοῦ ἀσχολουμένων περὶ γράμματα, οὐ τὰ γραφόμενα »μέλανι ἀλλὰ« τετρανωμένα »πνεύματι θεοῦ ζῶντος«, καὶ ἀποκτανθῇ μέν ἐν τοῖς κάτω Ἱεροσολύμοις, βασιλεύσῃ δέ ἀναστὰς ἐν »Σιὼν ὄρει κοὶ πόλει θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ«. τῇ τρίτη δὲ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη, ἵνα ῥυσάμενος »ἀπὸ τοῦ πονηροῦ« κοὶ τοῦ υἱοῦ αὐτοῦ, ἐν ᾧ τὸ ψεῦδος ἦν κοὶ ἡ ἀδικία καὶ ὁ πόλεμος καὶ πάντα τὰ ἐναντία οἷς ἐστιν ὁ Χριστός, ἔτι δὲ τοῦ μετασχηματιζομένου εἰς ἄγιον πνεῦμα βεβήλου πνεύματος, περιποιήσῃ τοῖς ῥυσθεῖσι βαπτίσασθαι τὸ πνεῦμα καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα »εἰς ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος«, ἅπερ τρεῖς ἡμέραι εἰσὶν ἅμα ἐνεστηκυῖαι αἰωνίως τοῖς δι αὐτὰς <γενομένοις> υἱοῖς τοῦ τάς.

Ἐπεὶ δὲ ἀνάξια τὰ πάθη ἐνόμιζεν εἶναι Χριστοῦ τοῦ υἱοῦ »τοῦ θεοῦ τοῦ ζῶντος«, ἥττονα δέ καὶ τοῦ ἀποκαλύψαντος αὐτῷ πατρὸς τὰ τηλικαῦτα περὶ αὐτοῦ οὐ γὰρ ἀποκεκάλυπτο αὐτῷ τὰ περὶ τοῦ πείσεσθαι) διὰ τοῦτο προσλαβόμενος αὐτὸν κοὶ ὥσπερ ἐπιλαθόμενος τῆς ἀξίας τοῦ Χριστοῦ, καὶ ὅτι ὁ υἱὸς τοῦ ζῶντος θεοῦ« οὐδέν ἐπιτιμήσεως λέγει ἢ πράττει ἄξιον, ἤρξατο ἐπιτιμᾶν αὐτῷ καὶ ὡς δεομένῳ ἱλασμοῦ (οὐ γὰρ ἤδει πω ὅτι »προέθετο ὁ θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι«) εἶπεν·

ἵλεώς σοι, κύριε. οὗ τὴν μέν πρόθεσιν ἀποδεξάμενος τῇ δέ ἀγνοίᾳ ἐπιτιμῶν, διὰ μέν τὴν πρόθεσιν οὖσαν δεξιὰν λέγει αὐτῷ· ὕΠαγε ὀπίσω μου, οἱονεὶ καταλιπόντι τὰ] δι᾽ ὧν ἠγνόει καὶ οὐκ ὀρθῶς ἔλεγεν <τὸ> ἀκολουθεῖν τῷ διὰ δὲ τὴν ἄγνοιαν,

ὡς ἀντικείμενόν τι ἔχοντι τοῖς τοῦ θεοῦ, εἶπε· σατανᾶ, ὅπερ ἐστὶν Ἑβραϊκῶς ΑΝΤΙΚΕΙΜΕΝΟΣ. εἰ δέ μήτε ἀπὸ ἀγνοίας εἰρήκει μήτε ἐπιτετιμήκει τῷ υἱῷ »τοῦ ζῶντος θεοῦ«, λέγο)ν αὐτῷ τὸ ἴλεώς σοι, κύριε· οὐ μὴ ἔσται σοι τοῦτο, οὔτ᾽ ἂν εἶπεν αὐτῷ τὸ ὕπαγε ὀπίσω μου, ὡς καταλιπόντι τὸ εἶναι αὐτοῦ ὀπίσω καὶ ἕπεσθαι αὐτῷ, οὔτ᾽ ἂν ὡς ἀντικείμενα εἰρηκότι τοῖς ὑπ᾽ αὐτοῦ λελεγμένοις ἔλεξεν ἂν τὸ σατανᾶ. νυνὶ δὲ ἴσχυσεν αὐτὸν ὁ σατανᾶς, ἀκολουθήσαντα τῷ Ἰησοῦ κοὶ ὀπίσω αὐτοῦ βαίνοντα, ἀποστῆσαι τοῦ ἀκολουθεῖν αὐτῷ καὶ τοῦ ὀπίσω τυγχάνειν τοῦ υἱοῦ τοῦ θεοῦ ποιῆσαι αὐτόν, δι᾽ ὧν εἶπεν ἀπὸ ἀγνοίας, ἄξιον τοῦ ἀκοῦσαι σατανᾶν καὶ σκάνδαλον τοῦ υἱοῦ τοῦ θεοῦ καὶ οὐ φρονοῦντα τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων. ὅτι δέ ὀπίσω πρότερον ἦν(πρὶν τοῦτο ἁμαρτεῖν)

υἱοῦ τοῦ θεοῦ ὁ Πέτρος. δῆλον ἐκ τοῦ δεῦτε ὀπίσω μου, κοὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων«.

Ἅμα δὲ συγκρινεῖς ὅτι πρὸς μὲν τὸν Πέτρον εἶπεν· ὕπαγε ὀπίσω μου, σατανᾶ, πρὸς δὲ τὸν διάβολον (εἰπόντα αὐτῷ· »πάντα ταῦτα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι«) »ὕπαγε, σατανᾶ« χωρὶς τῆς ἀπίσω μου προσθήκης. τὸ γὰρ ὀπίσω τοῦ Ἰησοῦ εἶναι ἀγαθόν ἐστι· διὸ ἔρηται τὸ δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων«. τοιοῦτον δέ ἐστι καὶ τὸ »ὃς οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος«. καὶ ἁπαξαπλῶς τήρει τὴν ὀπίσω λέξιν ὅτι ἀγαθὸν μέν ἐστι πρᾶγμα, ὅτε ὀπίσω κυρίου« τοῦ θεοῦ τις πορεύεται καὶ ὀπίσω τοῦ Χριστοῦ γίνεται· ἐναντίον δέ, ὅτε ῥίπτει τις τοὺς λόγους τοῦ θεοῦ εἰς τὰ ὀπίσω ἢ ὅτε παραβαίνει τὴν λέγουσαν ἐντολήν· ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου«. καὶ ὁ Ἠλίας δὲ ἐν τῇ τρίτη τῶν Βασι-

in principio vocationis eorum ita est dictum ad eos: »venite post me, et faciam vos piscatores hominum; et relictis omnibus secuti sunt eum«.

λειῶν πρὸς τὸν λαόν φησιν· »ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι κύριος ὁ θεός, πορεύεσθε ὀπίσω αὐτοῦ· εἰ δέ ἐστι κύριος ὁ Βάαλ, πορεύεσθε ὀπίσω αυτου«. καὶ λέγει τοῦτο τῷ Πέτρῳ ὁ Ἰησοῦς στραφείς, καὶ τοῦτο <γὰρ> ευεργετων ποιει. καὶ σὺ μὲν οὖν πλείονα συναγαγὼν παραδείγματα τοῦ στραφεὶς (καὶ μάλιστα ἐπὶ τοῦ Ἰησοῦ τεταγμένα) καὶ συνεξετάσας αὐτὰ ἀλλήλοις, εὕροις ἂν οὐ παρελκόντως τὴν λέξιν κειμένην. ἀρκεῖ δέ ἐπὶ τοῦ πορόντος παραθέσθαι

ἀπὸ τοῦ κατὰ Ἰωάννην »στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος αὐτοὺς δηλονότι Πέτρον καὶ Ἀνδρέαν) ἀκολουθοῦντας λέγει αὐτοῖς· τί ζητεῖτε;« ὅρα γὰρ ὅτι καὶ ἐν τούτοις τὸ »στραφεὶς« ἐπ᾽ εὐεργεσίᾳ γίνεται τῶν πρὸς οὓς ἐστράφη.

Μετὰ ταῦτα ζητητέον πῶς εἴρηκε τῷ Πέτρῳ τὸ σκάνδαλόν μου εἶ, μάλιστα ἐπεί φησιν ὁ Δαυίδ· »εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον«. φήσει γάρ τις· εἰ διὰ τὸ βέβαιον τῶν τὴν *** ἀγάπην ἐχόντων κοὶ ἀνεπιδέκτων ὄντων τοῦ σκανδαλίζεσθαι (ἡ ἀγάπη γὰρ »πάντα πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει«) εἴρηται τοῦτο ἐν

τῷ προφήτῃ πῶς αὐτὸς ὁ κύριος, ὑποστηρίζων »πάντας τοὺς καταπίπτοντας« καὶ ἀνοφθῶν »πάντας τοὺς κατερραγμένους«, εἶπε τῷ Πέτρῳ· σκάνδαλόν μου εἶ; λεκτέον δὲ ὅτι ἀνεπίδεκτος μέν ἐστι τοῦ σκανδαλίζεσθαι οὐ μόνον ὁ σωτὴρ ἀλλὰ καὶ <πᾶς> ὁ ἐν ἀγάπῃ τετελειωμένος, τὸ

ὅσον δέ ἐφ᾽ ἑαυτῷ ὁ τό τοιαῦτα λέγων ἢ πράττων, σκάνδαλόν ἐστι καὶ τοῦ μὴ σκανδαλισθησομένου· εἰ μὴ ἄρα πάντα τόν μαθητὴν Ἰησοῦς ἁμαρτάνοντα σκάνδαλον καὶ ἑαυτοῦ ἀποκαλεῖ, ὡς πολλῷ μᾶλλον παρὰ Παῦλον διὰ τὴν ἀγάπην λέξων ἄν· »τίς ἀσθενεῖ, κοὶ οὐκ ἀσθενῶ; τις σκανδαλίζεται, κοὶ οὐκ ἐγὼ πυροῦμαι;« παρ᾽ ὃ δυνατὸν ποιῆσαι· τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ σκανδαλίζομαι; εἰ δὲ Πέτρος τότε διὰ τὸ ἵλεώς σοι, κυριε, ου μη εσται σοι τοῦτο) σκάνδαλον εἴρηται ὑπὸ τοῦ Ἰησοῦ, ὡς οὐ τὰ τοῦ θεοῦ ἐν οἷς εἶπε φρονῶν, ἀλλὰ τὰ τῶν ἀνθρώπων, τί λεκτέον Περὶ πάντων τῶν ἐπαγγελλομένων μαθητεύεσθαι τῷ Ἰησοῦ, μὴ φρονούντων δὲ τὰ τοῦ θεοῦ καὶ μὴ σκοπούντων τὰ μὴ βλεπόμενα καὶ αἰώνια, φρονούντων δὲ τὰ τῶν ἀνθρώπων καὶ σκοπούντων τὰ βλεπόμενα καὶ πρόσκαιρα, ἢ ὅτι οἱ τοιοῦτοι ἔτι μᾶλλον ἂν ὑπὸ τοῦ Ἰησοῦ ἀποκαλοῖντο σκανδαλον οὐτοῦ καὶ διὰ τὸ σκάνδαλα αὐτοῦ εἶναι καὶ τῶν ἀδελφῶν; ἐφ᾽ οἷς ὡς λέγει τὸ »ἐπείνων καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν« κοὶ τὰ ἑξῆς,

ουτως ειποι αν και το τρεχοντα ἐσκανδαλίσατέ με. μη νομισωμεν τοινυν το τυχον ειναι ἁμάρτημα τὸ φρονεῖν τὰ τῶν ἀνθρώπων, δέον ἐν πᾶσι φρονεῖν τὰ τοῦ θεοῦ. ἁρμόσει δέ λέγειν τοῦτο καὶ παντὶ τῷ ἀποπεπτωκότι μὲν δουμάτων θεοῦ καὶ λόγων ἐκκλησιαστικῶν καὶ φρονήματος ἀληθοῦς, φρονοῦντι δ᾽ ὡς ἀληθῆ (φέρε εἰπεῖν) τὰ Βασιλίδου ἢ Οὐαλεντίνου ἢ Μαρκίωνος ἤ τινος τῶν διδασκόντων τὰ ἀνθρώπινα ὡς θεῖα.

Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς οὐτοῦ· εἴ τις θέλει ὀπίσω μου ἀκολουθεῖν καὶ τὰ ἑξῆς (16. 24–27).

Διὰ τούτων δείκνυται, ὅτι τὸ θέλειν ὀπίσω τοῦ Ἰησοῦ ἐλθεῖν καὶ ἀκολουθεῖν εἶν αὐῷ οὐκ ἀπὸ τοῦ τυχόντος ἀνδραγαθήματος γίνεται, καὶ οὐδεὶς μὴ ἀρνησάμενος ἑαυτὸν ἥκοι ἂν ὀπίσω τοῦ Ἰησοῦ. ἀρνεῖται δὲ ἑαυτὸν ὁ τὸν ἑαυτοῦ πρότερον κατὰ κακίαν βίον γεγενημένον τῇ ἀξιολόγῳ μεταβολῇ ἀπαλείφων, οἷον ὡς ἐπὶ παραδείγματος) ὁ πάλαι ἀκόλαστος ἀρνεῖται αὐτὸν ἀκόλαστον σωφρονήσας καὶ καθεξῆς.

ἀλλ᾽ εἰκὸς ἀντιπίπτειν τινά, εἰ ὥσπερ ἑαυτὸν ἠρνήσατο, οὕτως καὶ αὐτὸν ὁμολογεῖ, ἀρνησάμενος μέν ἑαυτὸν τὸν ἄδικον, ὁμολογῶν δέ ἑαυτὸν τὸν δίκαιον. ἀλλ᾽ εἴπερ Χριστός ἐστιν ἡ δικαιοσύνη, ὁ τὴν δικαιοσύνην ἀνειληφὼς οὐχ ἑαυτὸν ἀλλὰ Χριστὸν ὁμολογεῖ. οὕτως κοὶ ὁ τὴν σοφίαν εὑρὼν δι᾽ αὐτοῦ τοῦ ἔχειν σοφίαν Χριστὸν ὁμολογεῖ. καὶ ὁ τοιοῦτός γε, »καρδίᾳ« πιστεύων »εἰς δικαιοσύνην«, καὶ »στόματι« ὁμολογῶν »εἰς σωτηρίαν« καὶ τοῖς ἔργοις Χριστῷ μαρ- τυρῶν***, ὡς ὁμολογήσας διὰ πόντων τούτων τὸν Χριστὸν »ἔμπροσθεν τῶν ἀνθρώπων«, ὁμολογηθήσεται ὑπ᾽ αὐτοῦ »ἔμπροσθεν τοῦ ἐν τοῖς οὐρανοῖς πατρός«. οὕτω

δέ καὶ ὁ μὴ ἀρνησάμενος ἑαυτὸν <ὁμολογεῖ μὲν ἀρνεῖται δέ τὸν Χριστὸν καὶ ὡς> ἀρνησάμενος τὸν Χριστὸν πείσεται τὸ »κἀγὼ αὐτὸν ἀρνήσομαι«. διὰ τοῦτο πᾶς διαλογισμὸς ἡμῶν καὶ νόημα καὶ πᾶς λόγος κοὶ Πᾶσα πρᾶξις πνεέσθω τῆς ἡμῶν Περὶ ἑαυτῶν μέν ἀρνήσεως, περὶ δὲ Χριστοῦ καὶ ἐν Χριστῷ μαρτυρίας <καὶ ὁμολογίας>. πείθομαι γὰρ πᾶσαν τὴν τοῦ τελείου πρᾶξιν μαρτύριον εἶναι Χριστοῦ Ἰησοῦ, καὶ τὴν πάσης ὁμαρτίας ἀποχὴν ἄρνησιν εἶναι ἑαυτοῦ φέρουσαν ὀπίσω τοῦ

Ἰησοῦ. ὁ δὲ τοιοῦτος Χριστῷ συνεσταύρωται, κοὶ ἄρας τὸν σταυρὸν ἑαυτοῦ ἀκολουθεῖ τῷ δι᾽ ἡμᾶς βαστάζοντι τὸν ἑαυτοῦ σταυρὸν κατὰ τὸ εἰρημένον οὕτω παρὰ τῷ Ἰωάννῃ »παραλαβόντες οὖν αὐτὸν ἐπέθηκαν αυτω« καὶ τὰ ἑξῆς εως του »οπου αυτον εσταυρωσαν«. ἀλλ᾽ ὁ μέν ἶν᾽ οὕτο)ς ὀνομάσω) κατὰ τὸν Ἰωάννην Ἰησοῦς »ἑαυτῷ« βαστάζει »τὸν σταυρὸν« καὶ »βαστάζων αὐτὸν ἐξῆλθεν«, ὁ δέ κατὰ τὸν Ματθαῖον κοὶ Μᾶρκον καὶ Λουκᾶν οὐχ ἑαυτῷ αὐτὸν αἴρει· Σίμων γὰρ ὁ Κυρηναῖος αὐτὸν βαστάζει. καὶ τάχα οὗτος μὲν εἰς ἡμᾶς ἀνοφέρεται, τοὺς διὰ τὸν Ἰησοῦν τὸν Ἰησοῦ σταυρὸν αἴροντος. αὐτὸς δὲ ὁ Ἰησοῦς εἰς ἑαυτόν· οἷον γὰρ δύο ἐπίνοιαι τοῦ σταυροῦ εἰσιν, ἑνὸς μὲν ὃν ὁ Σίμων ὁ Κυρηναῖος βαστάζει, ἑτέρου δέ ὃν αὐτὸς »ἑαυτῷ« ὁ Ἰησοῦς.

Ἔτι δέ εἰς τὸ ἀρνησάσθω ἑαυτὸν δοκεῖ μοι χρήσιμον εἶναι τὸ ὑπὸ τοῦ Παύλου ἀρνουμένου ἑαυτὸν εἰρημένον, οὕτο)ς ἔχον· »ζῶ δὲ οὐκ-

έτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός«· τὸ γὰρ »ζῶ οὐκέτι ἐγὼ« φο)νὴ ἦν ἑαυτὸν ἀρνουμένου, ὡς ἀποθεμένου μὲν τὴν ἑαυτοῦ ζωήν, ἀνειληφότος δὲ εἰς ἑαυτὸν τὸν Χριστόν, ἵνα αὐτὸς ἐν αὐτῷ ζήσῃ ὡς »δικαιοσύνη« καὶ ὡς »σοφία« καὶ ὡς »ἁγισαμὸς« καὶ ὡς »εἰρήνη ἡμῶν« καὶ ὡς δύναμις θεοῦ«, πάντα ἐν αὐτῷ ἐνεργῶν. ἔτι δὲ καὶ τούτῳ πρόσχες ὅτι, πολλῶν ὄντων τῶν τρόπων τοῦ ἀποθνῄσκειν, ἐπὶ ξύλου« κρεμασθεὶς ἐσταυρώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα πάντες οἱ ἀποθνῄσκοντες »τῇ ἁμαρτίᾳ« μὴ ἄλλῳ τρόπῳ ἀποθάνωσιν αὐτῇ ἢ τῷ κατὰ τὸν σταυρόν· διὸ ἐροῦσι τὸ »Χριστῷ συνεσταύρωμαι« καὶ τὸ ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου <ἡμῶν Ἰησοῦ δι᾽ οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμω«. τάχα γὰρ καὶ ἕκαστος τῶν συσταυρουμένων ρουμένων Χριστῷ ἀπεκδύεται »τὰς

ἀρχὰς καὶ τὰς ἐξουσίας« καὶ δειγματίζει αὐιὰς καὶ θριαμβεύει ἐν τῷ ξύλῳ, μᾶλλον δὲ Χριστὸς ἐν αὐτοῖς ταῦτα ποιεῖ.

Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῖς σῶσαι, ἀπολέσει αὐτήν. Ἀμφίβολος ἡ πρώτη λέξις· ἔστι γὰρ ἀπ᾽ αὐτῆς καθ᾽ ἕνα μὲν τρόπον ταῦτα νοῆσαι· εἴ τις ὡς φιλόζωος καὶ οἰόμενος τὴν ἐνεστηκυῖαν εἶναι ζωὴν ἀγαθόν, περιέπει τὴν ἑαυτοῦ ψυχὴν πρὸς τὸ ἐν σαρκὶ ζῆν, φοβούμενος ἀποθανεῖν ὡς διὰ τούτου τοῦ θανάτου ἀπολέσων αὐτήν, οὗτος ἐν αὐτῷ τῷ θέλειν τὸν τρόπον τοῦτον σώζειν τὴν ψυχὴν ἑαυτοῦ ἀπολέσει αὐτήν, ἔξω ποιῶν αὐτὴν τῶν ὅρων τῆς μακαριότητος. εἰ δέ τις καταφρονῶν τοῦ ἐνεστηκότος ζῆν διὰ τὸν ἐμὸν λόγον πείσαντα περὶ αἰωνίου

ζωοῆς μέχρι θανάτου ἀγωνίζεσθαι ὑπέρ ἀληθείας, ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχὴν *** παραδιδοὺς αὐτὴν ὑπέρ

εὐσεβείας τῷ κοινότερον ὀνομαζομένῳ θανάτῳ, οὗτος, ὡς δι᾽ ἐμὲ ἀπολέσας τὴν ψυχήν, σώσει αὐτὴν μᾶλλον καὶ περιποιήσεται ***. καὶ καθ᾽ ἕτερον δέ τρόπον οὕτως ἂν ἐκδεχοίμεθα τὸ ῥητόν· εἴ τις νοήσας, ὅ τι ποτέ ἐστιν ἡ σωτηρία, βούλεται κομίσασθαι τὴν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς, οὗτος ἀποτεξάμενος τούτῳ τῷ βίῳ καὶ ἀρνησάμενος αὐτὸν καὶ ἄρας τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθῶν μοι ἀπολλύτω τῷ κόσμῳ την ψυχην εαυτου· εμου γὰρ ἕνεκεν κοὶ πάσης μου τῆς διδασκαλίας ἀπολλὺς αὐτήν, τέλος τῆς τοιαύτης ἀπωλείας *** κομίσεται τὴν σωτηρίαν.

Ἅμα δέ καὶ τήρει ὅτι ἑν μέν τῇ ἀρχῇ τὸ ὃς ἂν θέλῃ ειρηται, ἐξῆε δέ τὸ ὃς ἂν ἀπολέσῃ αυτην. θέλοντες οὖν αὐτὴν σώζεσθαι ἀπολέσωμεν αὐτὴν τῷ κόσμῳ, ὡς Χριστῷ συσταυρούμενοι καὶ ὡς ἔχοντες καύχημα τὸ »ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι οὗ ὁ κόσμος« ἡμῖν σταυρωθήσεται καὶ ἡμεῖς »τῷ κόσμῳ«, ἵνα κομισώμεθα »τὸ τέλος τὴν σωτηρίαν τῶν ψυχῶν« ἡμῶν, ἀρχομένην ἀπὸ τοῦ ἀπολλύναι ἡμᾶς αὐτὴν ἕνεκεν τοῦ λόγου. ἀλλ᾽ εἴπερ νοοῦμεν τὸ σώζεσθαι τὴν ψυχὴν μακάριον εἶναι, ἀναφερόμενον ἐπὶ τὴν ἐν θεῷ σωτηρίαν καὶ τοὺς παρ᾽ αὐτῷ μακαρισμούς, ὀφείλει τις εἶναι καὶ ἀπώλεια ψυχῆς ἀγαθὴ καὶ ἕνεκεν Χριστοῦ, προοίμιον ἐσομένη τῆς μακαρίας σωτηρίας. δοκεῖ μοι οὖν, ἀνάλογον τῷ ἀρνεῖσθαι ἑαυτὸν κατὰ τὰ ἀποδεδο-

μένα, ἀπολλύναι δεῖν ἕκαστον τὴν ἑαυτοῦ ψυχήν. ἀπολλύτω οὖν ἕκαστος τὴν ἑαυτοῦ ἁμαρτάνουσαν ψυχήν, ἵνα ἀπολέσας τὴν ἁμαρτάνουσαν ἀναλάβῃ τὴν ἐν τῷ κατορθοῦν σωζομένην. οὐδέν δὲ ὠφεληθήσεται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ. κερδαίνει δ᾽ (οἶμαι) τὸν ᾧ ὁ κόσμος οὐ σταυροῦται. ᾧ δὲ κόσμος οὐ σταυροῦται, ἐκείνῳ ἔσται ζημία τῆς ψυχῆς ἑαυτοῦ. δύο δὲ Προκειμένων, ἤτοι διὰ τὸ κερδαίνειν τὴν ψυχὴν ζημιοῦσθαι τὸν κόσμον, ἢ διὰ τὸ κερδαίνειν τὸν κόσμον ζημιοῦσθαι τὴν ψυχήν, Πολλῷ μᾶλλόν ἐστιν αἱρετώτερον ζημιωθῆναι μέν ἡμᾶς τὸν κόσμον, κερδῆσαι δὲ τὴν ψυχὴν ἐκ τοῦ διὰ Χριστὸν αὐτὴν ἀπολέσαι.

Τὸ δέ ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; δόξειμὲν ἐΠαπορητικῶς εἰρημένον δύνασθαι δηλοῦν καὶ τὸ δοῦναι ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ μετὰ τὰς ἁμαρτίας ὅλην ἀποδεδομένον τὴν οὐσία, ἵνα ψωμίσῃ πένητας τὰ ὑπάρχοντα αὐτοῦ, ὡς διὰ τούτου σωθησόμενος. καὶ ἀποφαντικῶς δ᾽ οἶμαι δηλοῦν ὅτι οὐκ ἔστι τι τῷ ἀνθρώπῳ, ὅπερ δοὺς ὡς ἀντάλλαγμα τῆς ψυχῆς ἑαυτοῦ κεκρατημένης ὑΠὸ τοῦ θανάτου, λυτρώσεται αὐτὴν ἐκ χειρὸς αὐτοῦ. ἄνθρωπος μὲν οὖν οὐκ ἂν δῴη τι ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ, θεὸς δέ τῆς πάντων ἡμῶν ψυχῆς ἀντάλλαγμα ἔδωκε τὸ τίμιον αἷμα τοῦ Ἰησοῦ καθὸ τιμῆς« ἠγοράσθημεν, οὐ φθαρτοῖς, ἀργυρίαῳ ἢ χρυσίῳ« ἀπολυτρωθέντες, »ἀλλὰ τιμίῳ αἵματι ὡς αμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ«, καὶ ἐν Ἡσαΐᾳ λέλεκται τῷ Ἰσραήλ· ἔδωκά σου ἀντάλλαγμα Αἰθιοπίαν καὶ Αἴγυπτον καὶ Σοήνην ὑπὲρ σοῦ, ἀφ᾽ οὗ σὺ ἔντιμος ἐγένου ἐναντίον μου, ἐδοξάσθης«· ἄλλαγμα γὰρ φέρ᾽ εἰπεῖν) ὑπὲρ τῶν πρωτοτόκων τοῦ Ἰσραὴλ τὰ Πρωτότοκα γέγονεν Αἰγυπτίων, κοὶ ὑπέρ τοῦ Ἰσραὴλ οἱ ἀποθανόντες Αἰγύπτιοι

ἐν ταῖς λοιποῖς μάστιξι τοῖς ἐπεληλυθυίαις ἐπ᾽ Αἴγυπτον καὶ ἐν τῷ μετὰ τὰς μάστιγας καταποντισμῷ.

ἀπὸ τούτων δὲ ὁ δυνάμενος ἐξεταζέτω εἰ τοῦ ἀληθινοῦ Ἰσραὴλ ἄλλαγμα δίδοται ὑπὸ τοῦ θεοῦ »ῥυομένου τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ« ἡ ἀληθινὴ Αἰθιοπία καὶ (ἵν᾽ οὕτως ὀνομάσω) Αἴγυπτος, καὶ τῆς Αἰγύπτου ἡ Σοήνη. ἵνα δέ τολμηρότερον ζητήσω, τόχα Σοήνη μὲν ὑπέρ τῆς Ἱερουσαλήμ, Αἴγυπτος δὲ ὑπὲρ τῆς Ἰουδαίας, Αἰθιοπία δὲ ὑπέρ τῶν φοβουμένων, ἑτέρων ὄντων πορὰ τὸν Ἰσραὴλ καὶ τὸν οἶκον Λευὶ κοὶ τὸν οἶκον Ἀαρών.

Μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. Νῦν μὲν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐλήλυθεν <ἀλλ’> οὐκ ἐν τῇ αὐτοῦ· »εἴδομεν« γὰρ αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδέ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον κοὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ πόνῳ καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη«. καὶ ἔδει αὐτὸν τοιοῦτον ἐληλυθέναι, ἵνα »τὰς ἁμαρτίας ἡμῶν φέρῃ καὶ περὶ ἡμῶν« ὀδυνηθῇ· οὐδέ γὰρ ἔπρεπε τὸν ἐν δόξῃ φέρειν »τὰς ἁμαρτίας ἡμῶν καὶ« ὀδυνηθῆναι

»περὶ ἡμῶν«. ἀλλὰ καὶ ἔρχεται ἐν δόξῃ προευτρεπίσας τοὺς μαθητὰς διὰ τῆς μὴ ἐχούσης »εἶδος μηδέ κάλλος« ἐπιφανείας αὐτοῦ. καὶ γενόμενος ὡς αὐτοὶ Πρὸς τὸ γενέσθαι αὐτοὺς ὡς αὐτός, »συμμόρφους τῆς εἰκόνος« τῆς δόξης αὐτοῦ, ἐπεὶ πρότερον αὐτὸς γέγονε σύμμορφος »τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν«, ἡνίκα »ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν« ἀποκαθίσταταί τε ἐΠὶ τὴν τοῦ θεοῦ μορφὴν καὶ ποιεῖ αὐτοὺς »συμμόρφους« αὐτῇ.

Ἐὰν δέ <τροπικῶς> κατανοῆσαι τὰς τοῦ λόγου διαφοράς, ἐν μωρίᾳ »κηρύγματος« καταγγελλομένου τοῖς πιστεύουσι καὶ ἐν σοφίᾳ λαλουμένου »τοῖς τελείοις«, ὄψει τίνα τρόπον ὁ λόγος τοῖς μὲν εἰσαγομένοις ἔχει δούλου μορφήν«, ὥστ᾽ ἄν εἰπεῖν αὐτούς· »εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος«, τοῖς δέ τελείοις ἔρχεται »ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ«, λέξουσιν ἂν τὸ καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης χάριτος καὶ ἀληθείας«. καὶ γὰρ τοῖς τελείοις φαίνεται ἡ δόξα τοῦ λόγου καὶ τὸ μονογενές αὐτοῦ τῷ πατρὶ

θεῷ καὶ τὸ τῆς »χάριτος πλῆρες« ὁμοίως δὲ καὶ τῆς »ἀληθείας«· ὅπερ οὐ δύναται χωρῆσαι ὁ δεόμενος πρὸς τὸ πιστεύειν τῆς μωρίας »τοῦ κηρύγματος«. μέλλει δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ οὐ μόνος. ἀλλὰ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ εἰ δύνασαι νοῆσαι πάντας τοὺς συνεργοὺς τῆς δόξης τοῦ λόγου καὶ τῆς ἀποκαλύφεως τῆς σοφίας ἅπερ ἐστὶν ὁ Χριστὸς) συνεπιδημοῦντας αὐτῷ, ὄφει τίνα τρόπον ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ. καὶ πρόσχες, εἰ δύνασαι ἐν τούτοις τοὺς πρότερον παθόντας προφήτας ἀναλογίαν φάσκειν ἐσχηκέναι πρὸς τὸν μὴ ἐσχηκότα »εἶδος μηδὲ κάλλος« λόγον, τῷ μὴ ἔχειν τι »εἶδος μηδέ κάλλος« λόγων. ὥσπερ δέ ἔρχεται ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, οὕτως ἄγγελοι γινόμενοι οἱ

ἐν τοῖς προφήτις λόγοι μετ᾽ αὐτοῦ παραγίνονται, τὴν ἀναλογίαν σώζοντες τῆς ἑαυτῶν δόξης.

ἐπὰν δὲ τοιοῦτος μετὰ τῶν ἀγγέλων αὐτοῦ ἐπιδημήσῃ <τῷ πιστεύοντος νῷ> ὁ λόγος, ἑκάστῳ τῆς δόξης ἑαυτοῦ καὶ τῆς λαμπρότητος τῶν ἀγγέλων ἑαυτοῦ κατὰ τὴν ἑκάστου πρᾶξιν. ταῦτα δὲ λέγομεν οὐκ ἀθετοῦντες καὶ τὴν ἁπλούστερον νοουμένην δευτέραν ἐπιδημίαν τοῦ υἱοῦ τοῦ θεοῦ. πότε δὲ ταῦτα ἀπαντήσεται ἢ ὅτε τὸ ἀποστολικὸν ἐκεῖνο πληροῦται λόγιον τὸ λέγον· τοὺς γὰρ πάντας ἡμᾶς παραστῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον«; εἰ δὲ ἑκάστῳ κατὰ τὴν πρᾶξιν ἀποδώσει, οὐ τὴν ἀστείαν μόνην <χωρὶς τῆς φαύλης> οὐδέ τὴν φαύλην χωρὶς τῆς ἀστείας, δῆλον ὅτι ἑκάστῳ ἀποδώσει κατὰ πᾶσαν φαύλην καὶ κατὰ πᾶσαν ἀστείαν πρᾶξιν. ὑπολαμβάνω δὲ ἐν τούτοις πειθόμενος καὶ τῷ ἀποστόλῳ, συβάλλων δὲ καὶ τὰ τοῦ Ἰεζεκιήλ,

ἐν οἷς τοῦ τελείως ἐπιστρέψαντος ἀπαλείφεται τὰ ἁμαρτήματα καὶ τοῦ πάντη ἐκπεσόντος οὐ λογίζεται τὰ πρότερον κατορθώματα) ὅτι τοῦ μὲν τελειωθέντος καὶ πόντη τὴν κακίαν ἀποθεμένου ἀπαλείφεται τὰ ἁμαρτήματα, τοῦ δὲ πόντη ἀποστατήσαντος τῆς θεοσεβείας οὐ λογίζεται εἴ τι πρότερον χρηστὸν αὐτῷ πέπρακται, ἡμῖν δέ τοῖς μεταξὺ τοῦ τελείου καὶ τοῦ ἀποστάτου παραστασιν »ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ« δίδοται ἃ ἐπράξαμεν, »εἴτε ἀγαθὸν εἴτε φαῦλον«· οὔτε γὰρ τοσοῦτον ἐκαθαρεύσαμεν, ἵνα ἡμῖν μηδόλως ἐπιλογισθῇ τὰ φαῦλα, οὔτε ἐπὶ τοσοῦτον ἐκπεπτώκαμεν, ὥστε ἐπιλησθῆναι ἡμῶν τὰ κρείττονα.

Ἀμὴν λέγω ὑμῖν, ⸢ὅτι⸣ εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου (16, 28).

Ταῦτα ἀναφέρουσί τινες ἐπὶ τὴν »μεθ᾽ ἡμέρας ἓκ» ἢ (ὡς ὁ

Λουκᾶς φησιν) ὀκτὼ ἀνάβασιν τῶν τριῶν ἀποστόλων εἰς τὸ »ἡψηλὸν« μετὰ τοῦ Ἰηαοῦ »κατ᾽ ἰδίαν ὄρος«. καί φασιν οἱ οὕτω διηγούμενοι ὅτι οὐκ ἐγεύσαντο θανάτου Πέτρος καὶ οἱ λοιποὶ δύο Πρὸ τοῦ ἰδεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐλθόντα ἐν τῇ βασοείᾳ αὐτοῦ καὶ ἐν τῇ δόξῃ αὐτοῦ. ἰδόντες γὰρ »ἔμπροσθεν αὐτῶν« μεταμορφωθέντα τὸν Ἰησοῦν, ὡς λάμψαι »τὸ πρόσωπον αὐτοῦ« κοὶ τὰ ἑξῆς, ἑωράκασι »τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει«. καὶ γὰρ ὡς περιεστήκασι βασιλέα δορυφόροι τινές, οὕτως »Μωσῆς καὶ Ἠλίας ὤφθησαν« τοῖς ἀναβεβηκόσιν εἰς τὸ ὄρος μετὰ τοῦ Ἰηοοῦ λαλοῦντες. ἄξιον δὲ ἐπιστῆσαι, εἰ ἐΠὶ τούτους ἀναφέρεται τὸ καθίσαι »ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων« τοῦ σωτῆρος »ἐν τῇ βασιλείᾳ« αὐτοῦ, ὡς τὸ »ἀλλ᾽ οἷς ἡτοίμασται« διὰ τούτους λελέχθαι. αὕτη δὲ ἡ διήγησις περὶ τοῦ μὴ γεύσασθαι θανάτου τοὺς τρεῖς ἀποστόλους, ἕως ἂν ἴδωσι τὸν Ἰησοῦν μεταμορφούμενον, ἁρμόζει τοῖς ὡς ὁ Πέτρος ὠνόμασε) γενομένοις »ὡς ἀρτιγέννητα βρέφη«, τὰ

ἐπιποθοῦντα »τὸ λογικὸν ἄδολον γάλα«. πρὸς οὓς ὁ Παῦλος λέγει· »γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα« καὶ τὰ ἑξῆς. καὶ πᾶσα δ᾽ οἶμαι) ἡ Πρὸς τὸ ῥητὸν οἰκοδομεῖν

δυναμένη τοὺς μὴ χωροῦντας μείζονα διήγησις γάλα ἂν εὐλόγως ὀνομάζοιτο, τό ῥέον ἀπὸ τῆς ἁγίας τῶν γραφῶν γῆς, τῆς ῥεούσης »μέλι καὶ γάλα«. ἀλλ᾽ ὁ ὡς ὁ Ἰσαὰκ ἀπογαλακτισθείς, ἄξιος εὐφροσύνης καὶ δοχῆς, ἣν ἐποίησεν ἐπὶ τῷ ἀπογαλακτισμῷ τοῦ υἱοῦ ὁ Ἀβραάμ, ζητήσειεν ἂν τὴν ἐν τούτοις καὶ Πάσῃ γραφῇ <στερεωτέραν τροφήν>, ἑτέραν οἶμαι) οὖσαν τοῦ βρώματος μέν οὐ στερεᾶς δὲ τροφῆς καὶ τῶν ὀνομαζομένων τροπικῶς λαχάνων, ἅτινα τῷ ἀπογαλακτισθέντι μὲν οὐκ ἐσχυρῷ δέ, ἀλλ᾽ ἀσθενοῦντί ἐστι τροφὴ κατὰ τὸ »ὁ ἀσθενῶν λάχανα ἐσθίει«. ὁμοίως καὶ ὁ ὡς ὁ Σαμουὴλ ἀπογαλακτισθεὶς καὶ <προσαγόμενος ἀπὸ τῆς ἐνώπιον τοῦ θεοῦ καὶ> ἀνατιθέμενος ἀπὸ τῆς μητρὸς τῷ θεῷ αὕτη δὲ Ἄννα ἦν, ἥτις ἑρμηνεύεται ΧΑΡΙΣ)· καὶ εἴη ἂν τῆς χάριτος υἱὸς ὁ ζητῶν, ὡς ἐν ναῷ τρεφόμενος θεοῦ, κρέατα, ἁγίαν τροφὴν τελείων ἅμα καὶ ἱερέων.

Τὰ οὖν εἰς τὸν προκείμενον τόπον βλεΠόμενα ἐπὶ τοῦ πορόντος ἡμῖν τοιαῦτά ἐστιν. ἦσάν τινες ἑστῶτες ὅπου ὁ Ἰησοῦς κοὶ ἐρηρεισμένας ἔχοντες τὰς τῆς ψυχῆς βάσεις παρὰ τῷ Ἰησοῦ, καὶ ἦν αὐτῶν ἡ τῶν ποδῶν στάσις συγγενὴς τῇ περὶ ἧς εἶπε Μωσῆς στάσει ἐν τῷ »κἀγὼ ἔστην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας«, ἀξιωθεὶς καὶ τοῦ »σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ«, λεγομένου πρὸς αὐτὸν ὑπὸ τοῦ θεοῦ ἀξιοῦντος αὐτὸν στῆναι παρ᾽ αὐτῷ. οὗτοι δὴ οἱ ἑστῶτες παρὰ τῷ Ἰησοῦ, τουτέστι παρὰ τῷ λόγῳ τοῦ θεοῦ, οὐ πάντες ἐπίσης ἑστήκασιν. ἔστι γὰρ καὶ ἐν τοῖς ἑστηκόσι παρὰ τῷ Ἰησοῦ πρὸς ἀλλήλους διαφορά· διὸ οὐ πάντες οἱ ἑστῶες παρὰ τῷ σωτῆρι, ἀλλὰ τινὲς αὐτῶν ὠςβέτιον ἑστηκότες οὐ γευ<σόμενοι λέγ> θανάτου, ἕως ἂν ἴδωσι τὸν ἀνθρώποις ἐπιδημήσαντα λόγον καὶ διὰ τοῦτο υἱὸν ἀνθρώπου χρηματίζοντα, ἐρχόμενον ἐν τῇ βασιλείᾳ ἑαυτοῦ· οὐ γὰρ ἀεί, ὅτε ἔρχεται ὁ λόγος, ἐν τῇ βασι-

λείᾳ αὐτοῦ ἔρχεται· ἐπεὶ τοῖς εἰσαγομένοις τοιοῦτός ἐστιν, ὥστε εἰπεῖν ἂν οὐτοὺς βλέποντος αὐτόν, οὐκ ἔνδοξον οὐδὲ μέγαν, ἀλλ᾽ ὑποδεέστερον πολλῶν ἐν ἀνθρώποις λόγων· »εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων«. καὶ τοῦτα ἐροῦσιν οἱ ἰδόντες αὐτοῦ τὴν δόξαν Περὶ τῶν προτέρων ἑαυτῶν χρόνων, ὅτε κατὰ τὰς ἀρχὰς οὐκ εἶχεν«αὐτοῖς »εἶδος οὐδέ κάλλος« ὁ ἐν εἰσαγωγῇ νοούμενος λόγος. ἔστιν οὖν τι βασιλικὸν ἐμφαινόμενον ἀξίωμα τοῦ τὴν ἐπὶ πᾶσιν λόγοις ἀρχὴν φανερώτατα ἀνειληφότος λόγου, βλεπόμενόν τισι τῶν ἑστηκότων παρὰ τῷ Ἰησοῦ, ἐπὰν δυνηθῶσιν αὐτῷ ἀκολουθῆσαι προάγοντι αὐτοὺς καὶ ἀναβαίνοντι εἰς τὸ ὑψηλὸν τῆς ἑαυτοῦ φανεφώσεως ὄρος. οὗ τινες τῶν ἑστώτων παρὰ τῷ Ἰησοῦ ἀξιοῦνται, ἐὰν ὦσιν ἤτοι Πέτρος, οὗ Πύλοι ᾅδου οὐ κατισχύουσιν«, ἢ τῆς βροντῆς υἱοὶ« καὶ γεννώμενοι ἀπὸ τῆς μεγαλοφωνίας τοῦ θεοῦ βροντῶντος κοὶ μεγάλα

οὐρανόθεν βοῶντος τοῖς ἔχουσιν »ὦτα« καὶ σοφοῖς. οἱ τοιοῦτοι γοῦν οὐ γεύονται θανάτου.

Εἰ δέ παρὰ τὰ εἰρημένα σαφέστερον ἐκθέσθαι δεῖ, τί δηλοῦται ἐν τῷ ἰδεῖν τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ καὶ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τι σημαίνεται ἐν τῷ ἰδεῖν »τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυμάμει«, τὰ εἴτε

ἐλλαμπόμενα ἐν ταῖς καρδίαις ἡμῶν εἴτε ζητοῦσιν εὑρισκόμενα εἴτε ὑπεισιόντα τοὺς λογισμοὺς ἡμῶν ἕκαστος δέ ὡς βούλεται κρινέτω) ἐκθησόμεθα. ὁ δὲ ὁρῶν καὶ καταλαμβάνων τὴν τοῦ λόγου ὑπεροχήν, λύοντος κοὶ διελέγχοντος πάσας πάσας τὰς ὑπὸ τῶν ψευδῶν μὲν ἐπαγγελλομένων δὲ ἀλήθειαν πιθανότητας, βλέπει τὸν υἱὸν τοῦ ἀνθρώπου (κατὰ Ἰωάννου λόγον τὸν λόγον τοῦ θεοῦ) ἐρχόμενον ἐν τῇ ἰδίᾳ βασιλείᾳ. εἰ δὲ βλέποι ὁ τοιοῦτος τὸν λόγον οὐ μόνον λύοντα *** ndaav τὴν

τῶν ἐναντίων πιθανότητα, ἀλλὰ καὶ τὰ ἴδια τρανότατα παριστάντα, βλέποι ἂν αὐτοῦ Πρὸς τῇ βασιλείᾳ καὶ τὴν δόξαν. καὶ ὁ τοιοῦτός γε ἐν αὐτῷ βλέΠοι ἂν »τὴν τοῦ θεοῦ βασιλείαν ἐληλυθυῖαν ἐν δυνάμει«· καὶ τοῦτο βλέποι ἂν *** ὡς οὐδαμῶς ἔτι ὑπὸ ἁμαρτίας βασιλευόμενος, βασιλευούσης ἐν τῷ θνητῷ σώματι τῶν ἁμαρτανόντων, ἀλλ᾽ τεταγμένος ὑπὸ βασιλεῖ τῷ τῶν ὅλων θεῷ, οὗ ἡ βασιλεία δυνάμει μέν ἐντὸς ἡμῶν« ἐστιν, ἐνεργείᾳ δὲ καὶ ὡς ὠνόμασεν ὁ Μᾶρκος) ἐν δυνάμει καὶ οὐδαμῶς ἐν ἀσθενείᾳ, ἐντὸς« τῶν τελείων μόνων. ταῦτα μέν οὖν ἐστῶσι τοῖς μαθηταῖς ὁ Ἰησοῦς οὐ περὶ πόντων οὐτῶν, ἀλλὰ περί τινων προφητεύων ἐπηγγείλατο.

33. Τί δέ τὸ γεύεσθαι θανά του κατανοητεον. καὶ ἔστιν ἡ μὲν ζωὴ ὁ εἰπὼν »ἐγώ εἰμι ἡ ζωή«. καὶ οὕτη γε ἡ ζωὴ« κέκρυΠται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ« καὶ ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε σὺν αὐτῷ« φανερωθήσονται οἱ ἄξιοι τοῦ »σὺν αὐτῷ« φανερωθῆναι »ἐν τῇ δόξῃ«. ὁ δὲ ἐχθρὸς ταύτης τῆς ζωῆς, ὃς καὶ »ἔσχατος ἐχθρὸς καταργεῖται« πόντων τῶν ἐχθρῶν αὐτοῦ, »θάνατός ἐστιν, ὃν ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθηήσκει, ἐναντίως διατιθεμένη τῷ γινομένῳ περὶ τὴν κατορθοῦσαν ψυχὴν καὶ ἐκ τοῦ κατορθοῦν ζῶσαν.

καὶ ἐπὰν λέγηται ἐν τῷ νόμῳ· δέδωκα πρὸ προσώπου σου τὴν ζο)ὴν κοὶ τὸν θάνατον«, »ἔκλεξαι τὴν ζωήν«, περὶ τοῦ εἰπόντος ἐγώ εἰμι ἡ ζωὴ« ταῦτά φησιν ἡ γραφὴ καὶ περὶ τοῦ ἐχθροῦ αὐτοῦ θανάτου, ὧν τὸ ἕτερον ἕκαστος ἡμῶν δι᾽ ὧν πράττει ἀεὶ ἐκλέγεται. καὶ ἐπὰν »πρὸ προσώπου« ἡμῶν οὔσης τῆς ζωῆς ἁμαρτάνωμεν, πληροῦται ἐφ᾽ ἡμᾶς ἡ λέγουσα ἀρά· »καὶ ἔσται ἡ ζωή σου κρεμαμένη σοι ἀπέναντι« καὶ τὰ ἐξῆς ἕως τοῦ καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου ἃ ὄψει«. ὥσπερ οὖν ἡ ζωὴ κοὶ ὁ ζῶν ἄρτος ἐστὶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς καὶ ζωὴν δοὺς τῷ κόσμῳ«, οὕτως ὁ ἐχθρὸς αὐτῷ θάνατος ἄρτος νεκρός. πᾶσα δὲ λογικὴ ψυχὴ ἤτοι ζῶντι τρέφεται ἄρτῳ ἢ νεκρῷ, δι᾽ ὧν παραδέχεται <ἔργων ἤ> δογματων ἀστείων ἢ φαύλων. εἶθ᾽ ὥσπερ ἔστιν ἐπὶ τῶν κοινοτέρων τροφῶν ποτὲ μέν αὐτῶν γεύσασθαι μόνον, ποτὲ δὲ ἐΠὶ πλεῖον αὐτῶν ἐσθίειν, οὕτω καὶ ἐπὶ τούτων τῶν ἄρτων ὁ μέν τις ἐνδεεστέρως ἐσθίει γευό-

μενος αὐτῶν, ὁ δὲ καὶ ἐμφορεῖται, ἀγαθὸς μέν ὢν ἢ ὁδεύων ἐπὶ τὸ ἀγθὸς εἶναι τοῦ ζῶντος ἄρτου κοὶ ἐξ οὐρανοῦ καταβεβηκότος, μοχθηρὸς δέ τοῦ νεκροῦ ἄρτου, ὅς ἐστιν ὁ θάνατος. καὶ τάχα οἱ μὲν σπανίως κοὶ μικρὰ ἁμαρτάνοντες μόνον γεύονται θανάτου· οἱ δέ <τελειότερον πνευματικὴν> ἀρετὴν οὐδὲ γεύονται αὐτοῦ, ἀλλ᾽ ἀεὶ ἄρτῳ τρέφονται ζῶντι. ἀκόλουθον οὖν ἦν τῷ Πέτρῳ, οὗ πύλαι ᾅδου οὐ κατισχύσουσι«, τὸ μηδὲ γεύσασθαι θανάτου, ἐπεὶ τότε γευέταί τις θανάτου

καὶ ἐσθίει θανάτου, ὅτε πύλοι ᾅδου« κατισχύουσιν οὐτοῦ, καὶ ἀνάλογον ἐσθίει ἢ γεύεται θανάτου τῷ κατισχύειν αὐτοῦ ἐπὶ πλεῖον ἢ ἔλαττον καὶ πλείονος ἢ ἐλάττονας ἅδου πύλας. ἀλλὰ καὶ τοῖς τῆς βροντῆς« υἱοῖς γεννηθεῖσιν ἀπὸ <μεγαλοφωνίας> ἀπὸ> βροντῆς, οὐρανίου ἀδύνατον ἦν γεύσασθαι θανάτου, τοῦ σφόδρα πόρρω τῆς μητρὸς οὐτῶν βροντῆς. ταῦτα δέ προφητεύει ὁ λόγος τοῖς

τελειωθησομένοις καὶ ἐκ τοῦ ἑστηκέναι παρὰ τῷ λόγῳ ἐπὶ τοσοῦτον Προκόψασιν. ὥστε αὐτοὺς μηδὲ γεύσασθαι θανάτου, ἕως ἂν ἴδωσι τὴν ἐπιφάνειαν καὶ τὴν δόξαν καὶ τὴν βασιλείαν καὶ τὴν ὑπεροχὴν τοῦ λόγου τοῦ θεοῦ, καθ᾽ ἣν ὑπερέχει παντὸς τοῦ ἀντιπερισπῶντος καὶ Περιέλκοντος λόγου φαντασίᾳ ἀληθείας τοὺς μὴ δυναμένους διαρρῆξαι τοὺς τοῦ περισπασμοῦ μοῦ δεσμοὺς καὶ ἀνλθεῖν ἐπὶ τὸ ὕφος τῆς ὑπεροχῆς τοῦ τῆς ἀληθείας λόγου.

Ἀλλ᾽ ἐπεὶ δόξοι ἄν τις τὴν τοῦ σωτῆρος ἐπαγγελίαν περιορίζειν χρόνῳ τὸ μὴ γεύσασθαι θανάτου, ὅτι οὐ γεύσονται μέν θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, μετὰ δὲ τοῦτο γεύσονται αὐτοῦ. παραστήσωμεν κατά τινα συνήθειαν τῆς γραφῆς τὸ ἕως δηλοῦν τὸν κατεπείγοντα Περὶ τοῦ δηλουμένου χρόνον, οὐ περιοριζόμενον, ὥστε πάντως μετὰ τὸ ἕως γενέσθαι τό ἐναντίον τῷ δηλουμένῳ. φησὶ δὲ ὁ σωτὴρ τοῖς ἕνδεκα μαθηταῖς, ἡνίκα ἀνέστη ἀπὸ τῶν νεκρῶν πρὸς ἑτέροις καὶ τὸ ἰδοὺ ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος«. ἆρα γὰρ εἰπὼν τοῦτο. »ἕως« μὲν τῆς συντε-

λείας τοῦ αἰῶνος« ἔμελλεν αὐτοῖς συνέσεσθαι, μετὰ δὲ τὴν συντέλειαν τοῦ αἰῶνος, ἐνισταμένου τοῦ ἑτέρου τοῦ καλουμένου μέλλοντος) οὐκέτι συνέσεσθαι αὐτοῖς ἐπηγγέλλετο, ὡς κατὰ τοῦτο κρεῖττον εἶναι ἂμ τοῖς μαθηταῖς τὸ »ἕως τῆς συντελείας τοῦ αἰῶνος« περὶ αὐτοῖς κατάστημα τοῦ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος; ἀλλ᾽ οὐκ ἂν οἶμαί τινα τολμῆσαι λέγειν ὅτι μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος οὐκέτι συνέσται τοῖς μαθηταῖς ὁ υἱὸς τοῦ θεοῦ, ἐπεὶ ἡ λέξις ἐπὶ τοσοῦτον ἔσεσθαι αὐτὸν μετ᾽ αὐτῶν φησιν, ἕως ἡ συντέλεια τοῦ αἰῶνος ἐνστῇ· σαφὲς γὰρ ὅτι τὸ ζητούμενον ἦν, εἰ πρὸ τοῦ μέλλοντος αἰῶνος καὶ τῶν ἐλπιζομένων ἀμοιβαίων ἐπαγγελιῶν τοῦ θεοῦ ἤδη συνέσεσθαι τοῖς μαθηταῖς ἔμελλεν ὁ υἱὸς τοῦ θεοῦ. ζητούμενον δ᾽ ἂν ἦν, διδομένου τοῦ συνέσεσθαι τοῖς ***, μήποτε ὁτὲ μὲν συνῆν αὐτοῖς ὁτὲ δὲ οὐ συνῆν. διόπερ ἀπολύων ἡμᾶς τῆς περὶ τοῦ διστάζειν ὑπονοίας, ἀπεφήνατο ὅτι ἤδη καὶ ἐπὶ πόσος τὰς ἡμέρας« συνεῖναι τοῖς μαθηταῖς ἤμελλεν, οὐ κατλέψων τοὺς μαθητευθέντας αὐτῷ »ἕως τῆς συντελείας τοῦ αἰῶνος«· οὐ μὴν κατὰ τὰς νύκτας (εἴ τινι ἔδυνεν ὁ ἥλιος) αὐτοῖς.

εἰ δὲ τοιοῦτόν ἐστι τὸ »ἕως τῆς συντελείας τοῦ αἰῶνος«. δῆλον ὅτι οὐκ ἀναγκασθησόμεθα παραδέξασθαι γεύσασθαι θανάτου τοὺς ἰδόντας τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ μετὰ τὸ καταξιωθῆναι τοῦ τοιοῦτον αὐτὸν ἰδεῖν. ἀλλ᾽ ὥσπερ ἐφ᾽ οὗ παρεθέμεθα ῥητοῦ τὸ κατεπεῖγον ἦν ἡμᾶς μαθεῖν, ὅτι »ἕως τῆς συντελείας τοῦ αἰῶνος« οὐ καταλείψει ἡμᾶς, ἀλλ᾽ ἔσται μεθ᾽ ἡμῶν »πάσας τὰς ἡμέρας«, ουτως και επι τουτου σαφὲς μέν οἶμαι τοῖς

βλέπειν εἰδόσιν ἀκολουθίαν πραγμάτων εἶναι, τὸν ἅπαξ ἰδόντα τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχ·όμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἰδόντα αὐτὸν ἐν τῇ δόξῃ αὐτοῦ κοὶ ἰδόντα »τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει«, οὐκ ἂν μετὰ τὴν τῶν τηλικούτων ἀγαθῶν θεωρίαν θανάτου γεύσασθαι. τό] χωρὶς δέ τοῦ λόγου τῆς ἐπαγγελίας τοῦ Ἰησοῦ οὐκ ἀλόγως ἂν ὑπενοήσαμεν γεύσασθαι θανάτου, ὅσον οὐδέΠω κατηξιώθημεν ἰδεῖν »τὴν βασιλείαν τοῦ θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει« καὶ τὸν υἱὸν τοῦ ἀν-

θρώπου ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ καὶ ἐν τῇ βασιλείᾳ.

Ἐπεὶ δέ ἐνταῦθα μὲν γέγροπται παρὰ. τοῖς τρισὶν εὐαγγελισταῖς τὸ οὐ μὴ γεύσωνται θανάτου, ἐν δὲ ἄλλοις διάφορα περὶ θανάτου, οὐκ ἄτοπον κἀκεῖνα παραρέμενον συνεξετάσαι τῷ γεύσασθαι. ἐν μέν οὖν Ψαλμοῖς λέλεκται· »τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον;« καὶ πάλιν ἐν ἄλλῳ τόπῳ· »ἐλθέτω δὴ θάνατος ἐπ᾽ αὐτούς, καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες«, ἐν δέ τινι τῶν προφητῶν· »κατέπιεν ὁ θάνατος ἰσχύοος«, ἐν δέ τῇ Ἀποκαλύψει »ὁ θάνοτος καὶ ὁ ᾅδης ἀκολουθεῖ« τισιν. ἐν τούτοις δὲ δοκεῖ μοι ἕτερον μέν εἶναι τὸ γεύσασθαι θανάτου, ἕτερον δέ τὸ ἰδεῖν αὐτὸν καὶ ἄλλο τὸ ἐλθεῖν αὐτὸν ἐπί τινας καὶ τέταρτον σημαίνεαθαι πορά τά προειρημένα ἐκ τοῦ »κατέπιεν ὁ θάνατος ἰσχύσος«, καὶ πέμπτον τι παρά ταῦτα ἐκ τοῦ »ὁ θόνατος καὶ ὁ ᾅδης ἀκολουθεῖ αὐτοῖς«. καὶ σύ δ᾽ ἀναλεξάμενος τόχ᾽ ἂν εὕροις καὶ ἑτέρας παρὰ ταύτας (ὧν ὑπεμνήσθημεν) διαφοράς, ἅστινος παρατιθεὶς ἀλλήλαις καὶ ὀρθῶς ζητῶν εὕροις ἂν τὰ καθ᾽ ἕκαστον τόπον σημαινόμενα πράγματα. ζητῶ δέ ἐν τούτοις, μήποτε ἔλαττον μὲν κακόν ἐστι τὸ ἰδεῖν θάνατον,

τούτου δὲ μεῖζον τὸ γεύσασθαι οὐτοῦ, τούτου δέ ἔτι χεῖρον τὸ ἀκολουθεῖν τινι θάνατον καὶ οὐ μόνον ἀκολουθεῖν, ἀλλὰ καὶ ἤδη ἐλθεῖν ἐπ᾽ αὐτὸν καὶ καταλαβεῖν ἐκεῖνον ᾧ πρότερον ἠκολούθει. τὸ δὲ καταποθῆναι ὑπ᾽ αὐτοῦ πόντων δοκεῖ μοι βαρύτερον εἶναι τῶν εἰρημένων. ἐπιστήσας δέ τοῖς εἰρημένοις καὶ τῇ διαφορᾷ τῶν ἁμαρτανομένων οὐκ ὀκνήσεις (οἶμαι) τοιαῦτά τινα νενοῆσθαι τῷ ἐνεργήσαντι ταῦτα γραφῆναι ἐν τοῖς λογίοις τοῦ θεοῦ πνεύματι.

36. Μετὰ δὲ ἡμέρας ἓξ κατὰ τὸν Ματθαῖον κοὶ τὸν Μᾶρκον) παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, κοὶ ἀνάγει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν (17. 1.2 [—9]).

Τοῦτο δέ καὶ πρὸ<ς τοῖς> τῆς κατὰ ταῦτα φαινομένης ἡμῖν διηγήσεως γεγονέτω πάλαι καὶ ὡς πρὸς τὴν λέξιν. δοκεῖ δέ μοι τοὺς ἀναγομένους ὑπὸ τοῦ Ἰησοῦ εἰς τό ὑψηλὸν ὄρος καὶ ἀξιουμένους τοῦ κατ᾽ ἰδίαν αὐτοῦ τὴν μεταμόρφωσιν θεωρῆσαι, μὴ μάτην μεθ᾽ ἓξ ἡμέρας ἀνάγεσθαι τῶν προειρημένων λόγων.

ἐπεὶ γὰρ ἐν ἓξ ἡμέραις, τελείῳ ἀριθμῷ, ὁ σύμπας γεγένηται κόσμος, τὸ τέλειον τοῦτο δημιούργημα, διὰ τοῦτ᾽ οἶμαι τὸν ὑπερβαίνοντα πάντα τὰ τοῦ κόσμου πράγματα ἐν τῷ ἐσκοπηκέναι, οὐκέτι μέν »τὰ βλεπόμενα« (»πρόσκαιρα« γὰρ ἤδη δέ τὰ μὴ βλεπόμενα« καὶ μόνα »τὰ μὴ βλεπόμενα« (διὰ τὸ εἶναι αὐτὰ »αἰώνια«), ἐν

τῷ μεθ’ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τούσδε τινός. εἴ τις οὖν ἡμῶν βούλεται τοῦ Ἰησοῦ παραλαμβάνοντος αὐτὸν ὑπ αὐτοῦ ἀναχθῆανι εἰς τό ὑψηλὸν ὄρος καὶ ἀξιωθῆναι κατ’ ἰδίαν θεωρῆσαι τὴν μεταμόρφωσιν αὐτοῦ, ὑπεραναβαινέτω τὰς ἓξ ἡμέρας, διὰ τὸ μὴ σκοπεῖν ἔτι »τὰ βλεπόμενα« μηδὲ ἀγαπᾶν ἔτι τὸν κόσμον μηδὲ τὰ ἐν κόσμῳ«, μηδέ τινα κοσμικὴν ἐπιθυμίαν ἐπιθυμεῖν, ἥτις ἐστὶν ἐπιθυμία σωμάτων καὶ τοῦ ἐν σώματι πλούτου καὶ τῆς κατὰ σάρκα δόξης, καὶ ὅσα πέφυκε τὴν ψυχὴν περισπᾶν καὶ περιέλκειν ἀπὸ τῶν κρειττόνων καὶ θειοτέρων καὶ καταβιβάζειν καὶ ἐρείδειν τῇ ἀπάτῃ τοῦ αἰῶνος

τούτου ἐν Πλούτῳ καὶ δόξῃ καὶ ταῖς λοιπαῖς ἐχθροῖς ἀληθείᾳ ἐπιθυμίαις. ἐπειδὰν γὰρ διέλθῃ τὰς ἓξ (ὡς εἰρήκαμεν) <ἡμέρας>, κοινὸν σάββατον, εὐφραινόμενος ἐν τῷ ὑψηλῷ ὄρει ἐκ τοῦ βλέπειν μεταμορφωθέντα τὸν Ἰησοῦν ἔμπροσθεν *** αὐτοῦ· διαφόρους γὰρ ἔχει ὁ λόγος *** μορφάς, φαινόμενος ἑκάστῳ ὡς συμφέρει τῷ βλέποντι, καὶ μηδενὶ ὑπὲρ ὃ χωρεῖ ὁ βλέπων φανερούμενος.

Ζητήσεις δὲ εἰ, ὅτε μετεμορφώθη ἔμπροσθεν τῶν ὑπ αὐτοῦ ἀναχθέντων εἰς τὸ ὑψηλὸν ὄρος, ὤφθη αὐτοῖς »ἐν μορφῇ θεοῦ« ᾗ ὑπῆρχε πάλαι, ὡς τοῖς μέν κάτω ἔχων τὴν »δούλου μορφὴν« τοῖς δὲ ἀκολουθήσασιν αὐτῷ μετὰ ἓξ ἡμέρας εἰς τὸ ὑψηλὸν ὄρος οὐκ ἐκείνην, ἀλλὰ τὴν τοῦ θεοῦ. ἀλλ᾽ ἄκουε τούτων εἰ δύνασαι) πνευματικῶς, προσέχων ἅμα ὅτι οὐκ εἴρηται μὲν ἁπαξαπλῶς μετεμορφώθη, μετὰ δέ τινος ἀναγκαίας προσθήκης, ἣν ἀνεγραψε Ματθαῖος καὶ Μᾶρκος· κατὰ γὰρ ἀμφοτέρους μετεμορφώθη ἔμπροσ-

θεν αὐτῶν. καὶ κατὰ τοῦτό τοῦτό γε ἐρεῖς δυνατὸν εἶναι τὸν Ἰησοῦν ἔμπροσθεν μέν τινων μεταμορφωθῆναι ταύτην τὴν μεταμόρφωσιν, ἔμπροσθεν δὲ ἑτέρων κατὰ τὸ αὐτὸ καιροῦ μὴ μεταμορφῶθῆναι. εἰ δὲ θέλεις τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ ἰδεῖν ἔμπροσθεν τῶν ἀνβάντων εἰς τὸ ὑψηλὸν ὄρος κατ’ ἰδίαν σὺν αὐτῷ, ἴδε μοι τὸν ἐν τοῖς εὐαγγελίοις Ἰησοῦν ἁπλούστερον μὲν νοούμενον καὶ ὡς ἂν ὀνομάσαι τις) »κατὰ σάρκα« γινωσκόμενον τοῖς μὴ ἀναβαίνουσι διὰ τῶν ἐπαναβεβηκότων ἔργων καὶ λόγων ἐπὶ τὸ ὑψηλὸν τῆς σοφίας ὄρος, οὐκέτι« δὲ <τοῖς ἀναβαίνουσιν> »κατὰ σάρκα« γινωσκόμενον ἀλλὰ θεολογούμενον δι’ ὅλων τῶν εὐαγγελίων καὶ ἐν τῇ τοῦ θεοῦ μορφῇ« κατὰ τὴν γνῶσιν αὐτῶν θεωρούμενον· τούτων γὰρ ἔμπροσθεν μεταμορφοῦται ὁ Ἰησοῦς, καὶ ἐν οὐδενὶ τῶν κάτω ***. ἐπὰν δέ μεταμορφωθῇ, καὶ τὸ πρόσωπον αὐτοῦ λάμψει ὡς ὁ ἥλιος, ἵνα φανερωθῇ τοῖς τέκνοις »τοῦ φωτὸς« ἐκδυσαμένοις »τὰ ἔργα τοῦ σκότους«

καὶ ἐνδυσαμένοις »τὰ ὅπλα τοῦ φωτὸς« καὶ μηκέτι οὖσι τέκνοις »σκότους ἢ νυκτός«, ἀλλὰ γενομένοις υἱοῖς »ἡμέρας« καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως« περιπατοῦσι, καὶ φανερωθεὶς λάμψει αὐτοῖς, οὐχ ἁπλῶς ὡς ὁ ἥλιος. ἀλλ᾽ ἐπιδεικνύμενος αὐτοῖς τὸ εἶναι »δικαιοσύνης ἥλιος«.

Καὶ οὐ μόνον αὐτὸς μεταμορφοῦται ἔμπροσθεν τῶν τοιούτων μαθητῶν οὐδέ προστίθησι μόνον τῇ μεταμορφώσει τὸ λάμψαι τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, ἀλλὰ γὰρ τὰ ἱμάτια αὐτοῦ τοῖς ἀναχθεῖσιν ὑπ αὐτοῦ εἰς τὸ ὑψηλὸν ὄρος κατ᾽

ἰδίαν φαίνεται λευκὰ ὡς τὸ φῶς. ἱμάτια δὲ τοῦ Ἰησοῦ αἱ λέξεις καὶ ἃ ἐνεδύσατο τῶν εὐαγγελίων γράμματα. οἶμοι δ’ ὅτι καὶ τὰ παρὰ τοῖς ἀποστόλοις δηλούμενα περὶ αὐτοῦ ἱμάτιά ἐστιν Ἰησοῦ, γινόμενα τοῖς ἀναβαίνουσιν εἰς τὸ ὑψηλὸν ὄρος μετὰ τοῦ Ἰησοῦ λευκά. ἀλλ᾽ ἐπεὶ καὶ λευκῶν εἰσι διαφοραί, τὰ ἱμάτια αὐτοῦ γίνονται *** λευκὰ ὡς τὸ Πόντων λευκὸν λαμπρότατον καὶ

καθαρώτατον· τοῦτο δέ ἐστι τὸ φῶς. ἐπὰν οὖν ἴδῃς τινὰ οὐ μόνον τὴν περὶ Ἰησοῦ θεολογίαν ἀκριβοῦντα, ἀλλὰ καὶ τὴν λέξιν τῶν εὐαγγελίων πᾶσαν σαφηνίζοντα, μὴ ὄκνει τῷ τοιούτῳ φάσκειν γεγονέναι τὰ ἱμάτια τοῦ Ἰησοῦ λευκὰ ὡς τὸ φῶς. ἐπὰν δὲ οὕτω νοηθῇ καὶ θεωρηθῇ μεταμορφωθεὶς ὁ υἱὸς τοῦ θεοῦ, ὡς τὸ πρόσωπον αὐτοῦ εἶνοι <ὡς τὸν> ἥλιον καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς τὸ φῶς, εὐθέως ὀφθεῖεν ἂν τῷ τοιοῦτον ἰδόντι τὸν Ἰησοῦν Μωσῆς ὁ νόμος, καὶ Ἠλίας, συνεκδοχικῶς οὐχ εἷς μόνος ἀλλὰ πάντες οἱ προφῆται, κοινολογούμενοι πρὸς τὸν Ἰησοῦν· τοιοῦτον γάρ τί ἐστι τὸ δηλούμενον ἀπὸ τοῦ μετ’ αὐτοῦ συλλαλοῦντες, κατὰ δὲ τόν Λουκᾶν· »Μωσῆς καὶ Ἠλίας ὀφθέντες ἐν δόξῃ« καὶ τὰ ἑξῆς ἕως τοῦ ἐν Ἰερουσαλήμ«, εἴ τις δὲ εἶδε Μωσέως τὴν δόξαν, νοήσας τὸν πνευματικὸν νόμον ὡς ἕνα πρὸς τὸν Ἰησοῦ λόγον, καὶ τὴν ἐν τοῖς προφήταις ἐν μυστηρίῳ ἀποκεκρυμμένην σοφίαν«, εἶδε Μωσῆν καὶ Ἠλίαν »ἐν δόξῃ«, ὅτε εἶδεν αὐτοὺς μετὰ τοῦ Ἰησοῦ.

Εἶτ’, ἐπεὶ κατὰ τὸν Μᾶρκον δεήσει διηγήσασθαι τὸ »καὶ ἐν

τῷ προσεύχεσθαι αὐτὸν μετεμορφώθη ἔμπροσθεν αὐτῶν«, λεκτέον ὅτι μήποτε μάλιστα ἔστιν ἰδεῖν τὸν λόγον ἔμπροσθεν ἡμῶν μεταμορφούμενον, ἐὰν τὰ προειρημένα ποιήσωμεν καὶ ἀναβῶμεν εἰς τὸ ὄρος καὶ ἴδωμεν τὸν αὐτόλογον κοινολογούμενον πρὸς τὸν πατέρα καὶ εὐχόμενον οὐτῷ, ὑπὲρ ὧν εὔξαιτ ἂν ἀληθινὸς ἀρχιερεὺς ἀληθινῷ μόνῳ θεῷ. ἵνα δὲ οὕτω θεῷ ὁμιλῇ καὶ προσεύξηται τῷ πατρί, ἀναβαίνει εἰς τὸ ὄρος· τότε δὲ κατὰ τὸν Μᾶρκον γίνονται »τὰ ἱμάτια αὐτοῦ λευκὰ καὶ στίλβοντα ὡς τὸ φῶς, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτως λευκᾶναι«. καὶ τάχα οἱ μὲν ἐπὶ τῆς γῆς« γναφεῖς οἱ ἐπιμελούμενοί εἰσι σοφοὶ τοῦ αἰῶνος τούτου« λέξεως, ἧς νομίζουσι λαμπρᾶς καὶ καθαρᾶς, ὡς κοσμεῖσθαι δοκεῖν καὶ τὰ αἰσχρὰ νοήματα καὶ τὰ ψευδῆ δόγματα ὑπὸ τῆς ἵν’ οὕτως ὀνομάσω) γναφικῆς οὐτῶν. ὁ δὲ στίλβοντα« τοῖς ἐπαναβεβηκόσιν ἐπιδεικνὺς »τὰ ἱμάτια αὐτοῦ« καὶ λαμπρότερα, ὧν

δύναται ποιεῖν ἡ ἐκείνων γναφική, ὁ λόγος ἐστίν, παριστὰς ἐν ταῖς ὑπὸ πολλῶν καταφρονουμέναις λέξεσι τῶν γραφῶν τὴν τῶν νοημάτων στίλψιν, ὅτε ὁ ἱματισμὸς« τοῦ Ἰησοῦ κατὰ τὸν Λουκᾶν »λευκὸς« καὶ »ἐξαστράπτων« γίνεται.

Ἴδωμεν οὖν μετὰ ταῦτα, τί νοήσας ὁ Πέτρος ἀποκριθεὶς εἶπε τῷ Ἰησοῦ· κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· ποιήσωμεν τρεῖς σκηνὰς καὶ τὰ ἑξῆς. διὰ τοῦτο δέ μάλιστα ταῦτα ζητητέον, ἐπεὶ ὁ μέν Μᾶρκος ἐπήγαγεν οὐτοῖς ὡς ἐκ τοῦ ἰδίου προσώπου τὸ οὐ γὰρ ᾔδει τι ἀπεκρίθη«, ὁ δὲ Λουκᾶς μὴ εἰδὼς« φησὶν »ὃ λέγει«. ἐπιστήσεις οὖν εἰ κατ᾽ ἔκστασιν ταῦτα ἐλάλει, πεοληρωμένος του κινοῦντος αὐτὸν πνεύματος πρὸς τὸ εἰπεῖν ταῦτα, ὅπερ ἅγιον μὲν εἶναι οὐ

δύναται· ἐδίδαΞε γὰρ ἐν τῷ εὐαγγελίῳ ὁ Ἰωάννης πρὸ τῆς ἀναστάσεως τοῦ σωτῆρος μηδένα πνεῦμα ἅγιον ἐσχηκέναι εἰπών· »οὔπω γὰρ ἦν πνεῦμα, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη«. εἰ δὲ οὔπω ἦν πνεῦμα«, καὶ ὁ μὴ εἰδὼς« τί ἐλάλει ὑπό τινος κινούμενος πνεύματος ἐλάλει, ἔν τι τῶν πνευμάτων ἦν τό ταῦτα λέγεσθαι ἐνεργοῦν, ὃ μηδέπω τεθριάμβευτο ἐν τῷ ξύλῳ« μηδὲ δεδειγμάτιστο

μετ εγεινων περὶ ὧν γέγραπται τὸ »ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας ἐν τῷ εύλῳ«. τοῦτο δὲ ἦν τάχα τὸ κληθὲν σκάνδαλον ὑπὸ τοῦ Ἰησοῦ καὶ ὁ εἰρημένος σατανᾶς ἐν τῷ »ὕπαγε ὀπίσω μου, σκάνδαλόν μου εὖ οἶδα δ' ὅτι τὰ τοιαῦτα πολλοῖς προσκόψει τῶν ἐντυγχανόντων, οἰομένοις οὐ κατὰ τὸ εὔλογον δυσφημεῖσθαι τὸν πρὸ μικροῦ μακαρισθέντα ὑπὸ τοῦ Ἰησοῦ ἐπὶ τῷ <οὐ σάρκα καὶ αἷμα, ἀλλὰ> τοῖς οὐρανοῖς« πατέρα ἀποκεκαλυφέναι αὐτῷ τὰ περὶ τοῦ σωτῆρος, ὡς ἄρα ὁ Ἰησοῦς εἴη καὶ »ὁ Χριστὸς« καὶ »ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος«. ἀλλ᾽ ὁ τοιοῦτος ἐπιστησάτω τῇ τοῦ Πέτρου κοὶ τῶν λοιπῶν ἀποστόλων ἀκριβείᾳ, καὶ αὐτῶν δεηθέντων (ὡς ἀλλοτρίων ἔτι) τοῦ αὐτοὺς ἀπὸ τοῦ ἐχθροῦ καὶ ὠνησομένου αὐτοὺς τῷ τιμίῳ« αὐτοῦ »αἵματι«. ἢ λεγέτωσαν ἡμῖν οἱ θέλοντες καὶ πρὸ τοῦ πάθους Ἰησοῦ τελείους γεγονέναι τοὺς ἀποστόλους, πόθεν »ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ« κατὰ τὸν καιρὸν τῆς Ἰησοῦ μεταμορφώσεως »ἦσαν βεβαρημένοι ὕπνῳ«.

Ἵνα δὲ προλαβών τι καὶ τῶν ἑξῆς εἰς τὸ προκείμενον παραλάβω, ἐπαπορήσαιμ᾽ ἂν τοιαῦτα· ἆρα ἔστι τινὰ σκανδαλισθῆναι ἐν τῷ Ἰησοῦ χωρὶς τῆς τοῦ σκανδαλίζοντος διαβόλου ἐνεργείας; ἔστι δὲ ἀρνήσασθαι τὸν Ἰησοῦν, καὶ ταῦτα ἐπὶ παιδισκαρίου καὶ θυρωροῦ καὶ ἀνθρώπων εὐτελεστάτων, μὴ συνόντος τῷ ἀρνουμένῳ πνεύματος ἐχθροῦ τῷ διδομένῳ πνεύματι καὶ σοφίᾳ τοῖς πρὸς τὸ ὁμολογεῖν κατά τινα ἀξίαν αὐτῶν ὑπὸ θεοῦ βοηθουμένοις; ἀλλ᾽ οὐ φήσει ὅ γε τὰς ῥίζας τῶν ἁμαρτημάτων ἀναφέρειν μεμαθηκὼς ἐπὶ τὸν πατέρα τῆς ἁμαρτίας διόβολον, χωρὶς ἐκείνου ἢ τοὺς ἀποστόλους ἐσκανδαλίσθαι ἢ τὸν Πέτρον ἠρνῆσθαι πρὸ τῆς ἀλεκτοροφωνίας ἐκείνης τρίς. εἰ δὲ τοῦθ' οὕτως ἔχει, μήποτε ὁ ὑπὲρ τοῦ ακανδαλίσαι τὸ ὅσον ἐφ' ἑαυτῷ) τὸν Ἰησοῦν καὶ τοῦ ἀποστῆσαι τῆς κατὰ τὸ πάθος σωτηρίου ἀνθρώποις μετὰ πολλῆς προθυμίας οἰκονομίας, τὰ εἰς ταῦτα φέρειν δοκοῦντα ἐνεργῶν αὐτὸς κοὶ ἐνταῦθα οἱονεὶ ἀπατηλῶς περισπάσαι βούλεται τὸν Ἰησοῦν, ὡς ἐπὶ καλὸν τὸ μηκέτι συγκαταβαίνειν τοῖς ἀνθρώποις καὶ ἥκειν πρὸς αὐτοὺς καὶ τὸν ὑπὲρ

αὐτῶν ἀναδέξασθαι θάνατον, ἀπομεῖναι δέ ἐν τῷ ὑψηλῷ ὄρει μετὰ Μωσέως κοὶ Ἠλίου. ἐπηγγέλλετο δὲ καὶ ποιῆσαι τρεῖς σκηνάς, μίαν μὲν ἰδίαν τῷ Ἰησοῦ, ἑτέραν δὲ τῷ Μωσεῖ καὶ ἄλλην τῷ Ἠλίᾳ, ὡς μὴ χωρούσης εἰ καὶ ἐν σκηναῖς αὐτοὺς ἔδει εἶναι καὶ ἐν τῷ ὑψηλῷ ὄρει) μιᾶς σκηνῆς τοὺς τρεῖς. τάχα δέ καὶ ἐν τούτῳ ἐκακούργει ὁ τὸν μὴ εἰδότα »τί λέγει« ἐνεργῶν, βουλόμενος μὴ ἅμα εἶναι Ἰησοῦν καὶ Μωσέα κοὶ Ἠλίαν, ἀλλὰ χωρίσαι αὐτοὺς ἀπ᾽ ἀλλήλων, προφάσει τῶν τριῶν σκηνῶν

ψεῦδος δέ ἦν καὶ τὸ καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. εἰ γὰρ ἦν καλον, κἂν ἔμειναν ἐκεῖ· εἰ δέ ψεῦδος, ζητήσεις τίς ἐνήργησε λαληθῆναι τὸ ψεῦδος, καὶ μάλιστα ἐπεὶ κατὰ τὸν Ἰωάννην »ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ«, καὶ ὥσπερ οὐκ ἔστιν ἀλήθεια χωρὶς ἐνεργείας τοῦ εἰπόντος· ἐγώ εἰμι ἡ ἀλήθεια«, οὕτως οὐδὲ τὸ ψεῦδος χωρὶς τοῦ ἐχθροῦ τῇ ἀληθείᾳ.

Τὰ ἐναντία τοίνυν ἔτι ἐν τῷ Πέτρῳ ἦν, ἀλήθεια καὶ ψεῦδος. καὶ ἀπὸ ἀληθείας μέν ἔλεγε τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ«,

ἀπὸ δέ τοῦ ψεύδους τὸ »ἵλεώς σοι, κυριε, ου μη εσται σοι τουτο«,

ἀλλὰ καὶ τὸ καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ὁ δέ μὴ θέλων ἀπό τινος ἐνεργείας <πνεύματος> χείρονος Πέτρον εἰρηκέναι τοῦτο, ἀλλὰ ψιλῆς εἶναι τῆς προαιρέσεως αὐτοῦ τοὺς λόγους, ἀπαιτούμενος πῶς ἂν παραστήσαι τὸ μὴ εἰδ(ὸς ὃ ἐλάλει« καὶ τὸ οὐ γὰρ ᾔδει τί ἀπεκρίθη«, φήσει ὅτι κἀκεῖ ὡς δύσφημον ἐνόμισε καὶ ἀνάξιον τοῦ Ἰησοῦ τὸ παραδέξασθαι ἀποκτανθῆναι τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος«, τὸν Χριστὸν ὃν ἤδη ἀποκαλύψας ἦν αὐτῷ ὁ πατήρ· καὶ ἐνταῦθα ὡς τὰς δύο μορφὰς τοῦ Ἰησοῦ ἰδών, καὶ πολὺ διαφέρουσαν τὴν κατὰ τὴν μεταμόρφωσιν, ταύτῃ εὐαρεστούμενος καλὸν εἶπεν εἶναι τὰς διατριβὰς ἐν τῷ ὄρει ἐκείνῳ ποιήσασθαι, ἵνα αὐτός τε καὶ οἱ σὺν αὐτῷ εὐφραίνωνται θεωροῦντες τὴν μεταμόρφωσιν τοῦ Ἰησοῦ καὶ τὸ λάμπον πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καὶ τὰ λευκὰ ὡς τὸ φῶς ἱμάτια αὐτοῦ καὶ πρὸς τούτοις τοὺς ἅπαξ ὀφθέντας »ἐν δόξῃ« ἀεὶ θεωρῶσιν ἐν δόξῃ Μωσῆν καὶ Ἠλίαν, εὐφραίνωνται δέ ἐφ’ οἷς ἂν ἀκούσωσιν αὐτῶν συλλαλούντων ἀλλήλοις καὶ

κοινολογουμένων, Μωσέως μέν καὶ Ἠλίου πρὸς τὸν Ἰησοῦν τοῦ δέ· Ἰησοῦ πρὸς αὐτούς.

Ἐπεὶ δέ μηδέπω περιεργασάμενοι τροπολογεῖν τὰ κατὰ τὸν τόπον ὡς πρὸς τὸ ῥητὸν βασανίζοντες ταῦτα εἴπομεν, τούτοις ἀκολούθως ἴδωμεν, μήποτε ἀναβιβασθέντες εἰς τὸ ὕφος τῶν τῆς ἀληθείας δογμάτων καὶ τὴν μεταμόρφωσιν ἰδόντες τοῦ Ἰησοῦ καὶ τῶν ὀφθέντων »ἐν δόξῃ« μετ’ αὐτοῦ Μωσέως καὶ Ἠλίου ὁ ἀποδεδομένος Πέτρος καὶ οἱ τῆς βροντῆς υἱοὶ« βούλοιντ᾽ ἂν ἐν αὐτοῖς σκηνὰς ποιῆσαι τῷ τοῦ θεοῦ λόγῳ κατοικήσοντι ἐν αὐτοῖς καὶ τῷ νόμῳ αὐτοῦ μετὰ δόξης τεθεωρημένῳ καὶ τῇ προφητείᾳ »τὴν ἔξοδον« λαλούσῃ τοῦ Ἰησοῦ »ἣν ἔμελλε πληροῦν«, καὶ ὡς τὸν θεωρητικόν γε ἀγαπήσας ὁ Πέτρος βίον κοὶ τὸ ἐν αὐτῷ τερπωλὸν προκρίνας τοῦ ἐν πολλοῖς εἶναι μετά τινος ὀχλήσεως ἐπὶ προθέσει τοῦ ὠφελεῖν τοὺς βουλομένους, εἶπε τὸ κολόν ἐστιν ἡμᾶς ὧδε εἶναι. ἀλλ᾽ ἐπεὶ ἡ ἀγάπη »οὐ ζητεῖ τὰ ἑαυτῆς«, τὸ νομιζόμενον τῷ Πέτρῳ κολὸν οὐ πεποίηκεν ὁ Ἰησοῦς· διὸ

καταβέβηκεν ἀπὸ τοῦ ὄρους« πρὸς τοὺς μὴ δυναμένους ἀναβῆναι ἐπ αὐτὸ καὶ ἰδεῖν αὐτοῦ τὴν μεταμόρφωσιν, ἵνα κἂν ὁποῖον χωροῦσιν αὐτὸν ἰδεῖν θεωρήσωσι. δικαίου τοίνυν ἐστὶ καὶ τὴν μὴ τὰ ἑαυτῆς« ζητοῦσαν ἀγάπην ἔχοντος ἐλεύθερον« μὲν εἶναι »ἐκ πόντων, πᾶσι« δὲ αὐτὸν δουλῶσαι τοῖς κάτω, ἵνα τοὺς Πλείονας«

αὐτῶν κερδήσῃ. εἴποι δ’ ἄν τις πρὸς τὰ ἀποδεδομένα περὶ ἐκστάσεως καὶ ἐνεργείας πνεύματος χείρονος εἰς τὸν Πέτρον περὶ τοῦ μὴ εἰδὼς ὁ λέγει«, μὴ προσιέμενος ἐκείνην τὴν διήγησιν. ὅτι παρὰ τῷ Παύλῳ τινές θέλοντες εἶναι νομοδιδάσκαλοι« οὐκ οἴδασι περὶ ὧν λέγουσιν, ἀλλ᾽ ὅτι μὴ τρανοῦντες τὴν φύσιν τῶν λεγομένων, μηδὲ »νοοῦντες« αὐτῶν τὸ βούλημα »διαβεβαιοῦνται« περὶ ὧν οὐκ ἴσασι. τοιοῦτόν τι ἐπεπόνθει κοὶ ὁ Πέτρος· μὴ καταλαβὼν γὰρ τί τὸ καλὸν περὶ τῆς κατὰ τὸν Ἰησοῦν οἰκονομίας καὶ τῶν ὀφθέντων ἐν τῷ ὄρει Μωσέως καὶ Ἠλίου, λέγει τὸ καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι κοὶ τὰ ἑξῆς, ἑξῆς, »μὴ εἰδὼς ὃ λέγει«·»οὐ γὰρ ᾔδει τί ἐλάλει«. καὶ γὰρ εἴπερ σοφὸς »νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δέ χείλεσι φορεῖ τὴν

επιγνωμοσυνην«, ο μη ουτως εχων οὐ νοεῖ τὰ ἀπὸ τοῦ ἰδίου στόματος« οὐδὲ συνίησι τῆς φύσεως τῶν ὑπ’ αὐτοῦ λεγομένων.

Ἑξῆς τούτοις ἐστὶ τὸ ἔτι λαοῦντος αὐτοῦ, καὶ ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς καὶ τὰ ἑξῆς. οἶμαι δέ ὅτι τὸν Πέτρον ὁ θεὸς ἀποτρέπων τοῦ ποιῆσαι τρεῖς σκη- νὰς ὑφ’ ἃς ἔμελλον ὅσον ἐπὶ τῷ βουλήματι <αὐτοῦ> δείκνυσι <μίαν καὶ> κρείττονα ἵν’ οὕτως ὀνομάσω) καὶ πολλῷ διαφέρουσαν σκηνὴν τὴν νεφέλην. εἰ γὰρ ἔργον ἐστὶ σκηνῆς τὸ ἐπισκιάσαι τὸν ἐν αὐτῇ καὶ σκεπάσαι, ἡ δὲ φωτεινὴ νεφέλη ἐπεσκίασεν αὐτούς, οἱονεὶ σκηνὴν θειοτέραν ἅτε καὶ φωτεινὴν τυγχάνουσαν πεποίηκεν αὐτοῖς εἰς παράδειγμα μελλούσης ἀναπαύσεως ὁ θεός· φωτεινὴ γὰρ νεφέλη ἐπισκιάζει τοὺς δικαίους σκεπαζομένους ἅμα καὶ φωτιζομένους καὶ ἑλλαμπομένους ὑπ᾽ αὐτῆς. τίς δ’ ἂν εἴη ἡ φωτεινὴ νεφέλη ἐπισκιάζουσα τοὺς δικαίους ἢ τάχα μὲν πατρικὴ δύναμις, ἀφ᾽ ἧς ἔρχεται ἡ τοῦ πατρὸς φο)νή, μαρτυροῦσα τῷ υἱῷ ὡς ἀγαπητῷ καὶ εὐδοκητῷ καὶ

προτρέπουσα τοὺς σκιαζομένους ὑπ αὐτῆς τούτου κοὶ μὴ ἄλλου τινὸς ἀκούειν; λέγει δ’ οὗτος, ὡς πάλαι οὕτως καὶ ἀεί, δι᾽ ὧν βούλεται. τάχα δέ καὶ τὸ ἅγιον πνεῦμα ἡ φωτεινή ἐστι νεφέλη, ἐπισκιάζουσα τοὺς δικαίους καὶ προφητεύουσα, [τὰ] τοῦ θεοῦ ἐνεργοῦντος αὐτῇ καὶ λέγοντος· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. τολμήσας δ’ ἂν εἴποιμι καὶ τὸν σωτῆρα ἡμῶν εἶναι φωτεινὴν νεφέλην. 5 Πέτρος μέν οὖν λέγων· ποιήσωμεν ὧδε τρεῖς σκηνάς, ἀφ’ ἑαυτοῦ μίαν καὶ ἀπὸ τοῦ υἱοῦ μίαν καὶ ἀπὸ τοῦ ἁγίου πνεύματος μίαν · φωτεινὴ γὰρ Πατρός, υἱοῦ καὶ ἁγίου πνεύματος νεφέλη ἐπισκιάζει > τοὺς Ἰησοῦ γνησίους μαθητάς· ἢ τὸ εὐαγγέλιον καὶ τὸν νόμον καὶ τοὺς προφήτας νεφέλη ἐπισκιάζει φωτεινὴ τῷ δυναμένῳ ἐνορᾶν τῷ φωτὶ αὐτῆς κατὰ τὸ εὐαγγέλιον καὶ τὸν νόμον καὶ τοὺς Προφήτας. ἡ δὲ ἐκ τῆς νεφέλης φωνὴ τάχα μέν Μωσεῖ καὶ Ἠλίᾳ λέγει· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· ἀκούετε ἀυτοῦ, ἐπιθυμοῦσιν ἰδεῖν τὸν υἱὸν τοῦ θεοῦ καὶ ἀκοῦσαι αὐτοῦ

καὶ θεωρῆσαι αὐτὸν καθὼς ἦν »ἐν δόξῃ«. τάχα δὲ τοὺς μαθητὰς διδάσκει, ὅτι ὁ κυρίως υἱὸς τοῦ θεοῦ καὶ ἀγαπητὸς αὐτοῦ, ἐν ᾧ ηὐδόκησεν, οὗ μάλιστα ἀκούειν δεῖ, ὁ τότε θεωρούμενος ἦν κοὶ μεταμορφωθεὶς καὶ λάμψας τῷ προσώπῳ ὡς ὁ ἥλιος καὶ ἐνδεδυμένος τὰ ὡς φῶς λευκὰ ὁμάτια.

Μετὰ δὲ ταῦτα γέγραπται, ὅτι ἀκούσαντες τῆς φωνῆς <ἐκ> τῆς νεφέλης τῆς μαρτυρούσης τῷ υἱῷ οἳ τρεῖς ἀπόστολοι, μὴ φέροντες τὴν τῆς φωνῆς δόξαν καὶ τὴν ἐπ αὐτῆς δύναμιν, ἱκέτευσαν πεσόντες ἐπὶ πρόσωΠον τὸν θεόν· σφόδρα γὰρ ἐφοβήθησαν τὸ παράδοξον τοῦ θεάματος καὶ τῶν ἀπὸ τοῦ θεάματος λελεγμένων. πρόσχες δέ, εἰ δύνασαι καὶ ταῦτα εἰπεῖν περὶ τῶν κατὰ τὸν τόπον ὅτι, νοήσαντες οἱ μαθηταὶ τὸν υἱὸν τοῦ θεοῦ κεχρηματικέναι Μωσεῖ καὶ αὐτὸν εἶναι τὸν εἰρηκότα· οὐ γὰρ ὄψεται ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται«, Λ·αὶ ἰδόντες γενόμενον τὸ πρόσωπον τοῦ υἱοῦ τοῦ θεοῦ ὡς ὁ ἥλιος· > τὴν περὶ αὐτοῦ μαρτυρίαν τοῦ θεοῦ προσλαβόντες, ὡς μὴ φέροντες τὰς τοῦ λό- aut discipulos docebat, quoniam qui proprie filius erat dei et dilectissimus apud deum, in quo conplacuit, quem praecipue oportet audire, ipse erat qui tunc est visus et transfiguratus splenduit (facie) sicut sol et vestimenta eius facta sunt sicut lumen.

γου αὐγὰς ἐταπεινώθησαν »ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ«. *** ἀλλὰ μετὰ τὴν ἀφὴν τοῦ λόγου τοὺς ὀφθαλμοὺς ἐπάραντες εἶδον Ἰησοῦν μόνον, καὶ οὐδένα ἄλλον. ἓν γὰρ μόνον γέγονε Μωσῆς ὁ νόμος κοὶ Ἠλίας ἡ προφητεία Ἰησοῦ τῷ εὐαγγελίῳ, καὶ οὐχ ὥσπερ ἠσαν πρότερον τρεῖς, οὕτω μεμενήκασιν, ἀλλὰ γεγόνασιν οἱ τρεῖς εἰς τὸ ἕν. ταῦτα δέ μοι νόει ὡς πρὸς τὰ μυστικὰ πράγματα. πρὸς γὰρ τὸ ψιλὸν τοῦ γράμματος βούλημα Μωσῆς καὶ Ἠλίας »ὀφθέντες ἐν δόξῃ« καὶ συλλαλήσαντες τῷ Ἰησοῦ ἀπεληλύθασιν, ὅθεν ἐληλύθεισαν, τάχα τῶν λόγων μεταδώσοντες, ὧν ἐλάλησε μετ᾽ αὐτῶν ὁ Ἰησοῦς, τοῖς ὅσον οὐδέπω εὐεργετηθεῖσιν ὑπ᾽ αὐτοῦ>, εὐεργετη-

θησομένοις ὑπ᾽ αὐτοῦ κατὰ τὸν καιρὸν τοῦ πάθους, ὅτε ἔμελλε »πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων«, ἀνοιχθέντων αὐτῶν τῶν μνημείων, ἀπιέναι »εἰς τὴν« ἀληθῶς »ἁγίαν πόλιν«, τὴν μὴ κλαιομένην ὑπὸ τοῦ Ἰησοῦ Ἰερουσαλήμ, καὶ ἐκεῖ ἐμφανίζεσθαι »πολλοῖς«. Μετὰ δέ τὴν ἐν τῷ ὄρει οἰκονομίαν καταβαινόντων ἐκ τοῦ ὄρους τῶν μαθητῶν, ἵνα ἐλθόντες πρὸς τὸν ὄχλον« ὑπηρετήσωσι τῷ υἱῷ τοῦ θεοῦ περὶ τῆς ἐκείνων σωτηρίας, ἐνετείλατο ὁ Ἰησοῦς τοῖς μαθηταῖς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. τὸ δὲ μηδενὶ εἴπητε τὸ ὅραμα παραπλήσιον τῷ ἐν τοῖς ἀνωτέρω ἐξετασθέντι, ὅτε διεστείλατο τοῖς μαθηταῖς ἵνα μηδενὶ εἴπωσιν, ὅτι

αὐτός ἐστιν ὁ Χριστός«. διὸ τὰ εἰς ἐκεῖνον εἰρημένα τὸν τόπον δύναται ἡμῖν εἶναι χρήσιμα κοὶ πρὸς τὸ προκείμενον, ἐπεὶ καὶ κατὰ ταῦτα βούλεται ὁ Ἰησοῦς μὴ λεχθῆναι τὰ τῆς δόξης αὐτοῦ πρὸ τῆς μετὰ τὸ πάθος δόξης αὐτοῦ· ἐβλάβησαν γὰρ ἂν οἱ ἀκούοντες, κοὶ μάλιστα ὄχλοι, τὸν οὕτω δεδοξασμένον ὁρῶντες σταυρούμενον. διόπερ ἐπεὶ συγγενὲς ἦν τῇ μεταμορφώσει αὐτοῦ καὶ τῷ ὀφθέντι αὐτοῦ προσώπῳ ὡς ὁ ἥλιος τὸ δοξασθῆναι αὐτὸν τῇ ἀναστάσει, διὰ τοῦτο βούλεται τότε ταῦτα ὑπὸ τῶν ἀποστόλων λαληθῆναι, ἡνίκα ἐκ νεκρῶν ἀναστῇ.

Book 13

<Ὡριγένους τῶν εἰς τὸ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν> τόμος ιγ΄.

<Καὶ> ἐπηρώτησαν οἱ μαθηταὶ λέγοντες· τέ οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; (17. —13])

οἱ μὲν συναναβάντες τῷ Ἰησοῦ μαθηταὶ τῶν ὑπὸ τῶν γραμματέων περὶ Ἠλίου παραδιδομένων ἐμέμνηντο, ὅτι πρὸ τῆς τοῦ Χριστοῦ ἐπιδημίας ἐλθὼν Ἠλίας εὐτρεπίσει αὐτῷ τὰς ψυχὰς τῶν παραδεξομένων αὐτόν. ἡ δὲ ἐν τῷ ὄρει ὀπτασία, καθ᾽ ἣν > ὁ Ἠλίας ἐφόνη, ἐδόκει μὴ συνάδειν τοῖς εἰρημένοις, ἐπεὶ οὐ πρὸ τοῦ Ἰησοῦ ἔδοξεν αὐτοῖς ἐληλυθέναι ὁ Ἠλίας, ἀλλὰ μετ᾽ αὐτοῦ. διὸ ταῦτά φασιν, οἰόμενοι ψεύδεσθαι τοὺς γραμματεῖς ***

πρὸς δέ τοῦτο ὁ σωτὴρ ἀποκρίνεται, οὐκ ἀθετῶν τὰ περὶ τοῦ Ἠλίου παραδιδόμενα, ἀλλὰ ἄλλην τοῦ Ἠλίου Πρὸ τῆς Χριστοῦ ἐπιδημίαν ἀγνοηθεῖσαν ὑπὸ τῶν γραμματέων εἶναι φάσκων, καθ᾽ ἣν ἀγνοήσαντες αὐτόν, ὡς συναίτιοι γενόμενοι τῷ αὐτὸν εἰς φυλακὴν βληθῆναι ὑπὸ Ἡρώδου καὶ τῷ αὐτὸν ἀναιρεθῆναι ὑπ᾽ αὐτοῦ, πεποιήκασιν ἐν αὐτῷ ὅσα ἠθέλησαν. εἶτα ἀνάλογον οἷς πεποιήκασιν εἰς τὸν Ἠλίαν φησὶν ὑπὸ τῶν αὐτῶν πείσεσθαι. καὶ ταῦτα μέν ὡς περὶ Ἠλίου οἵ τε μαθηταὶ ἐπηρώτων καὶ ὁ σωτὴρ ἀπεκρίνατο· οἳ δέ ἀκούσαντες συνῆκαν τὸ Ἠλίας ἤδη ἦλθε καὶ τὸ ἑξῆς αὐτῷ εἰρημένον ὑπὸ τοῦ σωτῆρος τὴν ἀναφορὰν ἐσχηκέναι ἐπὶ τὸν βαπτιστὴν Ἰωάννην. καὶ ταῦτα μὲν εἰρήσθω σαφηνείας ἕνεκεν τοῦ ἐκκειμένου ῥητοῦ· ἤδη δὲ κατὰ δύναμιν καὶ τῶν ἐναποκειμένων αὐτῷ πραγμάτων τὴν ἐξέτασιν ποιησώμεθα.

Ἐν τούτοις Ἠλίας οὐχ ἡ ψυχὴ <Ἠλίου> δοκεῖ μοι λέγεσθαι,

μὴ ἐμπίπτω εἰς τὸ ἀλλότριον τῆς ἐκκλησίας τοῦ θεοῦ περὶ τῆς μετενσωματώσεως δόγμα, οὔτε παραδιδόμενον ὑπὸ τῶν ἀποστόλων οὔτε ἐμφαινόμενόν που τῶν γραφων· καὶ γὰρ ἐναντίον ἐστὶ ἐστὶ τῷ »τὰ βλεπόμενα πρόσκαιρα« εἶναι καὶ συντέλειαν πείσεσθαι τὸν αἰῶνα τοῦτον, ἀλλὰ καὶ τῷ πληρωθῆναι <τὸ> »ὁ οὐρανὸς ἡ γῆ παρελεύσονται« καὶ τὸ »παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου« καὶ τὸ οἱ οὐρανοὶ ἀπολοῦνται« μετὰ καὶ τῶν ἑξῆς αὐτῷ. εἰ γὰρ καθ᾽ ὑπόθεσιν) δὶς δύναται γενέσθαι ἐν τῇ ἀπ᾽ ἀρχῆς μέχρι συντελείας τοῦ κόσμου καταστάσει ἡ αὐτὴ ψυχὴ ἐν τῷ σώματι δι᾽ αἰτίαν <δι᾽> ὅν γένοιτο ἐν αὐτῷ), ἡ δι᾽ ἁμαρτίαν

γενομένη δὶς ἐν σώματι διὰ τί οὐχὶ καὶ τρὶς καὶ πλεονάκις ἔσται ἐν αὐτῷ, τῶν διὰ τὸν βίον τοῦτον καὶ τὰ ἡμαρτημένα ἐν αὐτῷ κολάσεων τούτῳ ἀποδοθησομένων μόνῳ τῷ τρόπῳ κατὰ τὴν μετενσωμάτωσιν; ὅπερ ἐὰν ἐξ ἀκολουθίας δοθῇ, οὐκ ἔσται τάχα ὅτε ψυχὴ οὐ μετενσωματωθήσεται· ἀεὶ γὰρ διὰ τὰ πρότερα ἁμαρτήματα ἐπιδημήσει τῷ σώ-

ματι, καὶ οὕτως οὐχ ἕξει χώραν ἡ τοῦ κόσμου φθορά, καθ᾽ ἣν ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται«. ἵνα δὲ κατὰ τὴν ὑπόθεσιν ταύτην διδῶται τὴν πάντη ἀναμάρτητον μηκέτι ἥξειν εἰς τὸ διὰ γενέσεως σῶμα, διὰ πόσων χρόνων οἴει μίαν εὑρήσεσθαι πάντη καθαρεύσασαν ψυχὴν καὶ μὴ δεομένην μετενσωματώσεως; ὅμως δὲ καὶ οὕτως μιᾶς τινος ἀεὶ ἐκ τοῦ ὡρισμένου τῶν ψυχῶν ἀριθμοῦ μεθισταμένης καὶ μηκέτι εἰς σῶμα ἐρχομένης, ἐπιλείψει ποτέ ὡς διό τινων ὡσπερεὶ ἀπείρων χρόνων ἡ γένεσις, καταντήσαντος τοῦ κόσμου ἐπί τινα ἕνα ἢ δεύτερον ἢ ὀλίγῳ πλείους μεθ᾽ οὓς καὶ αὐτοὺς τελειωθέντας ὁ κόσμος φθαρήσεται, ἐπιλειπόντων τῶν εἰς σῶμα ἐρχομένων. Ὅπερ οὐκ ἀρέσκει τῇ γραφῇ· πλῆθος γὰρ οἶδεν ἁμαρτωλῶν ἐν τῷ χρόνῳ τῆς τοῦ κόσμου φθορᾶς. ὅΠερ ἐστὶ δῆλον συνεξεταζομένου τοῦ

πλὴν ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου > εὑρήσει τὴν πίστιν ἐπὶ τῆς ᾗ εὕρομεν παρὰ τῷ Ματθαίῳ οὕτως εἰρημένῳ· ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτο)ς ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. ὡς γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ« καὶ τὰ ἑξῆς. ἔσται δέ τοῖς τότε ἡ τῶν ἁμαρτημάτων εἴσπραξις οὐκ ἐν μετενσωματωσει. εἰ γὰρ ἔτι ἁμαρτάνοντες παραλαμβάνονται, ἤτοι ἄλλῳ τρόπῳ κολάσεως μετὰ τοῦτο κολασθήσονται, κοὶ κατὰ τοῦτο ἤτοι δύο τρόποι κολάσεων ἔσονται γενικοί ὁ μέν ἐν μετενσωματώσει, ὁ δὲ ἔξω τοῦ τοιούτου σώματος· καὶ λεγέτωσαν τὰς τούτων αἰτίας καὶ διαφοράς), ἢ οὐ κολασθήσονται, ὡς ἀθρόως ἀποβαλόντες τὰ ἁμαρτήματα οἱ ἐπὶ συντελείᾳ καταλειφθέντες, ἢ ὅπερ βέλτιον) εἷς ἐστι τρόΠος κολάσεως τοῖς ἡμαρτηκόσιν ἐν σώματι τὸ ἔξω αὐτοῦ <καὶ> τῆς καταστάσεως βίου τούτου τὸ κατ᾽ ἀξίαν τῶν ἡμαρ-

τημένων παθεῖν. ἕκαστον δέ τούτων τῷ ἐνορᾶν δυναμένῳ τοῖς πράγμασιν ἀνατρεπτικόν ἐστι τῆς μετενσωματωσεως. εἰ δέ ἀναγκαίως οἱ τὴν μετενσωμάτωσιν εἰσάγοντες Ἕλληνες, ὡς ἀκόλουθα αὐτοῖς τιθέντες, οὐδὲ φθείρεσθαι βούλονται τὸν κόσμον, ὥρα καὶ τούτους, ἀντιβλέψαντας ταῖς ἐκφαινούσαις γραφαῖς φθαρήσεσθαι τὸν κόσμον, ἢ ἀπιστῆσαι αὐταῖς ἢ εὑρεσιλογεῖν περὶ διηγήσεως τῶν κατὰ τὴν συντέλειαν ὅπερ κἂν βούλωνται) ποιῆσαι οὐ δυνήσονται. ἔτι δέ καὶ τοῦτο τοῖς τολμήσασιν ἂν λέγειν μὴ φθαρήσεσθαι τὸν κόσμον φήσομεν ὅτι, εἰ μὴ φθείρεται ὁ κόσμος ἀλλ᾽ ἐπ᾽ ἄπειρον ἔσται, οὐκ ἔσται ὁ θεὸς »εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν«. ἀλλ᾽ (εἰ ἄρα) μέρος ἤτοι ἕκαστον εἴσεται »πρὶν γενέσεως« αὐτοῦ ἤ τινα. κοὶ μετὰ ταῦτα πόλιν ἕτερα· ἄπειρα γὰρ τῇ φύσει οὐχ οἷόν τε περιλαμβάνεσθαι τῇ περατοῦν πεφυκυίᾳ τὰ γινωσκόμενα γνώσει. τούτῳ δέ ἀκολουθεῖ μηδὲ προφητείας δύνασθαι γενέσθαι Περὶ Πόντων ὠντινωνοῦν, ἅτε ἀπείρων ὄντων τῶν πάντων.

Ἀναγκαίως δ’ οἶμαι ἐνδιατετριφέναι τῇ ἐξετάσει τοῦ περὶ ενσωματώσεως λόγου,

διὰ τήν τινων ὑπόνοιαν οἰηθέντων ψυχὴν εἶναι (περὶ ἧς ὁ λόγος) αὐτὴν Ἠλίου καὶ Ἰωάννου, πρότερον μὲν κληθεῖσαν Ἠλίαν δεύτερον δὲ Ἰωάννην, καὶ οὐκ ἀθεεί γε κεκλῆσθαι Ἰωάννην αὐτόν, ὡς δῆλον ἐκ τοῦ τὸν ὀφθέντα ἄγγελον τῷ Ζαχαρίᾳ εἰρηκέναι αὐτῷ· μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σουκαὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην« καὶ ἐκ τοῦ ἀπειληφέναι τὸν Ζαχαρίαν τὴν φωνὴν μετὰ τὴν ἐν τῇ πινακίδι γραφὴν) περὶ τοῦ Ἰωάννην καλεῖσθαι τὸν γεγεννημένον. εἴπερ δὲ ἡ ψυχὴ Ἠλίας ἦν, ἐχρῆν καὶ δεύτερον αὐτὸν γεννώμενον κληθῆναι Ἠλίαν ἢ αἰτίαν τινὰ φανῆναι τῆς μετωνυμίας, ὡς ἐπὶ τοῦ Ἀβρὰμ καὶ τοῦ Ἀβραὰμ καὶ τῆς Σάρας κοὶ τῆς Σάρρας κοὶ τοῦ Ἰακὼβ καὶ Ἰσραὴλ καὶ τοῦ Σίμωνος καὶ Πέτρου. καίτοι γε οὐδ’ οὕτως ὁ λόγος ἐν αὐτοῖς ἐσώζετο· ἐν μιᾷ γὰρ καὶ τῇ αὐτῇ ζωῇ τοῖς προειρημένοις γεγόνασιν αἱ μετωνυμίαι. ζητήσαι δ’ ἄν τις, εἰ μὴ ἡ ψυχὴ Ἠλίας ἐστὶ πρότερον ἐν τῷ θεσβίτῃ καὶ δεύτερον ἐν τῷ Ἰωάννῃ, τί ἂν εἴη τὸ κληθέν ὑπὸ τοῦ σωτῆρος ἐν ἀμ-

φοτέροις Ἠλίας; καί φημι τὸν Γοβριὴλ ἐν τοῖς πρὸς Ζαχαρίαν λόγοις ὑποβεβληκέναι τίς ἡ αὐτὴ οὐσία ἐν Ἠλίᾳ καὶ Ἰωάννῃ· φησὶ γάρ· »πολλοὺς τῶν υἱῶι Ἰσραὴλ ἐπιστρέψει ἐπὶ κύριον τὸν θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου«. πρόσχες γάρ, οὐκ εἶπεν »ἐν« φυχῇ »Ἠλίου«, ἵν᾽ ἔχοι τόπον ἡ μετενσμάτωσις, ἀλλ᾽ »ἐν πνεύματι καὶ δυνάμει Ἠλίου«. σαφῶς δέ οἶδεν ἡ γραφὴ διαφορὰν πνεύματος πρὸς φυχήν, ὡς τὸ »ὁ δέ θεὸς ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα τηρηθείη ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ« καὶ τὸ »εὐλογεῖτε, πνεύματα καὶ δικαίων ψυχαί«, ἐν τῷ κατὰ τοὺς Ἑβδομήκοντα Δανιὴλ φερόμενον, παρίστησι τὴν διαφοράν πνεύματος καὶ ψυχῆς. Ἠλίας οὖν ὁ Ἰωάννης οὐ διὰ τὴν ψυχὴν λέλεγται, ἀλλὰ διὰ τὸ πνεῦμα

καὶ τὴν δύναμιν, ἅτινα οὐδέν λυπεῖ τὸν ἐκκλησιαστικὸν λόγον, εἰ πρότερον μέν ἦν ἐν Ἠλίᾳ, ὕστερον δὲ γέγονεν ἐν Ἰωάννῃ· κοὶ πνεύμα τα« δὲ »προφητῶν προφήταις ὑποτάσσεται«, οὐχὶ δέ ψυχαὶ προφητῶν προφήταις ὑποτάσσονται· καὶ τὸ

πνεῦμα Ἠλίου αναπεπαυται επι Ἐλισσαιέ«.

Ζητητέον δέ πότερον ταὐτόν ἐστι τό πνεῦμα τοῦ Ἠλίου τῷ ἐν Ἠλίᾳ πνεύματι θεοῦ, ἢ ἕτερα ταῦτ᾽ ἐστὶν ἀλλήλων, καὶ εἰ παράδοξόν τι τὸ πνεῦμα ἦν Ἠλίου τὸ ἐν αὐτῷ παρὰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἑκάστου τὸ ἐν αὐτῷ. καὶ γὰρ σαφῶς ὁ ἀπόστολος παρέστησεν ἕτερον εἶναι τὸ τοῦ θεοῦ πνεῦμα, κἂν ἐν ἡμῖν ᾖ, παρὰ τὸ πνεῦμα ἑκάστου ἀνθρώπου τὸ ἐν αὐτῷ, ὅπου μέν λέγων· »αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι ἐσμὲν τέκνα θεοῦ«, ὅπου δέ· »οὐδεὶς οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ«. μὴ θαύμαζε δέ τὸ Περὶ τοῦ Ἠλίου, εἰ ὥσπερ ξένον τι ἀπήντησεν αὐτῷ παρὰ τοὺς ἀναγεγραμμένους πόντος ἁγίους διὰ τὸ

ἀναληφθῆναι »ἐν συσσεισμῷ εἰς τὸν οὐρανόν«, οὕτως ἐξαίρετόν τι εἶχε τὸ πνεῦμα αὐτοῦ, ὡς οὐ μόνον ἐπαναπαύσασθαι τῷ Ἐλισ-

σαίῳ, ἀλλὰ καὶ τῷ Ἰωάννῃ συγκαταβῆναι εἰς τὴν γένεσιν, καὶ τὸν Ἰωάννην ἰδίᾳ μὲν πνεύματος ἁγίου« πεπληρῶσθαι »ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ«, ἰδίᾳ δὲ προεληλυθέναι ἐνώπιον τοῦ Χριστοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου«. καὶ γὰρ δυνατὸν πλείονα πνεύματα εἶναι ἐν τῷ αὐτῷ, οὐ μόνον χείρονα ἀλλὰ καὶ κρείττονα· αἰτεῖ γοῦν ὁ Δαυὶδ στηριχθῆναι μέν πνεύματι ἡγεμονικῷ«, ἐγκαινισθῆναι δὲ ἐν τοῖς ἐγκάτοις αὐτοῦ πνεῦμα εὐθές«. εἰ δέ, ἵνα μεταδῷ ἡμῖν ὁ σωτὴρ πνεύματος »σοφίας καὶ συνέσεως«, πνεύματος βουλῆς καὶ ἰσχύος«, πνεύματος γνώσεως καὶ εὐσεβείας«, καὶ ἐνεπλήσθη πνεύματος »φόβου θεοῦ«, δυνατὸν καὶ ταῦτα νοεῖσθαι πλείονα ἐν τῷ αὐτῷ εἶναι κρείττονα πνεύματα.

Καὶ τοῦτο δὲ παρεθέμεθα διὰ τὸ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου« προεληλυθέναι ἐνώπιον Χριστοῦ τὸν Ἰωάννην, ἕνα τὸ Ἠλίας ἤδη ἦλθεν ἐπὶ τὸ ἐν τῷ Ἰωάννη ἀναφέρηται πνεῦμα τοῦ Ἠλίου, ὡς καὶ συνῆκαν οἱ συναναβάντες τρεῖς μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἰπεν αὐτοῖς.

ἐπὶ μέν οὖν τὸν Ἐλισσαῖον μόνον »ἀναπέπαυται τὸ Ηλίου πνεῦμα«, ὁ δὲ Ἰωάννης <ἐνώπιον τοῦ Χριστοῦ> οὐκ ἐν τῷ »πνεύματι«, ἀλλὰ καὶ ἐν δυνάμει Ἠλίου«, διὸ καὶ Ἐλισσαῖος μὲν οὐκ ἂν Ἠλίας εἴρητο, Ἰωάννης δὲ αὐτὸς ἦν Ἠλίας. εἰ δὲ δεῖ παραθέσθαι τὴν γραφήν, ὅθεν ἔλεγον οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον, ἄκουε τοῦ Μαλαχίου λέγοντος· »καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην« καὶ τὰ ἑξῆς ἕως τοῦ μὴ ἔλθω καὶ πατάξω τὴν γῆν ἄρδην«. καὶ ἔοικέ γε διὰ τούτων δηλοῦσθαι ὅτι προευτρεπίζει ὁ Ἠλίας τῇ ἐνδόξῳ Χριστοῦ ἐπιδημίᾳ διό τινων ἱερῶν λόγο)ν καὶ καταστάσεων ἐν τοῖς ψυχαῖς τοὺς εἰς τοῦτο ἐπιτηδείους γεγενημένους, ἢν οὐκ ἂν ἤνεγκαν οἱ ἐπὶ γῆς διὰ τὸ ὑπερβάλλον τῆς δόξης, εἰ μὴ ὑπὸ τοῦ Ἠλίου ἦσαν προευτρεπισθέντες. Ἠλίαν δὲ καὶ ἐν τούτοις οὐ τὴν ψυχὴν λαμβάνω τοῦ προφήτου ἐκείνου, ἀλλὰ τὸ πνεῦμα καὶ τὴν δύναμιν αὐτοῦ· ταῦτα γάρ ἐστιν οἷς τὰ πάντα ἀποκαταστήσεται, ἵνα ἀποκαταστᾶσι καὶ ἐκ τῆς ἀποκαταστάσεως γενομένοις χωρητικοῖς τῆς δόξης τοῦ Χριστοῦ ἐπιδημήσῃ ὁ ἐν δόξῃ ὀφθησόμενος υἱὸς τοῦ θεοῦ.

εἰ δέ καὶ λόγος τις ἐστιν ὁ Ἠλίας, ὑποδεέστερος λόγου τοῦ ἐν ἀρχῇ πρὸς τόν θεὸν« θεοῦ λόγου, καὶ οὗτος ἂν δύνοιτο ὡσπερεὶ προγύμνασμα ἐπιδημεῖν τῷ ἑτοιμαζομένῳ λαῳ υπ αυτου, ινα γενηται κατεσκευασμένος πρὸς ὑποδοχὴν τοῦ τε τελείου λόγου.

Ἀπορήσειε δ’ ὅν τις εἰ τὸ πνεῦμα Λ·οὶ ἡ δύναμις Ἠλίου τὰ ἐν Ἰωάννῃ πέπονθε κατὰ τὸ ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν. καὶ πρὸς τοῦτο λελέξεται ἁπλούστερον μὲν ὅτι οὐδὲν ἄτοπον, διὰ τὴν ἀγάπην συμπάσχειν τὰ βοηθοῦντα τοῖς βοηθουμένοις καὶ Ἰησοῦς γοῦν φησι διὰ τοὺς ἀσθενοῦτας »ἠσθένουν« καὶ διὰ τοὺς πεινῶντος »ἐπείνων« καὶ διὰ τοὺς διψῶντας »ἐδίψων«), βαθύτερον δὲ ὅτι οὐκ εἴρηται· ἀλλ’ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν <ἀλλ’ ὅσα ἠθέλησαν> αὐτῷ ἦν γὰρ ἐπερηρεισμένα

τῷ »πνεύματι καὶ« τῇ »δυνάμει Ἠλίου« τὰ πεπονθότα, ἡ ψυχὴ Ἰωάννου οὐδαμῶς οὖνα Ἠλίας) τάχα δὲ κοὶ τὸ σῶμα. κατ᾽ ἄλλον γὰρ τρό-

πον ἐν σώματι ψυχη χαὶ πνεῦμα καὶ δύναμις, κατ᾽ ἄλλον δέ τὸ σῶμα τοῦ δικαίου ἐν τοῖς κρείττοσιν, ὥσπερ ἐρηρεισμένον αὐτοῖς καὶ αὐτῶν ἠρτημένον. »οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται. ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι, εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν«· ἡ γάρ ψυχὴ τοῦ μὲν ἁμαρτωλοῦ ἐν σαρκί ἐατι, τοῦ δὲ δικαίου ἐν πνεύματι. ἔτι δέ καὶ τοῦτ᾽ ἂν ζητηθείη, τὸ ἀλλ᾽ ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν ἐπὶ τίνα ἀναφέρεται; ἆρα γάρ ἐπὶ τοὺς γραμματεῖς, περὶ ὧν πυνθανόμενοι οἱ μαθηταὶ ἔλεγον· τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; ἀλλ᾽ οὐ πάνυ γε φαίνεται ὑπὸ τῶν γραμμοτέων πεπονθέναι τι Ἰωάννης, εἰ μὴ ὅτι ἄρα οὐκ ἐπίστευσαν αὐτῷ), ἢ ὅτι (ὡς καὶ ἀνωτέρω εἴπομεν) συναίτιοι γεγόνασι τοῖς τετολμημένοις κατ᾽ αὐτοῦ ὑπὸ Ἠρώδου. ἄλλος δ᾽ ἂν εἴποι ὅτι τὸ ἀλλ᾽ ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν οὐκ ἐπὶ τοὺς γραμματεῖς, ἀλλ᾽ ἐπὶ τὴν Ἠρωδιάδα καὶ τὴν θυγατέρα αὐτῆς καὶ τὸν Ἠρώδην ἀναφέρεται, ποιή-

σαντας ἐν αὐτῷ ὅσα ἠθέλησαν. καὶ τὸ ἐξῆς δέ διὰ τὸ οὕτως ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ᾽ αὐτῶν ἀναφέροιτ᾽ ἄν, εἰ μὲν τὸ πρότερον ἐπὶ τοὺς γραμματεῖς, <καὶ τοῦτο εἰ δὲ τὸ πρότερον ἐπὶ τὸν Ἠρώδην καὶ τὴν Ἠρωδιάδα καὶ τὴν θυγατέρα αὐτῆς, κοὶ τὸ δεύτερον· καὶ γὰρ ἔοικε σύμψηφος γεγονέναι ὁ Ἠρώδης τῷ τὸν Ἰησοῦν ἀποθανεῖν, τάχα κοινωνούσης αὐτῷ τῆς κατ᾽ αὐτοῦ ἐπιβουλῆς καὶ τῆς γυναικος.

Κοὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτῷ καὶ λέγων· κύριε, ἐλέησόν μου τὸν υἱόν (17. 14 [—20]).

Οἱ πάσχοντες ἢ οἱ τῶν πασχόντων οἰκεῖοι μετὰ τῶν ὄχλων εἰσί· διόπερ, ἐπὰν τὰ ὑπέρ τοὺς ὄχλους ὁ Ἰησοῦς οἰκονομήσηται,

καταβαίνει πρὸς αὐτούς, ἵν᾽ οἱ μὴ δυνάμενοι ἀναβαίνειν διὰ τὰς κατεχούσας τὴν ψυχὴν νόσους ὠφεληθῶσι, καταβάντος πρὸς αὐτοὺς ἀπὸ τῶν ὑψηλοτέρων τοῦ λόγου. ἐξεταστέον δέ ἐπὶ τίνων μὲν νοσημάτων οἱ πάσχοντες πιστεύουσι καὶ ἀξιοῦσι περὶ τῆς ἰδίας θεραπείας <ἢ αὐτοῦ ἢ »τοῦ κρασπέδου ἱματίου« ἁψάμενοι> ***, ἐΠὶ τίνων δέ *** περὶ αὐτῶν ἕτεροι τοῦτοποιοῦσιν, οἷον ὁ ἑκατόνταρχος περὶ παιδὸς καὶ ὁ βασιλικὸς περὶ υἱοῦ καὶ ὁ

ἀρχισυνάγωγος περὶ θυγατρὸς καὶ ἡ Χαναναία περὶ δαιμονῶντος τέκονου θήλεος, καὶ νῦν ὁ γονυπετῶν αὐτῷ ἄνθρωπος περὶ υἱοῦ σεληνιαζομένου. τούτοις δὲ συνεξετάσεις, πότε ἀφ᾽ ἑαυτοῦ ὁ σωτὴρ καὶ ὑπὸ μηδενὸς ἀξιωθεὶς ἰᾶται, ὡς τὸ παραλυτικὸν <τὸν ἐπὶ τῇ προβατικῇ>. αὖται γὰρ ἐπὶ τὸ αὐτὸ συγκριθεῖσαι ἀλλήλαις αἱ θεραπεῖαι καὶ συνεξετασθεῖσαι πολλὰ τῷ ἀκούειν δυναμένῳ τῆς »ἐν μυστηρίῳ« ἀποκεκρυμμένης σοφίας θεοῦ παραστήσουσι δόγματα περί τε τῶν διαφόρων περὶ τὰς ψυχὰς συμπτωμάτων καὶ περὶ τοῦ τρόπου τῆς θεραπείας αὐτῶν.

Ἐπεὶ δὲ νῦν οὐ περὶ πάντων, ἀλλὰ τοῦ ἐκκειμένου ῥητοῦ πρόκειται ἐξετάζειν, ἴδωμεν τροπολογοῦντες τίνα δυνάμεθα εἰπεῖν τὸν σεληνιαζόμενον εἶναι καὶ τὸν ἀξιοῦντα περὶ αὐτοῦ πατέρα αὐτοῦ, καὶ τί τὸ πίπτειν τὸ πάσχοντα οὐκ ἀεὶ ἀλλὰ πολλάκις, ὀτὲ μὲν εἰς πῦρ ἐνίοτε δὲ εἰς ὕδωρ, καὶ τί τὸ μὴ δεδυνῆσθαι αὐτὸν ὑπὸ τῶν μαθητῶν θεραπευθῆναι ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ Ἰησοῦ. καὶ γὰρ εὔλογον· εἴπερ πᾶσα νόσος καὶ πᾶσα μαλακία, ἃς ἐθεράπευσεν ὁ σωτὴρ ἡμῶν centurio pro puero suo, regulus pro filio, archisynagogus pro filia, Chananaea pro filia sua vexata, et nunc qui genibus <pro>volvitur pro filio suo lunatico. cum his considerabis et illud, quando a semetipso salvator etiam a nullo rogatus sanat, sicut paralyticum eum qui triginta et octo annos in infirmitate habebat. ipsae enim salvationes ad alterutrum in idipsum conparatae et discussae multa eis, qui possunt audire absconditam »in mysterio« sapientiam dei, dogmata demonstrabunt de differentiis infirmitatum animae et de modo salvationis eius.

τότε »ἐν τῷ λαῷ«, ἀναφέρεται ἐπὶ τὰ ἐν ψυχαῖς διάφορα συμπτώματα, ὡς τοὺς μὲν παρετοὺς τὴν ψυχὴν καὶ κειμένην αὐτὴν ἔχοντας ἐπὶ τοῦ σώματος παραλελυμένην δηλοῦσθαι διὰ τῶν παραλυτικῶν, τοὺς δὲ τυφλώττοντας περὶ τὰ τῇ ψυχῇ μόνῃ θεατὰ δηλοῦσθαι διὰ τῶν τυφλῶν καὶ εἶναι τυφλούς, τοὺς δὲ κεκωφωμένους πρὸς παραδοχὴν σωτηρίου λόγου σημαίνεσθαι διὰ τῶν κωφῶν, ἀνάλογον ἐκείνοις ἐξετασθῆναι δεήσει τὰ περὶ τοῦ σεληωιαζομένου. ἔστι δὲ τὸ πάθος τοῦτο ἐκ διαλειμμάτων ἀξιολόγων ἐπιτιθέμενον τοῖς πάσχουσιν. ἐν οἷς οὐδὲν διαφέρειν δοκεῖ ὑγιαίνοντος ὁ πεπονθὼς αὐτὸ παρὰ τὸν καιρὸν τοῦ μὴ ἐνεργεῖν <εἰς> αὐτὸν τὴν ἐπίληψιν. τοιαῦτα δέ τινα εὕροις ἂν περί τινας ψυχὰς συμπτώματα, πολλάκις νομιζομένας ὑγιαίνειν ὑγιαίνειν ἐν σωφροσύνῃ καὶ ταῖς ἄλλαις ἀρεταῖς. εἶτ᾽ ἔσθ᾽ ὅτε ὡσπερεὶ ἐπιληψίᾳ Τινὶ τῇ ἀπὸ τῶν παθῶν λαμβανομένας Καὶ καταπιττούσας ἀπὸ τοῦ ἑστηκέναι δοκεῖν καὶ σπωμένας περὶ τὴν ἀπάτην τοῦ αἰῶνος τούτου καὶ τὰς λοιπὰς ἐπιθυμίας. Τάχα οὖν Οὐκ ἂν ἁνμάρτοις λέγων τοὺς τοιούτους (ἵν᾽ οὕτως εἴπω) πνευματικῶς Σεληνιάζεσθαι. Καταβαλλομένους ὑπὸ Τῶν »ἐν τοῖς ἐπουρανίοις« πνευματικῶν »τῆς πονηρίας«, καὶ κακῶς ἔχειν πολλάκις παρὰ τὸν καιρὸν τῶν ἐπιλαμβανομένων τῆς ψυχῆς αὐτῶν παθῶν· πίπτοντας ποτὲ μὲν εἰς τὸ πῦρ τῶν πυρώσεων, ὅτε γίνονται (κατὰ τὰ λεγόμενα ἐν τῷ Ὡσηὲ) »οἱ μοιχεύοντες, ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς φλογός«, ποτὲ δὲ εἰς <τὸ> ὕδωρ. ὅτε »ὁ Βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασι« Δοάκων καταβάλλει αὐτοὺς ἀπὸ τοῦ ἐλεύθερον δοκεῖν ἀναπνεῖν ἐπὶ τὸ εἰς <τὰ> βάθη τῶν κυμάτων τῆς θαλάσσης ἥκειν τοῦ τῶν ἀνθρώπων βίου. συμβαλεῖται δὲ ἡμῖν τῇ τοιαύτῃ περὶ τοῦ σεληνιαζομένου διηγήσει ὁ λέγων ἐν τῇ Σοφίᾳ περὶ μὲν τῆς τοῦ δικαίου ὁμαλότος· »διήγησις εὐσεβοῦς διὰ παντὸς σοφία«, περὶ δὲ τῶν ἀποδεδομένων· »ὁ δὲ ἄφρων ὡς σελήνη ἀλλοιοῦται«. καὶ ὁρμὰς *** συναρπάσαι δυναμένας πρὸς ἔπαινον τοὺς μὴ ἐπιστάντας αὐτῶν τῷ ἀνερματίστῳ, ὥστε εἰπεῖν ἄν οἱονεὶ πανσέληνον εἶναι ἐν αὐτοῖς ἢ παρ᾽ ὀλίγον πανσέληνον. ἴδοις δ᾽ ἄν πάλιν μειούμενον τὸ δόξαν εἶαν ἐν αὐτοῖς φῶς, καὶ φῶς νυκτερινὸν τυγχάνον ἀλλὰ καὶ φῶς νυκτερινὸν <καὶ σεληνιακὸν> καὶ ἐπὶ τοσοῦτον λῆγον, ἕως μηδὲ

<τὸ> δοκοῦν φῶς εἶναι ἐπιβλεπόμενον ἐν αὐτοῖς γένηται. εἰ δὲ οἱ πρῶτοι θέμενοι τὰ ὀνόματα τοῖς πράγμασι διὰ τοιοῦτόν τι ὠνόμασαν τὸ τῆς ἐπιληψίας πάθος σεληνιασμὸν ἢ μή, καὶ αὐτὸς ἐπιστήσεις.

Πατὴρ δὲ τοῦ σεληνιαζομένου τάχα ὁ λαχὼν αὐτὸν ἄγγελος

(εἴγε πᾶσαν λεκτέον ἀνθρωπίνην ψυχὴν Χὴν ὑπὸ τινι τετάχθαι ἀγγέλῳ <ὡς ὑπό τινωι πατρί>), ἀξιῶν ὡς περὶ υἱοῦ τὸν ἰατρὸν τῶν ψθχῶν, ἵνα αὐτὸν ῥύσηται μὴ δυνηθέντα μὴ δυνηθέντα ἵνα τοῦ ὑποδεεστέρου λόγου τοῦ ἐν τοῖς Μαθηταῖς θεραπευθῆναι ἀπὸ τοῦ μάθους. Πνεῦμα δὲ »ἄλαλον καὶ κωφόν«<,εἰ> Τροπολογητέον, <λεκτέο> τὰςἀλόγους καὶ πρὸς τὸ δοκοῦν Καλὸν ὁρμάς, ὑπὸ τοῦ λόγου ἐκβαλλόμενον, ἴωα ἃ τέως τις ἐποίει ἀλόγῳ φορᾷ νομιζόμενα ὑπὸ τῶν βλεπόντων καλά, μηκέτι μὲν πράττῃ ἄλόγως κατὰ <τὸ λοιπόν, κατὰ> δὲ τὸν λόγον τῆς τοῦ Ἰησοῦ διδασκαλίας. <δυσίατον δὲ τοῦτο τὸ πάθος καὶ ἰσχυρόν, δοκοῦν καλῶς πεπρᾶχθαι τὰ μὴ καλῶς, καὶ ἔστιν οὕτως ἐν τοῖς Τοιούτοις μεγάλη ἡ τοιαύτη ἐνέργεια, ὥστε ταυτην ὄρει παραβάλλεσθαι, δεομένη ἵνα μετατεθῇ ἀπὸ τοῦ τάσχοντος διὰ πάσης πίστεως τοῦ θεραπεύοντος. ἔστι δὲ ἡ ππασα πίστις παραβαλλομένηη κόκκῳ σινάπεως.> ἐκ τούτου καὶ ὁ Παῦλος ὡρμημένο εἶπεν· »ἐὰν ἔχω πάσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν«. οὐ γὰρ ἕν μόνον ὄρος, ἀλλὰ καὶ τά ἀνάλογον αὐτῷ πλείονα μεθίστησιν ὁ ἔχων πάσαν τὴν πίστιν· ἥτις ἐστὶν ὡς κόκκος σινάπεως. ἐπεὶ ἐξουθενεῖται μεν ἡ πίστις ὑπὸ τῶν ἀνθρώπων καὶ βραχύτατόν τι καὶ εὐτελὲς εἶναι φαίνεται, τυχοῦσα δὲ γῆς ἀγαθῆς (τουτέστι ψυκῆς τὸ , τοιοῦτον σπέρμα παραδέξασθαι καλῶς δυναμένης) »γίνεται δένδρον μέγα, ὥστε« οὐδὲν μὲν τῶν ἀπτέρων, τὰ δὲ ἐπτερωμένα πνευματικῶς »πύνασθαι τοῦ οὐρανοῦ« κατασκηνοῦν δύνασθαι »ἐν τοῖς κλάδοις« τῆς τοιαύτης πίστεως.

Ἤδη οὖν παραστῶμεν καὶ τῇ λέξει καὶ ζητήσωμεν πρότερον. πῶς σεληνιάζεσθαι λέγεται ὁ ὑπό τινος πνεύματος ἀκαθάρτου καὶ κωφοῦ καὶ ἀλάλου σκοτούμενος ακὶ καταβαλλόμενος, καὶ διὰ τί παρώνυμόν ἐστι τὸ σεληνιάζεσθαι ἀπὸ τοῦ μεγάλου ἐν οὐρανῷ καὶ δευτέρου μετὰ τὸν ἥλιν φωστῆρος, ὃν ἔταξεν »ὁ θεὸς« »εἰς ἀρχὰς τῆς νυκτός«.

ἰατροί μὲν οὖν φυσιολογείτωσαν. ἄτε μηδὲ ἀκάθαρτον πνεῦμα εἶναι νομίζοντες κατὰ τὸν τόπον ἀλλὰ σωματικόν <τι> σύμπτωμα, καὶ φυσιολογοῦντες τὰ ὑγρὰ λεγέτωσαν κινεῖσθαι τὰ ἐν τῇ κεφαλῇ κατά τινα συμπάθειαν τὴν πρὸς τὸ σεληνιακὸν φῶς, ὑγρὰν ἔχον φύσιν. ἡμεῖς δὲ οἱ καὶ τῷ εὐαγγελίῳ πιστεύοντες ὅτι τὸ νόσημα τοῦτο ἀπὸ πνεύματος ἀκαθάρτου, ἀλάλου καὶ κωφοῦ ἐν τοῖς πάσχουσιν αὐτὸ θεωρεῖται ἐνεργούμενον, ὁρῶντες δὲ ὅτι καὶ οἱ εἰθισμένοι παραπλησίως τοῖς ἐπαοιδοῖς τῶν Αἰγυπτίων ἐπαγγέλλεσθαι τὴν κατὰ τοὺς τοιούτους θεραπείαν δοκοῦσί ποτε ἐπιτυγχάνειν ἐν αὐτοῖς, φήσομεν ὅτι μήποτε ὑπὲρ τοῦ διαβάλλειν τὰ κτίσματα τοῦ θεοῦ, ἵνα καὶ ἀδικία οὐρανὸν τὸ στόμα αὐτῶν«,

τὸ ἀκάθαρτον τοῦτο πνεῦμα ἐπιτηρεῖ τινας σχηματισμοὺς τῆς σελήνης καὶ οὕτως ἐνεργεῖ, ἵν’ ἐκ τῆς τηρήσεως τοῦ κατὰ τὸν τοιόνδε τῆς σελήνης σχηματισμὸν

πάσχειν τοὺς ἀνθρώπους τὴν αἰτίαν δόξῃ τοῦ τηλικούτου κακοῦ μὴ »τὸ ἄλαλον καὶ κωφὸν« λαμβάνειν δαιμόνιον, ἀλλὰ ὁ μέγας ἐν ουρανῷ φωστήρ, ὁ τεταγμένος »εἰς ἀρχὰς τῆς νυκτὸς« καὶ μηδεμίαν ἔχων ἀρχὴν τῆς τοιαύτης ἐν ἀνθρώποις νόσου. καὶ »ἀδικίαν γε εἰς τὸ ὕψος« λαλοῦσι πάντες ὅσοι παρὰ τὴν τῶν ἄστρων σχέσιν φασὶν εἶναι τὴν αἰτίαν πάντων τῶν ἐπὶ γῆς (εἴτε καθολικῶν μάτων· καὶ οἱ τοιοῦτοί γε ἀληθῶς »ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν«, κακοποιούς τινας λέγοντες εἶναι τῶν ἀστέρων καὶ ἄλλους ἀγθοποιούς, οὐδενὸς ἄστρου γενομένου ἐπὸ τοῦ θεοῦ τῶν ὅλων ἵνα κακοποιῇ, κατά γε τὸν ἱερεμίαν ὡς ἐν Θρήνοις γέγραπται· »ἐκ στόματος κυρίου <οὐκ> ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν«.

Εἰκὸς δὲ ὅτι, ὡσπερ τοῦτο τὸ ἐνεργοῦν τὸν καλούμενον σεληνιασμὸν σμὸν πνεῦμαἀκάθαρτονἐπιτηρεῖ τοὺς

γήσῃ εἰς τὸν διά τινας αἰτίας παραδιδόμενον αὐτῷ καὶ μὴ ποιήσαντα ἑαυτὸν ἄξιον φρουρᾶς ἀγγελικῆς, οὕτως καὶ ἄλλα πνεύματα καὶ δαιμόνια πρός τινας σχηματισμοὺς τῶν ἄλλων ἀστέρων, ἵνα μὴ μόνον σελήνη ἀλλὰ καὶ οἱ λοιποὶ λοιδορηθῶσιν ἀστέρες ὑπὸ τῶν »ἀδικίαν εἰς τὸ ὕψος« λαλούντων. ἔστι γοῦν ἀκοῦσαι τῶν γεωεθλιαλόγων, τὴν αἰτίαν πάσης μανίας καὶ παντὸς δαιμονισμοῦ ἀναφερόντων ἐπὶ τοὺς τῆς σελήνης σχηματισμούς. ὅτι μὲν οὖν οἱ τὸν καλούμενον σεληνιασμὸν πάσχοντες ἐνίοτε εἰς τὸ ὕδωρ πίπτουσι, δῆλόν ἐστιν· ὅτι δὲ καὶ εἰς τὸ πῦρ, σπανιώτερον μὲν πλὴν καὶ αὐτὸ συμβαῖνόν ἐστι. καὶ οὕτω δυσίατόν ἐστι τὸ νόσημα τοῦτο, ὡς καὶ τοὺς ἔχοντας χάριν θεραπεύειν δαιμονῶντας ὁτὲ μὲν ἀπαυδᾶν πρὸς τοῦτο, ὁτε δὲ μετὰ νηστειῶν καὶ προσευχῶν καὶ πλειόνων καμάτων ἐπιτυγχάνειν. ζητήσεις δὲ εἰ, ὥσπερ ἐν τοῖς ἀνθρώποις, οὕτω καὶ ἐν τοῖς πνεύμασι τοιαῦτά <ἐστι> συμπτώματα, ὡς τινὰ μὲν αὐτῶν λαλεῖν τινὰ δὲ ἄλαλα εἶναι, καὶ τινὰ μὲν ἀκούειν ἕτερα δὲ κεκωφῶσθαι. εὑρεθήσεται γὰρ ὥσπερ ἐν αὐτοῖς ἡ αἰτία τοῦ εἶναι ἀκάθαρτα, οὕτως καὶ διὰ τὸ αὐτεξούσιον αὐτῶν καταδεδικάσθαι αὐτὰ τὸ εἶναι ἄλαλα καὶ κωφά. καί γὰρ ἀνθρώπων τινὲς τὴν τοιαύτην καταδίκην πείσονται, εἴ γε ἡ τοῦ προφήτου εὐχὴ ὡς πνεύματι ἁγίῳ εἰρημένη ἐπακουσθήσεται, ἐν ᾗ λέλεκται ἐπί τινων ἁμαρτωλῶν· »ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια«. οὕτω δὲ τάχα καὶ οἱ κακῶς χρησάμενοι ταῖς ἀκοαῖς καὶ παραδεξάμενοι ἀκοὴν ματαίαν κωφωθήσονται ὑπὸ τοῦ εἰπόντος· »τίς ἐποίησε δύσκωφον καὶ κωφόν;« ἵνα μὴ πλεῖον παραδέχωνται ἀκοὴν ματαίαν.

Ἐπεὶ δὲ εἶπεν ὁ σωτήρ· ὦ γενεὰ ἄπιστε καὶ διεστραμμένη, ἐμφαίνει ὅτι ἐκ διαστροφῆς ἡ κακία παρεισελήλυθε, παρὰ φύσιν γενομένη καὶ διαστρόφους ἡμᾶς πεποιηκυῖα. ὅλον δὲ (οἶμαι) τὸ τῶν ἐπὶ γῆς ἀν-

θρώπων γένος διά τὴν κακίαν βαρούμενος καὶ τὴν μετ’ αὐτῶν διατριβὴν ὁ σωτὴρ εἶπε τὸ ἕως πότε μεθ’ ὑμῶν ἔσομαι: προείπομεν οὖν ἀπὸ μέρους εἰς τὸ ἐὰν ἔχητε πίστιν ὡς κόκκον σφινάπεως, ἐρεῖτε τῷ ὄρει τούσινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ καὶ τὰ ἑξῆς. οὐδὲν δ’ ἧττον κατὰ τὸ φαινόμενον ἡμῖν τρανότερον καὶ ταῦτα εἰς τὸν τόπον λελέξεται. ὄρη ἐν τούτοις οἶμαι λέγεσθαι τὰς ἐν κακίᾳ κεχυμένῃ καὶο μεγάλῃ γεγενημένας ἀντικειμένῃ καὶ μεγάλῃ γεγενημένας ἀντικειμένας δυνάμεις,

αἵτινες ὡσπερεὶ ἐρηρεισμέναι εἰσὶν ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς. ἐπὰν οὖν ἔχῃ τις »τὴν πᾶσαν πίστιν«, ὥστε μηκέτι περί τινων ἐν τοῖς ἱεροῖς γράμμασι κειμένων ἀπιστεῖν, καὶ τοιαύτην αὐτὴν ἔχῃ, ὁποία ἦν ἡ πίστις τοῦ Ἀβραὰμ πιστεύοντος τῷ θεῷ ἐπὶ τοσοῦτον, ὡστε λογισθῆναι τὴν πίστιν αὐτοῦ »εἰς δικαιοσύνην«. ἔχει »τὴν πᾶσαν πίστιν« ὡς κόκκον σινάπεως. εἶθ' ὁ τοιοῦτος ἐρεῖ τῷ ὄρει τούτῳ (δείκνυμι δὲ »τὸ ἄλαλον καὶ κωφὸν« ἐν τῷ λεγομένῳ σεληνιάζεσθαι πνεῦμα)· μετάβα ἔνθεν (δηλονότι ἀπὸ τοῦ πάσχοντος ἀνθρωπου) <ἐκεῖ> (ἐπὶ τάχα τὴν ἄβυσσον) καὶ μεταβήσεται. ὁ δὲ ἀπόστολος ἐντεῦθεν (οἶμαι) τὴν ἀφορμὴν λαβὼν μετὰ ἀποστολικῆς εἶπεν ἐξουσίας τὸ »καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάνειν«· οὐ γὰρ ἓν μόνον ὄρος ἀλλὰ καὶ τὰ ἀνάλογον αὐτῷ πλείονα μεθίστησιν ὁ ἔχων »πᾶσαν τὴν πίστιν«, ἥτις ἐστὶν ὡς κόκκος σινάπεως· καὶ οὐδέν γε τούτῳ τῷ ἐπὶ τοσοῦτον πιστεύοντι ἔσται ἀδύνατον. πρόσχωμεν δὲ καὶ τῷ τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ, ἵν' εἴ ποτε δέοι περὶ θεραπείαν ἀσχολεῖσθαι ἡμᾶς τοιοῦτόν τι πεπονθότος τινός, μὴ ὁρκίζωμεν μηδὲ ἐπερωτῶμεν μηδὲ λαλῶμεν ὡς ἀκούοντι τῷ ἀκαθάρτῳ πνεύματι, ἀλλὰ »σχολάζοντες προσευχῇ καὶ νηστείᾳ« ἐπιτύχωμεν προσευχόμενοι περὶ τοῦ πεπονθότος <σωτηρίας τῆς ἀπὸ θεοῦ> και τῇ ἑαυτὼν νηστείᾳ ἀπώσωμεν ἀπ' αὐτοῦ τὸ ἀκάθαρτον πνεῦμα.

Σ<υσ> τρεφομένων δὲ αὐτῶνεὶς τὴν Γαλιλαίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων (17, 22 [23]).

Καὶ δόξει γε ἐκείνοις ταῦτα ἰσοδυναμεῖν ὅτι »ἤρξατο δεικνύειν τοῖς μαθηταῖς ὅτι δεῖ αὐτὸν εἰς Ἱεροςόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων«. τὸ δὲ οὐχ οὕτως ἔχει. οὐ γὰρ ταὐτόν ἐστι τὸ ὑποδείκνυσθαι »τοῖς μαθη ταῖς ὅτι δεῖ αὐτὸν εἰς Ἱεροςόλυμα ἀπελθεῖν καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων« καὶ μετὰ τὸ παθεῖν »ἀποκτανθῆναι καὶ« μετὰ τὸ ἀποκτανθῆναι »τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι«, τῷ λελέχθαι αὐτοῖς οὖσιν ἐν τῇ Γαλιλαίᾳ (ὅπερ ἀνωτέρω οὐ μεμαθήκαμεν), ὡς ἄρα μέλλοι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι· τὸ γὰρ παραδίδοσθαι ἀνωτέρω μὲν οὐκ εἴρηται, νῦν δὲ καὶ ὅτι εἰς χεῖρας ἀνθρώπων. ἐφ' ᾧ ζητήσωμεν ὑπὸ τίνος μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων ἢ τίνων. ἐκεῖ μὲν γὰρ ὑφ' ὧν πείσεται διδασκόμεθα καὶ ἐν ᾧ τόπῳ πείσεται,

ἐνταῦθα δὲ ἐπ' ἐκείνοις μανθάνομεν ὅτι τὸ »πολλὰ παθεῖν« αὐτὸν ὑπὸ τῶν προειρημένων συμβαίνει, οὐκ ἐκείνων πρώτων αἰτίων γινομένων τοῦ »πολλὰ« αὐτὸν παθεῖν, ἀλλ' ἢ τοῦ παραδιδόντος ἢ τῶν παραδιδόντων αὐτὸν εἰς χεῖρας ἀνθρώπων. ὁ μὲν οὖν φήσει ὅτι τοῦτο διηγούμενος ὁ ἀπόστολός φησι περὶ τοῦ θεοῦ· »ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν«, ἔδωκε δὲ καὶ ὁ υἱὸς »ὑπὲρ ἡμῶν ἑαυτὸν« εἰς θάνατον, ὥστε οὐ μόνον ὑπὸ τοῦ πατρός, ἀλλὰ καὶ ὑθ' ἑαυτοῦ παρεδόθη. ἕτερος δὲ οὐ μόνον ἐκεῖνο ἀλλὰ καὶ τὰ ἐκκείμενα ἐπὶ τὸ αὐτὸ συναγαγὼν φήσει παραδεδόσθαι πρῶτον ὑπὸ τοῦ θεοῦ τὸν υἱὸν εἶτα πειρασθηςόμενον, εἶτα ἀγωνιούμενον, εἶτα ὑπὲρ ἀνθρώπων πεισύμενον

ἢ καὶ »ὅλου τοῦ κόσμου«, ἵνα αὐτοῦ ἄρῃ »τὴν ἁμαρτίαν«, τῷ ἄρχοντι »τοῦ αἰῶνος τούτου«καὶ τοῖς ἄλλοις ἄρχουσιν αὐτοῦ, εἶτα ὑπὸ τούτων εἰς χεῖρας ἀνθρώπων αὐτὸν παραδίδοσθαι τῶν ἀποκτενούντων αὐτόν. παράδειγμα δὲ παραληφθήσεται τὰ τοῦ Ἰώβ. »ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου· ἀλλὰ αὐτοῦ μὴ ἅψῃ«, εἶτα ὡσπερεὶ παραδοθέντος ὑπὸ τοῦ διαβόλου τοῖς ἄρχουσιν αὐτοῦ τοῖς αἰχμαλωτεύουσι, τοῖς ἱππεῦσι, τῷ καταβαίνοντι ὡς ἐξ οὐρανοῦ πυρί, τῷ ἐκ τῆς ἐρημίας ἐλθόντι μεγάλῳ πνεύματι καὶ τὴν οἰκίαν χαλάσαντι. ἐπιστήσεις δὲ εἰ, ὥσπερ τοῖς αἰχμαλωτεύουσι παραδέδωκε τὰ τοῦ Ἰωβ καὶ τοῖς ἱππεῦσιν, * * * οὕτως καί τινι ἐνεργεί<τῶν> ὑπὸ »τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ ἐνεργοῦντος νῦν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας«, ἵνα τὸ ἐκεῖθεν καταβαῖνον πῦρ ἐπὶ τὰ πρόβατα τοῦ Ἰωβ ἐξ οὐρανοῦ οφ θῇ καταβαῖνον τῷ ἀπαγγέλλοντι τῷ Ἰωβ ὅτι »πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσε τὰ πρόβατα αὐτοῦ, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως«. παραπλησίως δὲ τούτοις ζητήσεις, εἰ καὶ τὸ »ἐξαίφνης μέγα πνεῦμα ἀπὸ τῆς ἐρήμου« ἐλθὸν καὶ ἀφάμενον »τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας« ἕν τι τῶν ὑπὸ τὸν διάβολον ἦν, ᾧ παρέδωκεν ὁ διάβολος τὸ »τῶν υἱῶν« »καὶ τῶν θυγατέρων« τοῦ Ἰωβ συμπόσιον, ἵνα συμπέσῃ »ἡ οἰκία ἐπὶ τὰ παιδία« τοῦ δικαίου καὶ τελευτήσωσιν.

Ἔστω οὖν (ὡς ἐπὶ τοῦ Ἰωβ) πρῶτον παραδιδοὺς ὁ πατὴρ τὸν υἱὸν ταῖς ἀντικειμέναις ἐνεργείαις, εἶθ’ αὗται παραδιδότωσαν αὐτὸν εἰς χεῖρας ἀνθρώπων, ἐν οἷς ἀνθρώποις καὶ Ἰούδας ἦν, εἰς ὃν »μετὰ τὸ ψωμίον εἰσῆλθεν ὁ σατανᾶς«, ἀρχικώτερον τοῦ Ἰούδα παραδιδοὺς αὐτόν. ἀλλ’ ὅρα, μήποτε τὸ παραδίδοσθαι ταῖς ἀντικειμέναις ἐνεργείαις ὑπὸ τοῦ πατρὸς τὸν υἱὸν συνεξετάζων τῷ παραδίδοσθαι ὑπ’ συνεξετάζων τῷ παραδίδοσθαι ὑπ’ ἐκείνων εἰς χεῖρας ἀνθρώπων τὸν σωτῆρα, νομίσῃς ἴσον εἶναι τὸ ἐπ’ ἀμφοτέρων λεγόμενον παραδίδοσθαι. κατανόει γὰρ /?οτι ὁ μὲν πατὴρ <οὐχ ἁπλῶς, ἀλλ’> »ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν« ἀπὸ φιλανθρωπίας· αἱ δὲ ἀντικείμεναι δυνάμεις παραδοῦσαι τὸν σωτῆρα εἷς χεῖρας ἀνθρώπων οὐκ ἐσκόπουν τὸν ὑπέρ τινων σωτηρίας παραδιδόναι αὐτόν, ἀλλὰ (τὸ ὅσον ἐπ’ αὐταῖς, ἐπεὶ οὐδεὶς αὐτῶν ἐγίνωνσκε τὴν τοῦ »θεοῦ σοφίαν τὴν ἐν μυστηρίῳ ἀποκεκρυμμένην«) παρεδίδουν αὐτὸν ἀποθανούμενον, ἵνα ὁ »ἐχθρὸς« αὐτοῦ »θάνατος« ὑποχείριον αὐτὸν λάβῃ ὁμοίως τοῖς »ἐν τῷ Ἀδὰμ« ἀποθνῄσκουσι. καὶ οἱ ἀπκτείναντες δὲ αὐτὸν ἄνθρωποι <οὐχὶ θελήματι τοῦ θεοῦ ἤδη καθεστηκότι, ἀλλὰ δυνάμεων> θελήματι τυπούμενοι τῶν βουλομένων τὸν Ἰησοῦν ὑποχείριον γενέσθαι θανάτῳ τοῦτο ἐποίουν. οἶμαι δὲ ἀναγκαίως ἐξητάσθαι καὶ ταῦτα διὰ τὸ τὸν παραδιδόμενον εἰς χεῖρας ἀνθρώπων Ἰησοῦν μὴ ὑπὸ ἀνθρώπων εἰς χεῖρας ἀνθρώπων παραδίδοσθαι, ἀλλ’ ὑπὸ δυνάμεων αἷς »ὑπὲρ ἡμῶν πάντων παρέδωκεν« ὁ πατὴρ τὸν υἱόν, ἐν αὐτῷ τῷ παραδεδόσθαι καὶ γίνεσθαι ὑπὸ τοὺς οἷς παρεδόθη καταλύοντα »τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου«· »διὰ« γὰρ »τοῦ θανάτου« κατήργησε »τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου« (τουτέστι τὸν διάβολον) καὶ« ἀπήλλαξε »τούτους, ὅσοι φόβῳ θανάτου« διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας«.

»Κράτος« δὲ »θανάτου« νομιστέον ἔχειν τὸν διάβολον οὐ τοῦ μέσου καὶ <ἀ> διαφόρου, καθ’ ὃν ἀποθνῄσκουσιν οἱ σύνθετοι ἐκ ψυχῆς καὶ σώματος χωριζομένης αὐτῶν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, ἀλλὰ τοῦ ἐναντίου καὶ ἐχθροῦ τοῦ εἰπόντος· »ἐγώ εἰμι ἡ ζωή«, καθ’ ὃν »ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται«. ἐμφαίνει δὲ ὅτι οὐχ ὁ θεὸς εἰς χεῖρας ἀνθρώπων παρέδωκεν αὐτόν, ὁ σωτὴρ λέγων· »εἰ ἦν ἐκ τοῦ

κόσμου τούτου ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις«. παραδιδόμενος γὰρ Ἰουδαίοις εἰς χεῖρας ἀνθρώπων παρεδόθη, οὐχ ὑπὸ τῶν ἰδίων ὑπηρετῶν, ἀλλ’ ὑπὸ τοῦ ἄρχοντος » τοῦ αἰῶνος τούτου« εἰπόντος περὶ τῶν ἐν ἀοράτοις δυνάμεσι κατὰ ἀνθρώπων ἱσταμένων βασιλειῶν· »ταῦτά σοι πάντα δώσωἐὰν πεσὼν προσκυνήσῃς μοι«. διὸ καὶ περὶ ἐκείνων λελέχθαι νομιστέον τὸ »παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ Ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ το[ου κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ«. κἀκεῖνοι μὲν »οἱ βασιλεῖς« καὶ »οἱ ἄρχοντες« »παρέστησαν« καὶ »συνήχθησαν κατὰ τοῦ κυρίου καὶ ματὰ τοῦ Χριστοῦ αὐτοῦ«· ἡμεῖς δὲ ἐκ τοῦ παραδεδόσθαι αὐτὸν ὑπ’ ἐκείνων εἰς χεῖρας ἀνθρώπων καὶ ἀπεκτάνθαι ὠφεληθέντες, φαμὲν τὸ »διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ’ ἡμῶν τὸν ζυγὸν αὐτῶν« ***. ὅτε γὰρ »σύμμορφοι« γινόμεθα τῷ θανάτῳ τοῦ Χριστοῦ, οὐκέτι ἐσμὲν ὑπὸ τοὺς δεσμοὺς τῶν (ὡς ἀποδεδώκαμεν) βασιλέων »τῆς γῆς«, οὐδ’ ὑπὸ τὸν ζυγὸν τῶν κατὰ τοῦ κυρίους συναχθέντων ἀρχόντων »τοῦ αἰῶνος τούτου«· καὶ καὶ διὰ τοῦτο ὁ πατὴρ »τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ’ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν«, ἵν’ οἱ <ἄρχοντες οἱ> παραλαβόντες αὐτὸν καὶ παραδόντες αὐτὸν εἰς χεῖρας ἀνθρώπων, ὑπὸ τοῦ κατοικήσαντος »ἐν τοῖς οὐρανοῖς« ἐγγελασθῶσιν καὶ ὑπὸ τοῦ κυρίου ἐκμυκτηρισθῶσιν, εἰς κατάλυσιν τῆς ἰδίας βασιλείας καὶ ἀρχῆς παρὰ προσδοκίαν παραλαβόντες ἀπὸ τοῦ παρᾳ ἠγέρθη τῷ τὸν ἐχθρὸν αὐτοῦ θάντον κατηρηκέναι καὶ ἡμᾶς πεποιηκέναι »συμμόρφους«, οὐ μόνον »τοῦ θανάτου αὐτοῦ« ἀλλὰ καὶ »τῆς ἀναστάσεως«, δι’ ὃν »ἐν καινότητι ζωῆς« περιπατοῦμεν, οὐκέτι καθεζόμενοι »ἐν χώρᾳ καὶ σκιᾷ θανάτου«, διὰ τὸ ἀνατεῖλαν ἐφ’ ἡμᾶς »φῶς« τοῦ θεοῦ. εἰπόντος δὲ τοῦ σωτῆρος μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσι αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται, οἱ μαθηταὶ σφόδρα ἐλυπήθησαν, τῷ μὲν πραραδίδοσθαι μέλλειν αὐτὸν εἰς χεῖρας ἀνθρώπων καὶ τῷ ἀποκτίννυσθαι αὐτόν, ὡς σκυθρωποῖς καὶ ἀξίοις λύπης ἐπιστήσαντες, μὴ προσχόντες δὲ τῷ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεσθαι αὐτὸν δεηθέντα οὐδὲ χρόνου παλείονος, »ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου«.

Ἐλθόντων δὲ εἰς Καπερναοὺμ προσῆλθον οἱ τὰ δίσραχμα λαμβάνοντες τῷ Πέτρῳ (17, 24 [–27]).

Εἰσί τινες βασιλεῖς τῆς γῆς καὶ τούτων υἱοί, μὴ διδόντες τέλη

ἢ κήνσους, καὶ ἕτεροι παρὰ τοὺς υἱοὺς αὐτῶν ἀλλότριοι τῶν βασιλῶν τῆς γῆς, ἀφ’ ὧν λαμβάνουσιν οἱ βασιλεῖς τῆς γῆς γῆς τέλη ἢ κῆνσον. καί εἰσιν οἱ μὲν υἱοὶ

αὐτῶν ἐλεύθεροι παρὰ τοῖς βασιλεῦσι τῆς γῆς ὡς παρὰ πατράσιν <υἱοί>· οἱ δὲ ἀλλότριοι αὐτῶν ὡς δὲ κατὰ τοὺς δυναστεύοντας αὐτῶν καὶ καταδουλουμένους (ὡς »κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραήλ. καὶ κατωδύνων αὐτῶν τὴν ζωήν«, καὶ »κατεδουλοῦντο αὐτοὺς μετὰ βίας») δοῦλοι. δι’ οὓς δουλεύοντας ἀνάλογον τῇ δουλείᾳ τῶν Ἑβραίων μόνον »μορφὴν« τοῦ »δούλου« ἀνείληφεν ὁ υἱὸς τοῦ θεοῦ, οὐδὲν ἔργον ποιῶν πήλινον καὶ δοῦλον. ὡς οὖν ἔχων τὴν τοῦ »δούλου« ἐκείνου »μορφήν«, τέλος καὶ κῆνσον δίδωσιν οὐχ ἕτερον παρὰ τὸν διδόμενον ὑπὸ τοῦ μαθητοῦ αὐτοῦ· ὁ γὰρ αὐτὸς ἅρκει στατὴρ καὶ τὸ ἕν νόμισμα διδόμενον ὑπὲρ τοῦ Ἰησοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ. τοῦτο δὲ τὸ νόμισμα ἐν μὲν τῇ οἰκίᾳ τοῦ Ἰησοῦ οὐκ ἦν ἐν τῷ στόματι τοῦ θαλασσίου ἰχθύος, ὅν καὶ αὐτὸν οἶμαι εὐεργετούμενον ἀναβεβκέναι ἐν τῷ Πέτρου ἀγκίστρῳ συνειλημμένον, γενομένου ἁλιέως »ἀνθρώπων«, ἐν οἷς ἦν ὁ τροπικῶς λεγόμενος ἰχθύς, ἵνα καὶ ἀπαρθῇ ἀπ’ αὐτοῦ <τὸ> ἔχον τὴν εἰκόνα »Καίσαρος« νόμισμα, καὶ γένηται ἐν οἷς οἱ ἁλιευόμενοι ὑπὸ τῶν μεμαθηκότων ἀνθρώπους ἁλιεύειν. ὁ μὲν οὖν ἔχων »τὰ Καίσαρος« ἀποδιδότω αὐτὰ τῷ »Καίσαρι«, ἵνα μετὰ τοῦτο ἀποδιδόναι δυνηθῇ »τὰ τοῦ θεοῦ τῷ θεῷ«. ἐπεὶ δὲ Ἰησοῦς, εἰκὼν ὤν »τοῦ θεοῦ τοῦ ἀοράτου«, οὐκ εἶχε τὴν εἰκόνα τοῦ »Καίσαρος« (ὁ γὰρ »ἄρχων τοῦ αἰῶνος τούτου οὐδὲν« εἶχεν ἐν αὐτῷ), διὰ τοῦτο <οὐκ ἀπὸ ἰδίου, ἀλλ’> ἀπὸ οἰκείου τόπου τῆς θαλάσσης τὴν εἰκόνα »Καίσαρος« λαμβάνει, ἵνα δῷ τοῖς τῆς γῆς βασιλεῦσιν ἀντὶ αὐτοῦ καὶ τοῦ μαθητοῦ αὐτοῦ, ἵνα μηδὲ ὑπολαμβάνωσιν οἱ τὰ διδραχμα λαμβάνοντες ὀφειλέτην αὐτῶν εἶναι καὶ τῶν βασιλέων τῆς γῆς τὸν Ἰησοῦν· ἀπέδωκε γὰρ τὴν ὀφειλήν, οὐκ ἀναλαβὼν αὐτὴν οὐδὲ κεκτημένος οὐδὲ πορίσας οὐδὲ ἴδιόν ποτε ποιήσας αὐτὴν κτῆμα, ἵνα μηδέποτε ἡ »Καίσαρος« εἰκὼν ᾖ πραὰ τῇ εἰκόνι »τοῦ

Καὶ κατ’ ἄλλον δὲ τρόπον λεχθείη <ἄν>· εἰσὶ τινὲς τῶν βασιλέων τῆς γῆς υἱοὶ καὶ <τινὲς> οὐχ υἱοὶ αὐτῶν, πλὴν υἱοὶ καὶ ἀπολελυμένως υἱοί, ἕτεροι δὲ διὰ τὸ εἶναι ἀλλότριοι τῶν υἱῶν τῶν βασιλέων τῆς γῆς, οὐδενὸς μὲν τῶν ἐπὶ γῆς υἱοί, αὐτὸ δὲ τοῦτο υἱοί, ἤτοι δὲ τοῦ θεοῦ ἢ τοῦ υἱοῦ αὐτοῦ ἤ τινος τῶν τοῦ θεοῦ. ἐὰν οὖν ὁ σωτὴρ πυνθάνηται τοῦ Πέτρου λέγων· οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν ἰδίων υἱῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων αὐτῶν; εἰπόντος δὲ τοῦ Πέτρου ὅτι οὐκ ἀλλοτρίων αὐτῶν, φησὶν ὁ Ἰησοῦς περὶ τούτων, οἵτινες ἀλλότριοί εἰσιν τῶν βασιλέων τῆς γῆς καὶ διὰ τὸ εἶναι ἐλεύδεροι υἱοὶ τυγχάνοθσι. τὸ ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί, οὐκ ἐλεύδεροι γὰρ οἱ υἱοὶ τῶν βασιλέων τῆς γῆς, ἐπεὶ »πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος τῆς ἁμαρτίας ἐστίν«, ἐλεύθεροι δὲ οἱ μείναιντες <ἐν> τῇ ἀληθείᾳ τοῦ λόγου τοῦ θεοῦ καὶ διὰ τοῦτο γνόντες τὴν ἀλήθειαν, ἵνα καὶ ἐλευθερωθῶσιν ἀπ’ αὐτῆς. εἴ τις οὖν ἐστιν υἱὸς ἁπλῶς καὶ μὴ τοῦτο ὅλον υἱὸς τῶν βασιλέων τῆς γῆς, ἐκεῖνός ἐστιν ἐλεύθερος. καὶ ὅμως, ὢν ἐλεύθερος, πεφρόντικε τοῦ μὴ σκανδαλίζειν καὶ τοὺς βασιλεῖς τῆς γῆς διδραχμα λαμβάνοντας· διό φησι· μὴ σκανδαλίσωμεν αὐτούς, ἀλλὰ πορευθεὶς τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον καὶ τὰ ἑξῆς. πυθοίμην δ’ ἄν τῶν χαιρόντων τῇ περὶ φύσεων μυθοποιίᾳ, ποίας φύσεως ἦσαν εἴτε οἱ τῆς γῆς βασιλεῖς εἴτε οἱ υἱο ὶ αὐτῶν εἴτε οἱ τὰ δίδραχμα λαμβάνοντες, οὓς μὴ βούλεται σκανδαλίζειν ὁ

σωτήρ. φαίνεται δὴ (ὡς κατὰ τὴν ὑπόθεσιν) ὅτι οὐκ ἐπαινετῆς εἰσι φύσεως, καὶ ὅμως πεφρόντικε τοῦ μὴ σκανδαλισθῆναι αὐτούς, καὶ ὅμως κωλύει σκόνδαλόν τι αὐτοῖς γενέσθαι, ἵν’ ἤτοι μὴ χεῖρον ἀραρτάνοιεν, ἢ πρὸς τὸ (εἰ βούλονται) σωθῆναι ἥκοιεν ἐκ τοῦ ἀποδέξαθαι τὸν φεισάμενον αὐτῶν ἵνα μὴ σκανδαλισθῶσι. καὶ ὡς ἐκ ΧΨΡΙΨΙ γε ΠΑΡΑΚΛΗΣΕΨΣ (οὕτω γὰρ ἑρμηνεύσταιή Καφαρναού) παρακαλῶν <ελασ> τον μαθητὴν καὶ ἐλεύθερον αὐτὸν εἶναι καὶ υἱὸν <ἀπαγγέλων>, δίδωσιν αὐτῷ δύναμιν τοῦ ἁλιεῦσαι ἰχθὺν πρῶτον, ἵνα ἀναβάντος αὐτοῦ παρακληθῇ ὁ Πέτρος ἐπὶ τῷ ἀναβάντι καὶ ἁλιευθέντι, καὶ ἀπὸ τοῦ <ἐξ ἐνοιχθέντος αὐτοῦ τοῦ> στόματος εἰλῆφθαι τὸν στατῆρα ἀποσοθησόμενον τοῖς οἰκείοις τοῦ στατήσρος καὶ ἀπαιτοῦσιν ὡς ἴδιον τὸ τοιοῦτον νόμισμα.

Χαριέντως δ’ ἄν ποτε χρήσαιο τῷ ῥητῷ ἐπὶ φιλαφηύρῳ, μηδὲν ἀνὰ στόμα ἔκοντι ἢ τὰ περὶ τοῦ ἀργυρίου, ἐπὰν ἴδηας αὐτὸν ὑπό τινος Πέτρου τεθεραπευμένον, ἀφλόντος αὐτοῦ οὐ μένον ἐκ τοῦ στόματος καὶ τῶν λόγων, ἀλλὰ καὶ ἀπὸ ὅπὸ ὅλως διαθέσεως τὰν στατῆρα, σύμβολον ἄντα πάσης αὐτοῦ φιλαργυρίας. ἐρεῖς γὰρ τὸν τοιοῦτον ἐν θαλάσσῃ μὲν γεγονέναι καὶ τοπῖς ἁλμυροῖς τοῦ βίου πράγμασι καὶ τοῖς κύμασι τῶν τῆς φιλαργυρίας φροντίδδων καὶ μεριμνῶν, ἔχοντα ἐν τῷ στόματι τὸν στατῆρα ὅτε ἄπιστος ην καὶ φιλάργυρος, ἀναβεβηκέναι δὲ ἀπὸ τῆς

θαλάσσης ἐν τῷ λογικῷ ἀγκίστρῳ συνειλημένον καὶ κεὐεργετούμενον (ὑπό τινος αὐτὸν διδάξαντος Πέτρου τὴν ἀλήθειαν) μηκέτι ἔχειν ἔν τῷ στόματι τὸν στατῆρα ἀλλὰ ἀντ’ ἐκείνου τὰ ἔκοντα τὴν εἰκόνα λόγια τοῦ θεοῦ.

Ἔτι εἰς τὸ προσῆλθον οἱ τὰ δίδρακμα λαμβάνοντες τῷ Πέτρῳ παραθήσῃ ἀπὸ τῶν Ἀριθμῶν ὅτι ὑπὲρ μὲν τῶν ἁγίων κατὰ τὸν τοῦ θεοῦ νόμον οὐχ ἁπλῶς δίδραχμον δίδοται, ἀλλὰ δίδραχμον ἅγιον. γέγραπται γάρ· »καὶ λήψῃ πέντε σίκλους κλους κατὰ κεφαλήν, κατὰ τὸ δίδραχμον τὸ ἅγιον«. ἀλλὰ καὶ ὑπὲρ »πάντων τῶν υἱῶν Ἰσραὴλ« κατὰ κεφαλὴν δίδοται δίδραχμον ἅγιον. ἐπεὶ οὖν οὐχ οἷόν τε μετὰ τῶν ἁγίων διδοάχμων ἔχειν καὶ δίδραχμα (ἵν’ οὕτως οὐνομάσω) βέβηλα τὸν ἅγιον τοῦ θεοῦ, διὰ τοῦτο τοῖς λαμβάνουσι τὰ οὐχ ἅγια δίδραχμα καὶ ἐρωτήσασι τὸν πέτρον καὶ εἰποῦσιν· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδρακμα; προστάσσει δοθῆναι στατῆρα (ἐν ᾧ ἦν <δύο> δίδραχμα) ὁ σωτὴρ εὑρισκόμενον ἐν τῷ στόματι τοῦ πρώτου ἀναβάντος ἰχθύος, ἵνα δοθῇ ἀντὶ τοῦ διδασκάλου καὶ τοῦ μαθητοῦ.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν (18, 1 [—6]);

Δυνάμενος ὁ Ματθαῖος ὑπ[ερ τοῦ διδαχθῆναι ἡμᾶς, τί τε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ ἠξίους οἱ μαθηταὶ τῷ Ἰησοῦ ἠμίουν παρ’ αὐτοῦ μαθεῖν πῶς τε ἀπελρίνατο πρὸς τὸ πύσμα αὐτῶν, αὐτὸ τοῦτο μόνον διηγήσασθαι, ὁ δὲ προσέθηκε κατὰ μέν τινα τῶν ἀντιγράφων· ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ, κατὰ δὲ ἄλλα· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ ἀναγκαῖον μὴ ἀνεξέταστον ἐᾶσαι τὸ βούλημα τοῦ εὐαγγελιστοῦ. διάπεερ ἐπιστήσαντες τοῖς πρὸ τοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἤ ὥς ρᾳ,

σκοπήσωμεν εἰ οἷόν τέ ἐστιν ἀπ’ ἐκείνων ὁδὸν λαβεῖν πρὸς τὸ θεωρῆσαι ὡς ἀναγκίαν τῆν ἐν ἐκείηῃ τῇ ἡμέρᾳ ἢ ὥρᾳ προσθήκην. ἐληλύθεισαν τοίνυν εἰς τὴν »Καφαρναοὺμ« ὁ Ἰησοῦς ἅμα τοῖς μαθηταῖς ἔνθα »οἱ τὰ δίραχμα λαμβάνοντες τῷ Πέτρῳ προσῃλθον καῖ« ἐρωτῶντες »εἶπον« τὸ »ὁ διδάσκαλος ὑμμῶν οὐ τελεῖ τὰ δίδρακμα; «εῖτα ἀποκριναμένου πρὸς αὐτοὺς τοῦ Πέτρου καὶ εἰπόντος »ναί«, ὁ »Ἰησοῦς« προαπολογησάμενος περὶ τῆς δόσες τῶν διδράχμων πέμπει τὸν Πέτρον τῷ ἀγκίστρῳ ἀνασπάσοντα »ἰχθύν«, οὗ ἐν τῷ στόματι ἔφασκεν εὑρεθήσεσθαι »στατῆρ« τὸν δοθησόμενον ὑπὲρ ἑαυτοῦ καὶ Πέτρου. δοκεῖ οἶν μοι ὅτι μεγίστην νομίσαντες ταύτην εἶναι ὑπὸ τοῦ Ἰησοῦ πρὸς τὸν Πέτρον τιμὴν *(**καρίναντος αὐτὸν μείξον τῶν λοιπῶν γνωρρίμων) ἐβούλοντο, ὅπερ ὑπενόουν, ἀκριβῶσαι διὰ τοῦ πυθόμενοι τοῦ Ἰησοῦ ἀκοῦσαι παρ’ αὐτοῦ εἰ (ὡς ὑπελάμβανον) μείξονα κέκρικε τὸν Πέτρον αὐτῶν. ἅμα δὲ ἤλπιζον καὶ τὴν αἰτίαν εἴσεσθαι τοῦ προκεκρίσθαι τὸν Πέτρον τῶν λοιπῶν μαθητῶν. ταῦτ’ οὖν (οἶμαι) δηλῶσαι ὁ Ματθαῖος βουλόμενος ἐπήγαγε τῷ »ἐκεῖνον καβῶν (δηλον´τι τὸν »στατῆρα«) δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ« τὸ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ <ἤ ὥρᾳ> προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· τίς ἄρα μείξων ἐστὶν; τάχα δὲ βασιλείᾳ τῶν οὐρανῶν; τάχα δὲ καὶ ἀμφέβαλλον δια τὸ τρεῖς προκεκρίσθαι κατὰ τὴν μεταμόρφωσιν, ἀμφέβαλλον δὲ περὶ τοῦ τίς τῶν τριῶν μείξων εἶναι κέκριται παρὰ τῷ κυρίῳ. ὁ μὲν γὰρ Ἰωάννης ἀνέπεσεν »ἐπὶ τὸ στῆθος« αὐτοῦ δι’ ἀγάπην, καὶ ἀκόλουθον πρὸ τοῦ δείπνου τιμῆς ἐξαιρέτου σύμβολα πολλὰ αὐτοὺς ἐωρακέναι πρὸς τὸν Ἰωάννην ἀπὸ τοῦ Ἰησοῦ. ὁ δὲ Πέτρος ἐν τῇ ὁμολογίᾳ ἤκουσε μακάριος διὰ τὸ »σῦ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος«· πάλιν δὲ διὰ τὸ »ὕπαγε ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων« περιεσπῶντο μήποτε οὐχ οὗτος εἴη ὁ μείζων, ἄτερος δὲ τῶν Ζεβεδαίου υἱῶν. τοσαῦτα μὲν διὰ τὸ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἢ ὥρᾳ, ἐν ᾗ γεγόνει τὰ περὶ τὸν »στατῆρα«.

Ἐξῆς δὲ κατανοητέον τὸ προσῆλθον αὐτῷ οἱ μαθηταί, ὡς μαθηταὶ διδασκάλῳ προβλήματα προτείνοντες καὶ ἐξετάζοντες, τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ μιμητέον γε ἐν τούτοις τοὺς τοῦ Ἰησοῦ μαθητάς· εἴ ποτε ζητούμενόν τι ἐν ἡμῖν μὴ εὑρίσκοιτο, μετὰ πάσης ὁμονοίας περὶ τοῦ ζητουμένου προσέλωμεν τῷ Ἰησοῦ, παρόντι ὅπου »δύο ἢ τρεῖς συνηγμένοι« ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ ἑτοίμῳ ἐν τῇ κατὰ δύναμιν παρουσίᾳ φωτίζειν τὰς καρδίας τῶν γνησίως αὐτῷ μαθη-

τεύεσθαι θελόντων πρὸς κατάληψιν τῶν ζητουμένων. οὐκ ἄτοπον δὲ καί τινι τῶν ὑπὸ τοῦ θεοῦ τεταγμένων ἐν τῇ ἐκκλησίᾳ διδασκάλων προσελθόντας ἡμᾶς προτείνειν ἀνάλογόν τι πρόβλημα τῷ τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. τί μὲν οὖν ἤδη ἔγνωστο τοῖς μαθηταῖς τῶν κατὰ τὸ πύσμα τοῦτο; τί ἰσότησς τῶν ἀζιουμένων τῆς βασιλείας τῶν οὐρανῶν, κατειλήφεισαν, καὶ ὅτι (μὴ οὔσης ἴσότητος) ἔστι τις ὁ μείζων καὶ οὕτω καθεξῆς μέχρι τοῦ ἐλαχίστου. ὑποδαπὸς δὲ ὁ μείζων, καὶ ὅπως βιώσας ὁ ἐλάχιστος καὶ τίνες οἱ μεταξύ, ἔτι ἐξήτουν. εἰ μὴ ἄρα ἀκριβέστερον ἔστιν εἰπεῖν ὅτι, τίς μὲν ὁ ἐλάχιστος ˛ῇδεισαν

ἐκ τοῦ »ὃς ἐὰν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν«, τίς δὲ ὁ πάντων μείζων οὐκ ἐγίνωσκον, εἰ καὶ κατελάμβανον τὸ »ὃς δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν«· μεγάλων μείζων (ὡς ἐν ἀνθρώποις) οὐκ ἦν αὐτοῖς σαφές. καὶ ὅτι μεγάλοι μὲν πλείους, οὐκ ἐπίσης δὲ μεγάλοι οἱ μεγάλοι, δηλώσει τὸ μέγας ὄνομα κείμενον ἐπὶ τοῦ Ἰσαάκ, »ὃς προβαίνων μείζων ἐγίνετο < ἕως οὗ μέγας ἐγένετο> σφόδρα σφόδρα«, εἰρημένον δὲ καὶ ἐπὶ Μψσέως καὶ ἐπὶ τοῦ βαπτιστοῦ Ἰωάννου καὶ ἐπὶ τοῦ σωτῆρος. καὶ πᾶε γε ὁμολογήσει ὅτι <εἰ> καὶ πάντες οὗτοι μεγάλοι ἦσαν κατὰ τὴν γραφήν, ἀλλὰ μείζων αὐτῶν ἦν σωτήρ. εἰ δὲ καθεξῆςι Ἰωάννης τοῦ Ἰσαὰκ καὶ τοῦ Μωσέως μείζων ἦν, οὗ »μείζων οὐδεὶς ἐν γεννητοῖς γυναικῶν« ἦν, ἢ οὐ μείζων μὲν ἴσος δὲ ἀμφοτέροις ἤ τινι αὐτῶν, οὐκ ἀκίνδυνον ἀποφήνασθαι. καὶ ἰκ τοῦ Ἰσαὰκ δὲ »προβαίνων μείζων ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο«, οὐχ ἁπλῶς ἀλλὰ μετὰ προσθήκης τῆς »σφόδρα« δὶς κατειλεγμένης, ἔστι μαθεῖν ὅτι διαφορά ἐστι μεγάλων, τινὸς μὲν ὄντος μεγάλου, ἑτέρου δὲ σφόδρα μεγάλου καὶ ἄλλου σφόδρα σφόδρα μεγάλου. ἐζήτουν τοίνυν οἱ μαθηταὶ προσελθόντες τῷ Ἰησοῦ μαθεῖν, τίς ἄρα μείζων ἐστὶν ἐκ τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ τάχα ἐκεῖνοι μὲν ἐβούλοντο μαθεῖν ἀκούσαντες ἀπ᾽ αὐτοῦ τὺ τοιοῦτον· ὁ δεῖνα μ είζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὁ δὲ ἐπὶ τὸ καθολικώτερον ἀνάγει τὸν λόγον, δεικνὺς ὀποδαπὸς τῇ ποιίτητιμείζων οὐρανῶν, ὅντινα κατὰ τὰ δύναμιν ἐκ τῶν γεγραμμένων κατανοήσωμεν. <16.> Προσκαλεσάμενος γὰρ ὁ Ἰησοῦς παιδίου καὶ τὰ ἑξῆς.

Ἔστι δὲ πρότερον ἁπλῶςφ διηγήσασθαι. εἴποι δ᾽ ἂν ὁ κατὰ τὸ ἁπλοῦν διηγούμενος τὸν τοῦ σωτῆρος ἐν τούτοις λόγον. ὅτι, ἐὰν ἀνήρ τις ὢν ἐπὶ τοσοῦτον γεκρώσῃ τὰς ἀνδρικὰς επιθυμίας, »πνεύματι τὰς πράξεις τοῦ σώματος« θανατῶν καὶ »πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι« περιφέρων, ὥστε παιδίου ἀγεύστου ἀφροδισίων καὶ ἀνεννοήτου ἀνδρικῶν κι

νημάτων ἔχειν κατάστασιν, ὁ τοιοῦτος ἐστράφη καὶ γέγονεν ὡς τὰ παιδία. καὶ ὅσον γε προσέθηκε τῇ τῶν παιδίων περὶ τῶν τοιούτων κινημάτων καταστάσει, τοσούτῳ μᾶλλον <ἄλλων> τῶν ἀσκούντων καὶ ἐπὶ ἐπὶ τοσοῦτον <οὐκ> ἐλησακότων σωφροσύηνς [τὸ] μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ὅπερ δὲ ἐπὶ τῶν κατὰ τὰ ἀφροδίσια λέγεκται περὶ τῶν παιδίων, τοῦτ᾽ ἂν λεχθείη καὶ περὶ τῶν λοιπῶν παθῶν καὶ ἀρρωστημάτων καὶ νοσημάτων τῆς ψυχῆς, εἰς ἃ μὴ πέφυκε τπαιδία ἐμπίπτειν, ὅσα τὸν λόγον μηδέπω συμπεπλήρωκεν· οἷον ἵνα στραφῇ τις καὶ ὁποῖόν ἐστι τὸ βραχὺ παιδίου πρὸς ἀργὴν τοιοῦτος γένηται ὢν ἀνήρ, καὶ ἀποῖόν ἐστι τὸ παιδίον πρὸς λύπην (ἔνθ᾽ ὅτε παρὰ τὸν καιρὸν τοῦ τεθνηκότος πατρὸς ἢ μητρὸς ἤ τινος φίλου, ὡς γελᾶν καὶ παίζειν κατ᾽ ἐκεῖνον τὸν χρόνον), τοιοῦτος ἂν γένοιτο ὁ στραφεὶς ὡς παιδία καὶ ἕξιν ἀναλαβὼν ἐκ λόγου τῆς λύπης ἀπαράδεκτον,ὥστε ὁπῖόν ἐστι πρὸς λύπην τὸ βραχὺ παιδίον αὐτὸν γενέσθαι. τὸ δ᾽ ὄνμοιον φήσεις περὶ τῆς καλουμένης ἡδονῆς, καθ᾽ ἣν ἀλόγως ἐπαίρονται οἱ φαῦλοι, ἣν οὐ πάσχει τὰ παιδία οὐδ᾽ οἱ στραφέντες καὶ γενόμενοι ὡς τὰ παιδία.

Ὡς μὲν οὖν πρὸς τὸ ἀκριβές, ἀποδέδεικται καὶ ἄλλοις ὅτι οὐδὲν τῶν παθῶν πίπτει εἰς τὰ μηδέπω συμπεπληρωκότα τὸν λόγον παιδία εἰ δ’ οὐδέν, δηλονότι οὐδὲ φόβος, ἀλλ’ εἰ ἄρα ἀνάλογόν τι τοῖς <ἄλλοις> πάθεσι, καὶ ταῦτα ἀμυδρὰ καὶ τάχιστα ἀνασκευαζόμενα καὶ θεραπευόμενα γίνεται ἐν τοῖς παιδίος, ὡς ἀγαπητὸν εἶναι ἐπὶ τοῦτο φθάσαι τὸν στραφέντα ὡς τὰ παιδία ὅσον ἔχει τῆς οἱονεὶ ὑποβολῆς τῶν παθῶν ὡς τὰ παιδία. καὶ περὶ φόβου τοίνυν τὰ ὅμοια τοῖς ἀποδεδομένοις νοήσεις ὅτι τὰ παιδία τὸν μὲν φόβον τῶν φαύλων οὐ πάσχει, ἄλλο δέ τι ὃ οἱ μὴ ἀκριβοῦντες τὰ τῶν παθῶν καὶ τῶν ὀνομάτων ἐκείνων λέγουσιν εἶναι φόβον, οἷον δὴ καὶ τὸ τῶν παιδίων ἀμνησίκακον παρ’ αὐτοὺς τοὺς τῶν δακρύων καὶροὺς ἐν ἀκαρεῖ μεταβαλλομένων καὶ γελώντων καὶ συμπαιζόντων τοῖς νομιζομένοις λελυπηκέναι καὶ πεφοβηκέναι, ἀλλ’ οὐ κατὰ <τὴν> ἀλήθειαν ταῦτα ἐνηργηκόσιν.

οὕτω δὲ καὶ ταπεινώσει ἑαυτόν τις ὡς ὃ προσεκαλέσατο ὁ Ἰησοῦς παιδίον· οὐ γὰρ πίπτει ὑψηλοφροσήνη καὶ οἴησις εὐγενείας ἢ πλούτου ἤ τινος τῶν νομιζομένων μὲν οὐκ ὄντων δὲ ἀγαθῶν εἰς παιδίον. διόπερ ἔστιν ἰδεῖν τὰ κομιδῇ νήπια μέχρι τριῶν καὶ τεττάρων ἐτῶν ὅμοια τοῖς ἀγενέσι, κἂν εὐγενῆ εἶναι δοκῇ, καὶ μὴ μᾶλλον πάντως φιλεῖν δοκοῦντα τὰ πλούσια παιδία παρὰ τὰ πενιχρά. ἐὰν οὖν ὅπερ παρὰ τὴν ἡλικίαν πάσχει τὰ παιδία πρὸς τὰ τοὺς ἀνοή τους ἐπαίροντα τοιαῦτα πάθη, ἀπὸ λόγου ὁ τοῦ Ἰησοῦ μαθητὴς <ἀναλάβῃ>, ἐταπείωσεν ἑαυτὸν ὡς ὃ ἔδειξεν ὁ Ἰησοῦς παιδίον, οὐκ ἐπαιρόμενος ἐπὶ δοξαρίῳ οὐδὲ φυσιούμενος ἐπὶ πλούτῳ οὐδ’ ἐπὶ περιβλῇ οὐδὲ ὀγκούμενος ἐπὶ εὐγενείᾳ. μάλιστα δὲ τοὺς <τοιούτους>, οὓς ὁ λόγος ἀπέδειξε στραφέντας ὡς ὃ προσελάβετο ὁ Ἰησοῦς παιδίον, ἀποδεκτέον καὶ τιμητέον ἐπὶ τῷ Ἰησοῦ ὀνόματι, ἐπεὶ μάλιστα ἐν τούτοις ἐστὶν ὁ Χριστός. καὶ διὰ τοῦτο λέγει τὸ καὶ ὃς ἂν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται.

Τὸ δὲ ἑξῆς ἐργῶδες κατὰ ἀκολουθίαν τῶν προαποδεδομένων διηγήσασθαι. εἴποι γὰρ ἄν τις, πῶς ὁ στραφεὶς καὶ γενόμενος ὡς τὰ παιδία μικρός ἐστι τῶν πιστευότων εἰς τὸν Ἰησοῦν καὶ ἐπιδεκτικὸς τοῦ σκανδαλισθῆναι; πειρασώμεθα δὲ καὶ τοῦτο ἀκολούθως σαφηνίσαι. πᾶς ὁ τῷ Ἰησοῦ ὡς υἱῷ συγκαταθέμενος θεοῦ κατὰ τὴν ἀληθῆς περὶ αὐτοῦ ἱστορίαν καὶ ὁδεύων διὰ τῶν κατὰ τὸ εὐαγγέλιον πράξεων εἰς τὸ βιῶσαι κατ’ ἀρετήν ἐστράφη καὶ ὁδεύει πρὸς τὸ γενέσθαι ὡς τὰ παιδία, τοῦτον ἀμήχανον μὴ εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. <ὁ δὲ μὴ στραφεὶς πρὸς τὸ γενέσθαι ὡς τὰ παιδία τοῦτον ἀμήχανον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν

οὐρανῶν.> πολλοὶ οὖν οἱ τοιοῦτοι, ἀλλ’ οὐ πάντες οἱ στραφέντες πρὸς τὸ γενέσθαι ὡς τὰ παιδία, ἐφθάκασιν ὡς ἐπὶ τὸ ἐξομοιωθῆναι τοῖς παιδίοις· ἀλλ’ ἕκαστος τοσοῦτον ἀπολείπεται τῆς πρὸς τὰ παιδία ὁμιώσεως, ὅσον ἀπολείπεται τῆς ἀποδεδομένης τῶν παιδίων πρὸς τὰ πάθη ἕξεως. ἐν παντὶ οὖν τῷ πλήθει τῶν πιστευόντων εἰσὶ καὶ οἱ ὡσπερεὶ ἄρτι στραφέντες περὶ τὸ γενέσθαι ὡς τὰ παιδία, οἵτινες κατ’ αὐτὸ τὸ ἐστράφθαι ἵνα γένωνται ὡς τὰ παιδία μικροὶ χρηματίζουσι, καὶ τούτων οἱ στραφέντες μὲν ἵνα γένωνται ὡς τὰ παιδία, πολὺ δὲ

ἀπολειπόμενοι τοῦ γενέσθαι ἀκριβῶς ὡς τὰ παιδία, <μικροί εἰσι καὶ> ἐπιδέχονται τὸ σκανδαλισθῆναι· ὧν ἕκαστος τοσοῦτον ἀπολείπεται τῆς πρὸς αὐτὰ ὁμοιώσεως, ὅσον ἀπολείπεται τῆς ἀποδεδομένης τῶν παιδίων πρὸς τὰ πάθη ἕξεως. οἷς οὐ δέον ἀφορμὰς παρέχειν τοῦ σκανδαλισθῆναι· εἰ δὲ μή γε, ὁ σκανσαλίσας δεήσεται ὡς συμφέροντος αὐτῷ ἐπὶ θεραπείᾳ <ὁμαρτίας> τοῦ κρεμασθῆναι μύλον ὀνικὸν περὶ τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῆναι ἐν τῷ πελάγει τῆς θαλάσσης. οὕτω γὰρ τίσας τὴν αὐτάρκη δίκην ἐν τῇ θαλάσσῃ (ὅπου ὁ »δράκων« ὅ »ἔπλασεν ὁ θεὸς ἐμπαίζεις αὐτῷ«) καὶ οὕτω τὸ συμφέρον πρὸς τὸ τέλος ὁ κολασθεὶς παθών, ἐν τοῖς ἐξῆς <ἔξω> ἔσται τῶν κατὰ τὸ πέλαγος τῆς θαλάσσης πόνων, οὓς ὑπέμεινε καθελκόμενος ὑπὸ τοῦ ὀνικοῦ μύλου. εἰσὶ γὰρ καὶ μύλων διαφοραὶ ὡς εἶναι τὸν μέν τινα αὐτῶν (ἵν' οὕτως ὀνομάσω) ἀνθρωπικόν, ἄλλον δὲ ὀνικόν· καὶ ἀνθρωπικὸς μέν ἐστιν ἐκεῖνος, περὶ οὗ γέγραπται· »δύο« ἔσονται »ἀλήθουσαι ἐν« ἑνὶ »μύλῳ, μία παραλαμβάνεται καὶ μία ἀφίεται«, ὀνικὸς δὲ ὁ περιτεθηςόμενος τῷ σκανδαλίσαντι. εἴποι δ' ἂν τις, οὐκ οἶδα πότερον ὑγιῶς ἢ ἐσφαλμένως λέγων, ὀνικὸν εἶναι τὸ βαρὺ τοῦ φαύλου σῶμα καὶ κατωφερές , ὅπερ ἀναλήψεται ἐν τῇ ἀναστάσει <πᾶς ἁμαρτωλός>, ἵνα καταποντισθῇ ἐν τῇ ἀβύσσῳ λεγομένῃ πελάγει θαλασσίῳ, ὅπου ὁ »δράκων« ὃν »ἔπλασεν ὁ θεὸς ἐμπαίζειν αὐτῷ«. ἄλλος δὲ τὸ σκανδαλίζειν ἕνα τῶν μικρῶν ἀνοίσει ἐπὶ τὰς ἀοράτους ἀνθρώποις δυνάμεις· πολλὰ γὰρ καὶ ἀπὸ τούτων σκάνδαλα εἰς τοὺς δεικνυμένους ὑπὸ τοῦ Ἰησοῦ μικροὺς γίνεται. ἐπὰν δὲ σκανδαλίσωσιν τῶν δεικνυμένων ὑπὸ τοῦ Ἰησοῦ μικρῶν ἕνα πιστευόντων εἰς αὐτόν, ὀνικὸν μύλον τὸ φθαρτὸν σῶμα τὸ βαρῦνον ψυχὴν ἀναλήψεται, κρεμάμενον ἐκ τοῦ καθελκομένου αὐτὸν ἐπὶ τὰ τῇδε πράγματα τραχήλου, ἵνα διὰ τούτων 15 καθαιρεθῇ αὐτῶν τὸ οἴημα καὶ τίσαντες δίκην ἐν τῷ συμφέροντι αὐτοῖς διὰ τοῦ ὀνικοῦ μύλου γένωνται.

Καὶ ἄλλη δὲ διήγησις παρὰ τὴν ἁπλούστερον λεγομένην λελέχθω, εἴτε ὡς δόγμα<τος> εἴτε ὡς γυμναςίου ἕνεκεν. καὶ ζητήσωμεν ποῖον προσκαλεςάμενος παιδίον ὁ Ἰησοῦς ἔστησεν ἐν μέσῳ τῶν μαθητῶν. ὅρα δὲ εἰ δύνασαι τὸ ταπεινῶσαν ἑαυτὸ πνεῦμα ἅγιον, ὑπὸ τοῦ σωτῆρος προσκληθὲν καὶ σταθὲν ἐν μέσῳ τῷ ἡγεμονικῷ τῶν μαθητῶν Ἰησοῦ, εἰπεῖν εἶναι ὅ προσεκαλέσατο ὁ Ἰησοῦς παιδίον, εἴτε βούλεται ἡμᾶς πάντα τὰ ἄλλα ἀποστραφέντας στραφῆναι πρὸς τὰ παραδείγματα ὑπὸ τοῦ ἁγίου ὑποβαλ-

λόμενα πνεύματος,ὥστε ἡμᾶς οὕτω γενέσθαι ὡς τὰ παιδία <τουτέστι τοὺς ἀποστόλους>, τὰ καὶ αὐτὰ στραφέντα καὶ ὁμοιωθεντα τῷ ἁγίῳ πνεύματι· ἅτινα παιδία ἔδωκεν ὁ θεὸς τῷ σωτῆρι κατὰ τὸ ἐν Ἡσαΐᾳ λελεγμένον· »ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοιἔδωκεν ὁ θεός«. καὶ οὐκ ἔστι γε εἰσελθεῖν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν μὴ στραφέντα ἀπὸ τῶν κοσμικῶν πραγμάτων καὶ ἐξομοιωθέντα τοῖς τὸ πνεῦμα τὸ ἅγιον πεφορηκόσι παιδίοις· ὅπερ πνεῦμα ἅγιον προσκαλεσύμενος ὁ Ἰησοῦς, ἀπὸ τῆς ἰδίας τελειότητος καταβεβηκὸς πρὸς ἀνθρώπους, ὡςπαιδίον ἔστησεν αὐτὸ ἐν μέσῳτῶν μαθητῶν. δεῖ οὖν στραφέντα ἀπὸ τῶν κοσμικῶν ἐπιθυμιῶν ταπεινῶσαι ἑαυτόν, οὐχ ἁπλῶς ὡς τὸ παιδίον, ἀλλὰ κατὰ τὸ γεγραμμένον ὡς τὸ παιδίον τοῦτο. ἔστι δὲ τὸ ταπεινῶσαι ἑαυτὸν

ὡς τὸ παιδίον ἐκεῖνο <τὸ ταπεινῶσαι ἑαυτὸν ὑπὲρ θεοῦ καὶ> τὸ μιμήσασθαι τὸ ὑπὲρ σωτηρίας ἀνθρώπων ταπεινῶσαν ἑαυτὸ πνεῦμα ἅγιον. ὅτι δὲ ὁ σωτὴρ καὶ τὸ ἅγιον πνεῦμα ἐξαπεστάλη ὑπὸ τοῦ πατρὸς ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων, δεδήλωται ἐν τῷ Ἡσαΐᾳ ἐκ προσώπου τοῦ σωτῆρος λέγοντι· »καὶ νῦν κύριος ἀπέστειλέ μεκαὶ τὸ πνεῦμα αὐτοῦ«. ἰστέον μέντοι ὅτι ἀμφίβολός ἐστιν ἡ λέξις· ἢ γὰρ ὁ θεὸς ἀπέστειλεν, ἀπέστειλε δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον τὸν σωτῆρα, ἢ (ὡς ἐξειλήφαμιεν) ἀμφότερα ἀπέστειλεν ὁ πατήρ, τὸν σωτῆρα καὶ τὸ ἅγιον πνεῦμα. μείζων οὖν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὁ ταπεινώσας ἑαυτὸν παρὰ πάντας τοὺς ταπεινοῦντας ἑαυτοὺς μιμητικῶς ἐκείνου τοῦ παιδίου. πολλοὶ μὲν γὰρ οἱ θέλοντες ἑαυτοὺς ταπεινῶσαι ὡς τὸ παιδίον ἐκεῖνο, ὁ δὲ πάντη παραπλήσιος γενόμενος τῷ ταπεινώσαντι ἑαυτὸν παιδιῳ, ἐκεῖνος ἂν εὑρεθείη ὁ χρηματίαων πάντων μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. <δεῖ οὖν δέχεσθαι ἕν παιδίον τοιοῦτο> ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, μάλιστα ἐν αὐτῷ ὄντος τοῦ Ἰησοῦ. ὥσπερ δὲ τὸν Ἰησοῦν δέχεται, ὅς ἐὰν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματι αὐτοῦ, οὕτως τὸν Ἰησοῦν ἀποδοκιμάζει καὶ ἐκβάλλει ὁ μὴ βουλόμενος δέξασθαι ἕν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. εἰ δὲ καὶ τῶν τοῦ ἁγίου πνεύματος ἀξιουμένων ἐστὶ διαφορά, πλεῖον ἢ ἔλαττον λαμβανόντων τοῦ ἁγίου πνεύματος τῶν πιστευόντων, εἶεν ἄν τινες οἱ μικροὶ τῶν εἰς θεὸν πιστεύοντων σκανδαλίζεσθαι δυνάμενοι, οὓς ἐκδικῶν σκανδαλισθέντας ὁ λόγος φησὶ περὶ τῶν σκανδαλισάντων αὐτοὺς τὸ συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. ταῦτα λελέχθω κατὰ τὰ ἐκκείμενα τοῦ Ματθαίου ῥητά.

Ἴδωμεν δὲ καὶ τὰ παραπλήσια ἀπὸ τὰ παραπλήσια ἀπὸ τῶν λοιπῶν. Μᾶρκος τοίνυν φησὶν ὅτι »διελέχθησαν ἐν τῇ ὁδῷ« οἱ δώδεκα, »τίς« αὐτῶν »μείζων« ἐστί· διὸ καὶ »καθίσας ἐφώνησεν« αὐτοὺς καὶ διδάσκει τίς ὁ μείζων, λέγων πρωτείων ὡς μείζονα τεύξεσθαι τὸν γενόμενον »πάντων« διὰ τῆς μετριότητος καὶ τῆς ἐπιεικείας ἔσχατον, ὥστε τὸν μὲν τοῦ διακονουμένου μὴ ἀναδέξασθαι τόπον τὸν δὲ τοῦ διακονοῦντος, καὶ τοῦτον οὐ πρὸς τινὰς μὲν τινὰς δ᾽ οὔ, ἀλλὰ πρὸς πάντας ἁπαξαπλῶς. πρόσχες γὰρ τῷ »εἴ τις θέλει πρῶτος γενέσθαι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος«. καὶ ἑξῆς τούτοις φησὶν ὅτι »λαβὼν παιδίον (δηλονότι ὁ Ἰησοῦς) ἔστησεν ἐν μέσῳ« τῶν μαθητῶν αὐτοῦ, »καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς· ὅς ἐὰν ἕν τῶν παιδίων τοιούτων δέξηται ἐπὶ τῷ ἐμῷ ὀνόματι,

ἐμὲ δέχεται«. ποῖον δὲ ἄλαβε παιδίον καὶ ἐνηγκαλίσατο ὁ Ἰησοῦς κατὰ τὸν βαθύτερον ἐν τοῖς τόποις λόγον ἢ τὸ ἅγιον πνεῦμα; καὶ τούτῳ γε τῷ παιδίῳ ἐξωμοιώθησάν τινες, περὶ ὧν εἶπε τὸ »ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται«. κατὰ μέντοι τὸν Λουκᾶν »διαλογισμὸς« εἰς τοὺς μαθητὰς οὐκ ἀναβέβηκεν ἀλλ᾽ »εἰσῆλθε« περὶ τοῦ »τίς αὐτῶν εἴη μείζων«. καὶ »ἰδὼν ὁ Ἰησοῦς τὸν διαλογισμὸν τῆς καρίας αὐτῶν« (ἅτε ἔχων ὀφθαλμοὺς διαλογισμοὺς καρδιῶν βλέποντας »ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν« οὐδὲ ἐρωτηθεὶς) κατὰ τὸν Λουκᾶν ἔλαβεν παιδίον καὶ »ἔστησεν«, οὐ μόνον ἐν

μέσῳ αὐτῶν, ὡς ὁ Ματθαῖος καὶ ὁ Μᾶρκος εἰρήκασιν, ἀλλ᾽ ἤδη καὶ »παρ᾽ ἑαυτῷ καὶ εἶπε« τοῖς μαθηταῖς οὐ μόνον τὸ ὃς ἐὰν δύξηται ἓν παδίον τοιοῦτο ἢ »ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματίμου, ἐμὲ δέχται«, ἀλλ᾽ ἤδη καὶ ἐπναβεβηκότως τὸ »ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται«. χρὴ οὖν κατὰ τὸν Λουκᾶν ἀκεῖνο τὸ παιδίον, αὖ λαβόμενος ὁ Ἰησοῦς »ἔστησεν αὐτὸ παρ᾽ ἑαυτῷ«, δέξασθαι «ἐπὶ τῷ ὀνόματι« τοῦ Ἰησοῦ. Καὰ οὐκ οἶδα εἰ δύναταί τις μὴ τροπολυγῆσαι τὸ »ὅς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ἀνόματαί μου«. χρὴ γὰρ ἐκεῖνο τὸ παιδίον, ὅ τότε »ἔστησεν« ὁ Ἰησοῦς »παρ᾽ ἑαυτῷ λαβόμενος« αὐτοῦ, δέξασθαι ἕκα- στον ἡμῶν »ἐπὶ τῷ ὀνόματι« τοῦ Ἰησοῦ. ζῇ γὰρ ὡς ἀθάνατον, καὶ χρὴ αὐτὸ ἀπ᾽ αὐτοῦ τοῦ Ἰησοῦ <κατασταθὲν παρὰ τῷ Ἰησοῦ> δέξασθαι »ἐπὶ τῷ ὀνόματι« τοῦ Ἰησοῦ, οἳ μὴ χωριζό- μενος ὁ Ἰησοῦς γίωεται παρὰ τῷ δε- χομένῳ τὸ παιδίον, ὡς κατὰ τοῦτο λελέχθαι τὸ »ὅς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνό- ματί μου, ἐμὲ δέχεται«. εἶτ᾽ ἐπεὶ ἀχώρστός ἐστι τοῦ υἱοῦ ὁ πατήρ, <ὁμοῦ καὶ ὁ πατῆρ> γίνεται παρὰ τῷ δεξεμένῳ τὸν υἱόν· διὸ λέλεκται· »καὶ ὅς ἐὰν ἐμὲ δέξη- ται, δέχεται τὸν ἀποστείλαντά με«. ὁ δὲ δεξάμενος τὰ παιδίον καὶ τὸν σωτῆρα καὶ τὸν ἀποστείλαβτα αὐτόν, »μικρότερός« ἐστιν »ἐν πᾶσι« τοῖς Ἰησοῦ μαθηταῖς ἑαυτὸν σμικρύνων· ὅσον δὲ ἑαυτὸν σμικρύνει, τοσοῦτον γίνεται »μέγας« <ὑπ᾽> αὐτοῦ τοῦ ἐπιτέλλοντος σμικρύνειν αὐτὸν καὶ ποιοῦντος ἐπιδιδόναι εἰς μέγε- θος· πρόσχες γὰρ τῷ »ὁ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας«. ἀνέγνωμεν δὲ καὶ ἐν ἄλλοις »καὶ ἔσται μέγας«. κατὰ δὲ τὸν Λουκᾶν ἐὰν μή τις »δέξηται τὴν τοῦ θεοῦ βασιλείαν ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτύν«· καὶ ἔστιν ἀμφίβλος ἡ λέξις, ἤ γὰρ ἵνα ὁ δεχόμενος τὴν τοῦ θεοῦ βασι- λείαν γένηται ὡς παιδίον, ἤ ἵνα τὴν τοῦ θεοῦ βασιλείαν παραδέξη- ται γενομένην αὐτῷ ὡς παιδίον. καὶ τάχα ἐνταῦθα μὲν οἱ δεχόμενοι τὴν τοῦ θεοῦ βασιλείαν δέχονται αὐτὴν οὖσαν ὡς παιδίον, ἐν δὲ τῷ μέλλοντι αὐῶνι οὐκέτι ὡς παιδίον κατὰ τὸ μέ- γεθος τῆς τελειότητος ἐν τῇ (ἵν᾽ οὕ- τως ὀνομάσω) πνεματικῇ Ἡλικίᾳ ἐπιδεικνυμένης πᾶσι τοῖς ἐπὶ τοῦ παρόντος παραδεξαμένοις αὐτὴν οὖσαν ἐνταῦθα ὡς παιδίον.

Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων (18, 7[—14]). Καθ᾽ αὐτὴν μὲν καὶ ἀπολελυμένως εἴρηται ἡ τοῦ κόσμος φωνὴ <ἐν τῷ> »ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος αὐ- τὸν οὐκ ἔγνω«. κατὰ δὲ τὴν πρός τι σχέσιν, μετὰ τῆς πρὸς ἐκεῖνο ἐπι- πλοκῆς οὗ κόσμος ἐστίν, ὠνόμα- σται ἐν τῷ »μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ πλαβηθεὶς προσκυνήςῃς αὐ- τοῖς καὶ λατρεύςῃς αὐτοῖς«. τὸ δ᾽ ὅμοιον φήσεις ἐν τῇ Ἐσθὴρ λελέ- χθαι περὶ αὐτῆς, ὅτε γέγραπται πε- ριελομένη »πάντα τὸν κόσμον αὐτῆς«. οὐ γὰρ ταὐτόν ε᾽στιν ἁπλῶς ὁ κόσμος καὶ ὁ κόσμος τοῦ οὐρανοῦ ἤ ὁ κό-

σμος τῆς Ἐσθήρ. τὸ δὲ νῦν ἡμῖν ζητούμενον ἄλλο. νομίζω οὖν ὅτι οὐ τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημά ἐστι κατὰ τὰ θεῖα γράμματα ὁ κόσμος, ἀλλ᾽ ὁ περίγειος μόνος τόπος, καὶ οὗτος οὐ καθ᾽ὅλην νοούμενος τὴν γῆν, ἀλλ᾽ ὁ κατὰ τὴν ἡμετέραν οἰκουμένην· »ἐν τῷ κόσμῳ« γὰρ »ἦν τὸ ἀληθινὸν φῶς«, τῷ περιγείῳ τόπῳ τῷ κατὰ τὴν ἡμετέραν <οἰκουμένην> νοουμένῳ, »καὶ ὁ κόσος αὐτὸν οὐκ ἔγνω«, οἱ

ἐν τῷ περιγείῳ τόπῳ ἄνθρωποι, τάχα δὲ καὶ αἱ οἰκεῖαι τῷ χωρίῳ τού- τῳ δυνάμεις. ἄτοπον γὰρ λέγειν τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς σύστημα, ὥστ’ εἰπεῖν ἄν ὅτι ἥλοις καὶ σελήνη καὶ ὁ χορὸς τῶν ἀστέρων καὶ οἱ ἐν ὅλῳ τῷ κόσμῳ τούτῳ ἄγγελοι οὐκ ἔγνωσαν »τὸ ἀληθινὸν φῶς« καὶ ἀγνοοῦντες αὐτὸ ἐτήρησαν τὴν ἐπιτεταγμένην αὐτοῖς ἀπὸ θεοῦ τάξιν. ἀλλὰ καὶ ὅταν λέγηται ὑπὸ τοῦ σωτῆρος ἐν τῇ πρὸς τὸν πατέρα εὐχῇ· »καὶ νῦν δόξασόν με, πάτερ, παρὰ σεαυτῷ τῇ δόῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί«, χρὴ ἀκούειν κόσμον λέγεσθαι τὴν καθ’ ἡμᾶς ἐπὶ γῆς οἰκουμένην· ἀλλὰ καὶ ὁ σωτὴρ λέγων· »κἀγὼ πρὸς σὲ ἔρχομαι, καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ«, τὸν ἐπίγειον τὰ ἀντικείμενα αὐτὸν λέγειν φάσκοντα· »κἀγὼ πρὸς σὲ ἔρχομαι, καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ καὶ ἐν τῷ κόσμῳ εἰμί«. ἀλλὰ καὶ ἐν τῷ2 »καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ« τὸν περίγειον τόπον τοῦτον νομιστέον. ἀπὸ γὰρ τούτου τοῦ κόσμου ἔδωκε τῷ υἱῷ ὁ ἀνθρώπους, περὶ ὧν ὁ σωτὴρ ῥρωτᾷ τὸν πατέρα μόνων, καὶ »οὐ περὶ τοῦ κόσμου« ὅλου τῶν ἀνθρώπων. σαφῶς δὲ οὗτος σημαίνεται καὶ ἐκ τοῦ »καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου«· ἐμίσησε γὰρ ἡμᾶς (ἐξ οὗ μηκέτι σκοποῦμεν »τὰ βλεπόμενα ἀλλὰ τὰ μὴ βλεπόμενα«) διὰ τὴν Ἰησοῦ διδασκαλίαν οὐ κόσμος ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς συνεστηκὼς πᾶς, ἀλλ’ οἱ ἐπὶ γῆς μεθ’ ἡμῶν ἄνθρωποι. τὸ »οὐκ εἰσὶν ἐκ τοῦ κόσμου« ἴσον ἐστὶ τῷ οὐκ εἰσὶν ἐκ τοῦ περιγείου τόπου· οὕτω δὲ καὶ οἱ τοῦ Ἰησοῦ μαθηταὶ »ἐκ τοῦ κόσμου οὐκ εἰσὶν« ὡς οὐδ’ αὐτὸς »ἐκ τοῦ κόσμου« ἦν. ἔτι δὲ καὶ τὸ »ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας« (δὶς εἰρημένον ἐν τῷ κατὰ Ἰωάννην) οὐκ ἀναφέρεται ἐπὶ τὰ κρείττονα τῶν ἀνθρώπων, ἀλλ’ ἐπὶ τοὺς χρῄζοντας πιστεύειν ἀνθρώπους ὅτι ὁ πατὴρ τὸν υἱὸν εἰς τὸν τῇδε κόσμον ἀπέστειλε. καὶ παρὰ τῷ ἀποστόλῳ δὲ »ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ«.

Εἰ δὲ οὐαὶ τοῖς πανταχοῦ

τῆς γῆς ἀνθρώποις ἀπὸ τῶν σκανδάλων, ὧν καὶ τὰ σκάνδαλα ἅπτεται, οὐκ εἰσὶ δὲ οἱ μαθηταὶ »ἐκ τοῦ κόσμου« μὴ σκοποῦντες »τὰ βλεπόμενα« καθὼς οὐδὲ ὁ διδάσκαλος »ἐκ τοῦ κόσμου« ἐστίν, οὐδενὶ τῶν μαθητῶν τοῦ Ἰησοῦ ἐστιν ἀπὸ τῶν σκανδάλων οὐαί, ἐπείπερ »ἐστὶν εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον τοῦ θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον«. εἰ δέ τις δοκεῖ μὲν χρηματίζειν μαθητής, ἔτι δέ ἐστιν »ἐκ τοῦ κόσμου« σμου« διὰ τὸ ἀγαπᾶν »τὸν κόσμον« καὶ »τὰ ἐν αὐτῷ« (λέγω δὲ τὴν ἐν τῷ χρήματα ἢ κτήματα ἤ ὁποιανποτοῦν περιουσίαν),ὡς μὴ ἁρμόζειν αὐτῷ 20 τὸ »ἐκ τοῦ κόσμου οὐκ εἰσίν«, ἀληθῶς ὡς »ἐκ τοῦ κόσμου« ὄντι τούτῳ τὸ τῷ κόσμῳ συμβαῖνον οὐαὶ ἀπὸ τῶν σκαν δάλων συμβήσεται αὐτῷ. ὁ δὲ θέλων ἐκκλῖναι τὸ οὐαὶ τοῦτον μὴ ἔστω φιλόζωος, ἀλλὰ ἔστω φιλόζωος, ἀλλὰ λεγέτω κατὰ Παῦλον· »ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ«· οἱ γὰρ »ὄντες ἐν τῷ σκήωει« ἅγιοι στενάζουσι »βαρούμενοι« ἀπὸ τοῦ τῆς ταπεινώσεως σώματος καὶ πάντα ταπεινώσεως σώματος καὶ πάντα πράττουσιν, ἵνα ἄξιοι γένωνται εὑρεθῆναι ἐν τῷ τῆς ἀναστάσεως μυστηρίῳ, ὅτι »μετασχηματίσει« ὁ θεὸς οὐ πάντων »τὸ σῶμα τῆς ταπεινώσεως«, ἀλλὰ τῶν Χριστῷ γνησίως μαθητευομένων. εἰς τὸ γενέσθαι αὐτὸ »σύμμορφον <τῷ σώματι> τῆς δόξης«

τοῦ Χριστοῦ. ὥσπερ γὰρ οὐδὲν τῶν οὐαὶ συμβαίνει τινὶ τῶν Χριτοῦ μαθητῶν, οὕτως οὐδὲ τὸ οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων. ἐὰν γὰρ καὶ μυρία σκάνδαλα γίνηται, ἀλλ' οὐχ ἅψεται τῶν οὐκέτι »ἐκ τοῦ κόσμου«. εἰ δὲ ἐπιδέχεταί τις τὸ σκανδαλίζεσθαι παρὰ τὸ ἀνερμάτιστον τῆς πίστεως καὶ ἀβέβαιον τῆς πρὸς τὸν λόγον τοῦ θεοῦ θεοῦ συγκαταβάσεως, ἵστω μηδέπω χρηματίζων παρὰ τῷ Ἰησοῦ μαθητὴς αὐτοῦ. τοσαῦτα δὲ ἔρχεσθαι νομιστίον σκάνδαλα, ὥστε τὸ οὐαὶ μὴ ἐπί τινα μόρια τῆς γῆς φθάνειν, ἀλλ' ἐπὶ τὸν ὅλον ἐν αὐτῇ κόσμον.

Καὶ ἀνάγκη ἐστὶν ἐλθεῖν τὰ σκάνδαλα, ἅπερ ἄλλα νομίζω εἶναι τῶν ἀνθρώπων δι' ὧν ἔρχεται. τὰ οὖν ἐρχόμενα σκάνδαλα στρατιά τις ἐστὶ τοῦ διαβόλου, ἄγγελοι αὐτοῦ καὶ μοχθηρὸς χορὸς πνευμάτων ἀκαθάρτων, ἅπερ ζητοῦντα ὄργανα δι' ὧν ἐνεργήσει εὑρίσκει πολλάκις μὲν τοὺς πάντη ξένους τῆς εὐσεβείας, ἔσθ' ὅτε δὲ καὶ τῶν νομιζομένων τινὰς πιστεύειν τῷ λόγῳ τοῦ θεοῦ, οἷς χεῖρόν ἐστι τὸ οὐαὶ παρὰ τὸ οὐαὶ τῷ σκανδαλιζομένῳ, ὥσπερ καὶ »Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως« ἢπερ τοῖς τόποις ἔνθα ἐποίησε μὲν σημεῖα ὁ Ἰησοῦς καὶ τέρατα, οὐκ ἐπιστεύθη δέ. δυνηθείη δ' ἄν τις ὥσπερ πραγματείαν πακαριζομένων καὶ ἐφ' οἷς μακαρίζονται συναγωγῆς, οὕτω καὶ ἐκ τῶν γεγραμμένων οὐαὶ καὶ καὶ ἐκ τῶν γεγραμμένων οὐαὶ καὶ τῶν ἐφ' οἷς λέλεκται τὸ οὐαί. ἔτι δὲ καὶ εἰς τὸ χεῖρον εἶναι τὸ ἀπὸ τοῦ σκανδαλίζοντος οὐαὶ παρὰ τὸ τοῦ σκανδαλιζομένου

παραστήσεις τὸ »ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ« καὶ τὰ ἑξῆς· ἐκδικουμένου γὰρ τοῦ σκανδαλισθέντος μικροῦ ἀπὸ τοῦ σκανδαλίσαντος αὐτὸν τοιοῦτον συμφέρει βαρὺ καὶ δυσυπομόνητον ὃ ἀναγέγραπται εἶναι περὶ τοῦ σκανδαλίζοντος. ταῦτα δὲ εἰ ἐπιμελέστερον ἐν <ε> νοοῦ- »εἰς τοὺς ἀδελφοὺς καὶ«τύπτειν »αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν«, ἵνα μὴ »εἰς χριστὸν« ἁμαρτάνωμεν, πολλάκις ἀπολλυμένων οὐ μόνον τῇ ἡμετέρα »γνώσει« ἀλλὰ καὶ ἄλλοις τισὶ τῶν περὶ ἡμᾶς ἀδελφῶν, δι' οὓς »χριστὸς ἀπέθανεν« ἐφ' οἷς »εἰς χρστὸν« ἁμαρτάνοντε τίσομεν δίκας ἐκδικουμένης τῆς τῶν δι' ἡμᾶς ἀπολλυμένων ψυχῆς ἐξ ἡμῶν.

Μετὰ ταῦτα βασανιστέον τὸ τῆς ἀνάγκης ὄνομα ἐν τῷ ἀνάγ-

κη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα καὶ τὸ ἰσοδυναμοῦν αὐτῷ παρὰ τῷ Λουκᾷ· »ἀνένδεκτόν ἐστιν τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα« (ἀντὶ τοῦ ἀδύνατον). καὶ ὥσπερ ἀνάγκη τὸ θνητὸν ἀποθνῇσκειν καὶ ἀνένδεκτον αὐτὸ μὴ ἀποθανεὶν, καὶ ἀνάγκη τρέφεσθαι τὸν ἐν σώματι — ἀνένδεκτον γὰρ τὸν μὴ τρεφόμενον ζῆν —, οὕτως ἀνάγκη <ἐλθεῖν τὰ σκάνδαλα> καὶ ωἀνένδεκτον μὴ ἐλθεῖν τὰ σκάνδαλα«, ἐπεὶ ἀνάγκη καὶ προϋφστάναι τὴν κακίαν τῆς ἀρετῆς ἐν οὐρανίοις, ἀφ' ἧς κακίας τὰ σκάνδαλα. ἀνένδεκτονν γὰρ ἐστιν ἄνθρτωπον εὑρεθῆναι πάντη ἀναμάρτητον καὶ χωρὶς ἁμαρτίας ἀνειληφότα τὴν ἀρετήν. ἡ γὰρ ἐν ταῖς πονηραῖς δυνάμεσι κακία, ἀρχηγικὴ τυγχάνουσα τῆς ἐν ἀνθρώποις κακίας, πάντως ὁρμᾷ ἐπὶ τὸ διά τινων ὀργάνων ἐνεργῆσαι κατὰ τῶν τοῦ κόσμου ἀνθρώπων. τάχα δὲ καὶ πλεῖον αἱ πονηραὶ δυνάμεις ἐξαγριοῦνται ἐκβαλλόμεναι τῷ λόγῳ τοῦ Ἰησοῦ καὶ <οἱ δαίμονες τρεφθέντες τῷ αἵματι τῶν θυσιῶν ἐξοργίζονται< μειουμένης τῆς

λατρείας αὐτῶν τῶν ἐθίμων θυσιῶν αὐτοῖς οὐ προσφερομένων, καὶ ἀνάγκη ἐστὶ ταῦτα ἐλθεῖν, οὐκ ἀνάγμη δὲ διὰ τοῦδέ τινος. διόπερ ὡς τόπον δεδωκότι τῇ πονηρᾷ ἐνεργείᾳ σκανδαλίζειν προαιρουμένῃ τῷ ἀνθρώπῳ δι’ οὗ τὸ σκάνδαλον ἔρχεται, γίνεται τὸ οὐαί. μὴ νομίσῃς δὲ φύσει τινὰ καὶ ἐκ κατασκευῆς τὰ σκάνδαλα εἶναι ἀνθρώπους ζητοῦντα δι’ ὧν ἔλθῃ· ὡς γὰρ »ὁ θεὸς θάνατον οὐλ ἐποίησεν«, οὕτως οὐδὲ σκάνδαλα ἔκτισεν, ἀλλὰ τὸ αὐτεξούσιον ἐγέννησεν ἔν τισι τὸ σκάνδαλον, μὴ βουληθεῖσιν ἀνατλῆναι τοὺς ὑπὲρ ἀρετῆς πόνους.

Καὶ καλὸν μὲν οὖν εἰ ἐπαινετὸς εἴη ὁ ὀφ θαλμὸς καὶ ἡ χείρ, ἵνα μὴ δύνηται εὐλόγως »εἰπεῖν ὁ ὀφθαλμὸς τῇ χειρί· χρείαν σου οὐκ ἔχω«. εἰ δέ τις ἐν τῷ ὅλῳ σώματι τῶν συναγωγῶν τῆς ἐκκλησίας χεὶρ χρηματίσας διά τι πρακτικόν, μεταβαλὼν γένοιτο σκανδαλίζουσα χείρ, λεγέτω τῇ τοιαύτῃ χειρὶ ὁ ὀφθαλμός· »χρείαν σου οὐκ ἔχω«, καὶ εἰπὼν ἐκκοψάτω αὐτὴν καὶ βαλέτω ἀφ’ ἑαυτοῦ. οὕτω δὲ καλὸν μέν, εἰ καὶ κεφαλήτις εἴη μακαρία καὶ πόδες ἄξιοι τῆς μακαρίας κεφαλῆς, ἵνα μὴ δύνηται τὰ πρέποντα ἑαυτῇ τηροῦσα »ἡ κεφαλὴ τοῖς ποσὶν« εἰπεῖν· »χρείαν ὑμῶν οὐκ ἔχω«. εἰ μέντοι τις εὑρεθείη ποὺς σκάνδαλον τοῦ ὅλου γινόμενος σώματος, λεγέτω ἡ κεφαλὴ τῷ τοιούτῳ ποδί· »χρείαν σου οὐκ

ἔχω((, καὶ ἐκκόψας αὐτὸν βαλέτω ἀπ’ αὐτοῦ. καὶ γὰρ πολλῷ βέλτιον εἰσελθεῖν εἰς τὴν ζωὴν τὸ λοιπὸν σῶμα (λεῖπον τῷ σκανδαλίσαντι ποδὶ ἢ τῇ σκανδαλισάσῃ χειρί), ἤπερ διασοθέν- τος τοῦ σκανδάλοθἐπὶ<ὅλον τὸ σῶμα> ὅλον τὸ σῶμα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρὸς μετὰ τῶν δύο ποδῶν ἢ τῶν δύο χειρῶν. οὕτω δὲ καλὸν μὲν τὸν δυνηθέντα γε- νέσθαι ὀφθαλμὸν τοῦ ὅλου σώματος ἄξιον εἶναι <τῆς κεφαλῆς> Χριστοῦ καὶ τοῦ ὅλου σώματος. εἰ μέντοι μεταβάλοι ποτὲ ὁ τοιοῦτος ὀφθαλ- μὸς εἰς τὸ γενέσθαι αὐτὸν σκάνδαλον τοῦ ὅλου σώματος, καλὸν αὐτὸν ἐξε- λόντα ἔξω βαλεῖν τοῦ σώματος ὅλου καὶ χωρὶς ἐκείνου τοὺ ὀφθαλμοῦ σωθῆναι τὸ λοιπὸν σῶμα, ἢ (μετ’ αὐτοῦ ὅλου βεβλαμμένου τοῦ σώματος) βληθῆναι ὅλον βεβλαμμένον τὸ σῶμα εἰς τὴν γέενναν τοῦ πυρός.

Δυνατὸν δὲ τοῖς ῥητοῖς τού- τοις χρήσασθαι καὶ ἐπὶ τῶν οἰκειοτά- των καὶ ὡσπερεὶ μελῶν ἡμῶν, διὰ τὴν πολλὴν οἰκειότητα εἴτε συγγενικὴν εἴτε ἔκ τινος συνηθείας (ἵν’ οὕτως ὀνομάσω) ξιλικῆς μελῶν ἡμῶν νενο- μισμένων, ὧν οὐ χρὴ φείσασθαι τὴν ψυχὴν ἡμῶν βλαπτόντων. ἐκκόψω- μεν γὰρ ἀφ’ ἑαυτῶν, ὡς χεῖρα ἢ πόδα ἢ ὀφθαλμόν, πατέρα ἢ μητέρα τὰ ἐναντία τῇ θεοσεβείᾳ ἡμᾶς πρὰττειν θέλοντας καὶ υἱὸν ἢ θυγα- τέρα (τὸ ὅσον ἐφ’ ἑαυτοῖς) ἀφιστάν- τας ἡμᾶς τῆς ἐκκλησίας τοῦ ἀφιστάν- στοῦ καὶ τῆς ἀγάπης αὐτοῦ. ἀλλὰ κἂν))γυνὴ ἡ ἐν κόλπῳ ἢ φίλος ὁ ἴσος τῆς ψυχῆς((σκόνδαλα ἡμῶν γίνων- ται, μὴ φεισώμεθα, ἀλλὰ ἐκκόψαντες αὐτοὺς ἀφ’ ἑαυτῶν βάλωμεν ἔξω τῆς ψυχῆς ἡμῶν ὡς οὐκ οἰκείους, ἀλλὰ πολεμίους

ἡμῶν τῇ σωτηρίᾳ. ὅστις γὰρ »οὐ μι- σεῖ τὸν πατέρα καὶ τὴν μητέρα« καὶ τὰ ἐπιφερόμενα, ὅτε καιρός ἐστιν αὐτὰ μισεῖν ὡς πολέμια καὶ ἐπίβουλα, ἵνα δυνηθῇ κερδῆσαι Χρι- στόν, οὗτος οὐκ ἔστιν ἄφιος τοῦ υἱοῦ τοῦ θεοῦ. καὶ ἐπὶ τούτων γε ἔστιν εἰπεῖν ὅτι ἐκ περιστάσεως οἱονεὶ χωλός τις σώζεται ἀπολέσας πόδα (φέρε εἰπεῖν τὸν ἀδελφὸν) καὶ μόνος κληρονομῶν τὴν βασιλείαν τοῦ θεοῦ, καὶ

κυλλός <τις> σώζεται (μὴ σωζο- μένου αὐτῷ τοῦ πατρὸς <ἢ τῆς μη- τρός> ἀλλ’ ἐκείνων μὲν ἀπολλυμένων αὐτοςῦ δὲ χωριζομένου ἐκείνων), ἵνα μόνος τύχῃ τῶν μακαρισμῶν. οὕτω δὲ καὶ μονόμματός τις σώζεται (τὸν ὀφθαλμὸν τῆς ἑαυτοῦ οἰκίας εκκόψας, τὴν γαμετὴν πορνεύσασαν), ἵνα μὴ <μετὰ τοιούτου ὀφθαλμοῦ> δύο ὀξθαλμοὺς ἔχων ἀπέλθῃ εἰς τὴν γέενναν τοῦ πυρός. δύναται γὰρ καὶ τὸ ἁμαρτητικῶς μὲν (ἵν’ οὕτως ὀνομλάσω) <πρακτικὸν καὶ> πορευτικὸν τῆς ψυχῆς, ἁμαρτητικῶς δὲ διορατικὸν ἡ σκανδαλίζουσα εἶναι χεὲρ καὶ ὁ σκανδαλίζων ποὺς καὶ ὁ σκανδαλίζων ὀφθαλμός· ἅτινα κρεῖττον ἀποβαλεῖν <κακὰ ὄντα> καὶ ἀποθέμενον αὐτὰ χωρὶς αὐτῶν εἰ- σελθεῖν εἰς τὴν ζωὴν *** οἱονεὶ χωλὸν ἢ κυλλὸν ἢ μονόμματον, ἢΗ μετ’ ἐκείνων τὴν ὅλην ὀπολέσαι ψυχήν. ὁμοίως καὶ ἐπὶ τῆς ψυχῆς καλὸν καὶ μακάριον ἐπὶ τοὶς βελτίστοις χρῆσθαι τῇ δυνάμει αὐτῆς· εἰ δὲ μέλλομεν διά τινα μίαν *** ἀπολέσθαι, αἱρετώτερον ἀποβαλεῖν τὴν χρῆσιν αὐτῆς <σκανδαλιζούσης>, ἵνα μετὰ τῶν ἄλλων δυνάμεων σω- θῶμεν.

Ὁρᾶτε μὴκαταφρονή- σητε ἑνὸς τῶν μικρῶν τούτων. δοκεῖ μοι ὅτι ὥσπερ ἐν τοῖς ἀνθρωπίνοις σώμασίν ἐστι μεγέθη διάφορα, ὡς τινὶς μὲν αὐτῶν εἶναι μικροὺς ἑτέρους δὲ μεγάλους καὶ ἄλλους <τοὺς> μεταξύ, καὶ πάλιν εἶναι μικρῶν διαξορὰς ἐπὶ πλεῖον καὶ ἔλαττον ὄντων μικρῶν, ὁμοίως καὶ μεγάλων, καὶ τῶν μετα- εύ, οὕτως καὶ ἐν ταῖς τῶν ἀνθρώπων ψυχαὶς ἐστί τινα χαρακτηρίζοντα τὴν μικρότητα αὐτῶν καὶ ἄλλα τὴν (ἵν’ οὕτως εἴπω) μεγαλότητα καὶ ἁπαξαπλῶς<ἄλλα>ἀνάλογον τοῖς σωματικοὶς τὴν μεταξύτητα. ἀλλ’ ἐπὶ μὲν τῶν σωμάτων οὐ παρὰ τὴν αἰτίαν τοῦ ἀνθρώπου, ἀλλὰ παρὰ τοὺς σπερματικοὺς λόγους ὁ μέν τίς ἐστι βραχὺς καὶ μικρός, ὁ δὲ μέγας, ὁ δὲ μεταζύ. ἐπὶ δὲ τῶν ψυχῶν καὶ τὸ ἐφ’ ἡμῖν καὶ αἱ τοιαίδε πράξεις καὶ τὸ τοιοῦτον ἦθος τὴν αἰτίαν ἔχει τοῦ μέγαν τινὰ εἶναι ἢ μικρὸν ἢ ἐν τοῖς μεταξὺ τυλχάνειν· καὶ ἔστιν ἐκ τοῦ ἐφ’ ἡμῖν ἤτοι προκόπτειν τῇ

ἡλικίᾳ ἐπιδιδόντα εἰς μέγεθος ἢ μὴ προκόπτοντα εἶναι βραχύν. καὶ οὕτω γε ἀκούω περὶ τοῦ σωτῆρος ἀναλαβόντος καὶ ἀνθρωπίνην ψυχὴν τὸ »ὁ Ἰησοῦς προέκπτεν«. ὡς γὰρ ἐκ τοῦ ἐφ᾽ ἡμῖν τῆς ψυχῆς αὐτοῦ ἦν ἡ »ἐν σοφίᾳ« προκοπὴ »καὶ χάριτι«, οὕτως καὶ ἐν »ἡλικίᾳ«· καὶ ὁ ἀπόστολος· »μέχρι καταντήσωμεν πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ«. καταντᾶν γὰρ εἰς ἄνδρα καὶ τοῦτο[ν] τέλειον, »κατὰ τὸν ἔσω ἄνθρωπον« νομιστέον, τὸν διαβάντα τὰ τοῦ νηπίου καὶ φθάσαντα ἐπὶ τὸν ἄνδρα καὶ καταργήσαντα »τὰ τοῦ νηπίου« καὶ ἁπαξαπλῶς τελειώσαντα τὰ τοῦ ἀνδρός. οὕτω δ᾽ ὑποληπτέον εἶναί τι καὶ μέτρον πνευματικῆς ἡλικίας, ἐφ᾽ ὃ ἡ τελειοτάτη δύνται φθάσαι ψυχὴ ἐκ τοῦ μεγαλύνειν τὸν κύριον καὶ μεγάλη γίνεσθαι. Οὕτως οὖν καὶ μεγάλοι μὲν περὶ ὧν τοῦτ᾽ ἀναγέγραπται γεγόνασιν, Ἰσαὰκ καὶ Μωσῆς καὶ Ἰωάννης καὶ αὐτὸς ἐπὶ πᾶσιν ὁ σωτήρ· καὶ Röm. 7, 22 – 19 I. Kor. 13, 11 – 28 Vgl. Luc. 1, 46 30 οὕτως οὖν] kürzt gegen lat. γὰρ περὶ αὐτοῦ ὁ Γαβριὴλ εἶπε τὸ »ἔσται μέγας«. μεκροὶ δὲ τὰ »ἀρτιγέννητα βρέφη« <ἐν Χριστῷ *** »ἀρτιγέννητα βρέφη«>, »λογικὸν ἄδολον γάλα« ἐπιποθοῦντα, οἵτινες καὶ τῶν παρὰ τῷ Ἡσαΐᾳ λεγομένων τιθηνῶν δέονται καὶ τροφῶν, λέγοντι περὶ τῆς ἀπὸ τῶν ἐθνῶν κλήσεως· »καὶ ἄξουσι τοὺς

υἱοὺς ἐν κόλπῳ, τὰς δὲ θυγατέρας ἐπὶ τῶν ὤμων ἀροῦσι, καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχαυσαι αὐτῶν τροφοί σου«. ἐπιστήσεις οὖν διὰ ταῦτα καὶ τῷ μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν, μήποτε οἱ ἄγγελοι αὐτῶν οἱ ἄγοντες αὐτούς εἰσιν »ἐν κόλπῳ«, ἐπὰν ὦσιν υἱοί, ἀλλὰ καὶ ἐπὶ τῶν »ὤμων« αἴροντες τὰς λεγομένας »θυγατέρας«, καὶ ἀπὸ τούτων εἰσὶ »τιθηνοὶ« μὲν οἱ λεγόμενοι »βασιλεῖς«, »τροφοὶ« δὲ αἱ ὀνομαζόμεναι »ἄρχουσαι«. καὶ ἐπεὶ οἱ δεικνύμενοι ὑπὸ τοῦ σωτῆρος ἡμῶν μικροὶ ὡς ὑπὸ τροφῶν καὶ τιθηνῶν οἰκονομοῦνται, διὰ τοῦτ´ οἶμαι καὶ Μωσέα, πιστεύοντα ἐν τῇ τῶν μεγάλων ἤδη τετάχθαι χώρᾳ, εἰρηκέναι πρὸς τὸ »ὁ ἄγγελός μου προπορεύσεται ὑμῶν« τὸ »εἰ μὴ αὐτὸς συμπορεύῃ μετ’ ἐμοῦ, μή με ἀναγάγῃς ἐντεῦθεν«· εἴπερ γὰρ ὁ μικρὸς μὲν καὶ »κληρονόμος« — ᾗ »νήπιος« δὲ ὡς μηδὲν διαφέρων »δούλου« (ὅτε ἐστὶ νήπιος) καὶ ᾗ μικρός ἐστι — τὸ τῆς »δουλείας εἰς φόβον« ἔχει πνεῦμα, ὁ δὲ μηδαμῶς ἔτι τοιοῦτος, οὐκέτι μὲν τὸ τῆς »δουλείας«, ἤδη δὲ τὸ τῆς »υἱοθεσίας«, ὅτε »ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον«, δῆλον ἔσται σοι, ὅτι κατὰ ταῦτα παρευβάλλειν λέγεται ὁ »ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν« καὶ ῥύεσθαι »αὐτούς«. ἐπιστήσεις δὲ κατὰ ταῦτα καὶ εἰ μικρῶν μέν εἰσιν ἄγγελοι τῶν πνεύματι »δουλείας [τῶν] εἰς φόβον« ἀγομένων (ἐπεὶ »παρεμβάλλει ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύεται αὐτούς«), μεγάλων δὲ ὁ τῶν ἀγγέλων μείζων κύριος (ὅστις λέγοι ἂν περὶ ἑνὸς ἑκάστου αὐτῶν τὸ »μετ’ αὐτοῦ εἰμι ἐν θηίψει«). καὶ ὅσον μέν ἐσμεν ἀτελελῖς καὶ δεόμενοι τοῦ βοηθοῦντος ἡμῖν πρὸς τὸ ῥυσθῆναι ἀπὸ κακῶν, ἀγγέλου δεόμεθα περὶ οὗ ἔλεγεν ὁ Ἰακὼβ τὸ »ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν«· τελειωθέντες δὲ καὶ διελθόντες τὸ ὑπὸ »τιθηνοὺς« εἶναι καὶ »τροφοὺς« καὶ »οἰκονόμους« καὶ »ἐπιτρόπους«, χωροῦμεν ἤδη ὑπ’ αὐτῷ οἰκονομεῖσθαι τῷ κυρίῳ.

Εἶτα πάλιν ζητήσαι ἄν τις, πότε τῶν δεικνυμέωνν ὑπὸ τοῦ σωτῆρος μικρῶν οἱ λεγόμενοι αὐτῶνς ἄγγελοι προΐστανται, πότερον ἀρξάμενοι τὴν οἰκονομίαν περὶ αὐτοὺς διοικεῖν, ἀφ’ οὗ »διὰ λουτροῦ παλιγγενεσίας« (ᾧ ἐγεννήθησαν) »ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν καὶ ἄδολον γάλα« ἐπιποθοῦσι, καὶ μηκέτι ὑποκείμενοι πονηρᾷ τινι δυνάμει· ἢ ἀπὸ γενέσεως κατὰ τὴν τοῦ θεοῦ πρόγνωσιν καὶ τὸν προορισμὸν αὐτοῦ ἐπιταχθέντες τούτοις »οὓς καὶ προέγνω καὶ προώρισεν« ἐσομένους »συμμόρφους« »τῆς δόξης« τοῦ Χριστοῦ ὁ θεός. καὶ πρὸς μὲν τὸ ἀπὸ γενέσεως ἔχειν ἀγγέλους εἴποι ἄν τις ταῦτα,

τὸ »ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου« καὶ τὸ »ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστὴς« καὶ »ἀντελάβου μου ἐκ κοιλίας μητρός μου« καὶ »ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας« καὶ ἐν τῇ Ἰούδα ἐπιστολῇ »τοῖς ἐν θεῷ πατρὶ ἠγαπημένοις καὶ Ἰησοῦ Χριστοῦ τετηρημένοις κλητοῖς«, πάντως ὑπὸ τῶν τηρούντων ἀγγέλων.

Πρὸς δὲ τὸ ὅτε »διὰ λουτροῦ« γεγόνα<σιν> »ἐν Χριστῷ« νήτιοι μὴ παρεῖναι ἅγιον ἄγγελον τοῖς ἔτι κακίᾳ *** <ἀλλὰ κατὰ μὲν> τὸν καιρὸν τῆς ἀπιστίας ὑπὸ τοῖς ἀγγέλοις εἶναι τοῦ σατανᾶ· μετὰ δὲ τὴν ἀναγέννησιν ὁ τοῦ ἰδίου αἵματ[ς

ἐξαγοράσας ἡμᾶς παραδίδωσιν ἀνίῳ ἀγγέλῳ καὶ διὰ τὴν καθαρότητα βλέτοντι τὸ πρὸσωπον τοῦ θεοῦ.

Καὶ τρίτος δ’ ἄν τις τοιοῦτος εἴη κατὰ τὸν τόπον λόγος φάσκων ὅτι δυνατόν, ὥσπερ μεταβαλεῖ ἄνθρωπον ἀπὸ ἀπῖστίας εἰς πίστιν καὶ ἀπὶ ἀκολαςίας εἰς σωφροςύνην κἀὶ ἁπαξαπλῶς ἀπὶ καδίας εἰς ἀρετήν, οὅτω καὶ τὸν ἐγκχειρισμένον ἅμα γενέσει ψυχήν τινα κατὰ μὲν τὰς ἀρχὰς φαῦλον εἶναι δύνασθαι, ὕστερον δέ ξποτε ἀνάλογον τῷ πιστεύοντι πιστεύειν καὶ ἐπὶ τοσοῦτον προκόπτειν, ὡς γενέσθαι αὐτὸν ἄγγελον ἕνα τῶν διὰ παντὸς βλεπόντων τὸ προσωπον τοῦ ἐν οὐρανοῖς πατρός. ἀρξάμενος ἀπὸ τοῦδε τοῦ χρόνου τῷ προγνωσθέντι κατὰ τόνδε τὸν χρόνον πιστεύειν καὶ προορισθέντι συζεύγνυται, τῶν ἀρρήτων κριμάτων τοῦ θεοῦ καὶ ἀνεξερευνήτων καὶ ἀβύσσοις ἐοικότων εἰκότως πᾶσαν τὴν τοιαύτην ἁρμονίαν συναγαγόντων ἀγγέλων πρὸς ἀνθρώπους. δυνατὸν δὲ καὶ ὥσπερ ἀνδρὸς καὶ γυναικὸς ἀμφοτέρων ἀπίστων, ὁτὲ μὲν ὁ ἀνὴρ πρότερονξ πιστεύσας τῷ χρόνῳ σώζει τὴν γυναῖκα, ὁτὲ δὲ ἡ γυνὴ ἀρξαμένη ὕστερόν ποτε πείθει τὸν ἄνδρα, οὕτω γίνεσθαι καὶ ἐπὶ τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων, εἰ μὲν οὖν καὶ ἐπ’ ἄλλων γίνεται ἀγγέλων τὸ τοιοῦτον ἢ μή, καὶ αὐτὸς εξετάσεις. μήποτε δὲ οὐχ ἁρμόζει περὶ τοῦ ἑκάστου ἀγγέλου τὸ τοιοῦτο λέγειν, τοσοῦτον τετιμημένου κατὰ τὸν τοῦ σωτῆρος ἡμῶν λόγον, ὥστε διὰ παντὸς αὐτὸν βλέπειν λέγεσθαι τὸ πρόσωπον τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς. ἐπεὶ δὲ ἐν τοῖς ἀνωτέρω ἐλέγομεν τῶν μὲν μικρῶν εἶναι τοὺς ἀγγέλους, διεληλυθέναι δὲ τὴν τοιαύτην τάξιν τοὺς μεγάλους, ἀντερεῖ τις ἡμῖν ἐκ τῶν Πράξεων τῶν ἀποστόλων, ἔνθα γέγραπται ὅτι Ῥόδη παιδίσκη τις τοῦ Πέτρου »κρούσαντος τὴν θύραν« προσῆλθεν ὑπακοῦσαι, »καὶ ἐπιγνοῦσα τῆν φωνὴν τοῦ Πέτρου«, εἰσδραμοῦσα »ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος«· θαυμάσαντες καὶ οἱ ἐν τῷ οἴκῳ συνηθροισμένοι καὶ ὡσπερεὶ ἀδύνατον εἶναι νομίσαντες τὸν Πέτρον ἀληθῶς ἑστηκέναι »ἔλεγον ὅτι ὁ ἄγγελος αὐτοῦ ἐστι«. φήσει γὰρ ὅτι ἅπαξ μαθόντες ἐκεῖνοι ἕκαστον τῶν πιστευόντων ἔχειν ἄγγελον τόνδε δινῄδεισαν καὶ Πέτρου τινὰ εἶναι ἄγγελον. ὁ δὲ παριστάμενος οἷς προειρήκαμεν φήσει ὅτι οὐκ ἀναγκαῖον εἶναι δόγμα τὸν τῆς Ῥόδης λόγον, τάχα δὲ καὶ οὐκ ἠκριβωκότων πότε μὲν ὑπ’ ἀγγέλων τῳ ὡς μικρός τις καὶ φοβούμενος τὸν θεὸν οἰκονμεῖται, πότε δὲ ἤδη ὑπ’ αὐτῷ τῷ κυρίῳ. μετὰ ταῦτα εἰς κατασκευὴν τοῦ ὡς ἐξειλήφαμεν νοεῖσθαι τὸν μικρὸν λεχθησεται ὅτι οὐ δεύμεθα μὲν ἐντολῆς τῆς περὶ τοῦ μὴ καταφρονεῖν ἐπὶ τῶν μεγάλων ***, χρῄζομεν δὲ αὐτῆς ἐπὶ τῶν μικρῶν. διὸ οὐχ ἁπλῶς εἴρηται· μὴ καταφρονήσητε ἑνὸς τούτων, δεικνυμένων πάντων τῶν μαθητῶν, ἀλλ’ ἑνὸς τούτων τῶν μικρῶν, <μικρῶν> δεικνυμένων ὑπὸ τοῦ βλέποντος μικρότητα καὶ μεγαλότητα ψυχῆς.

Ἄλλος δ’ ἂν λέγοι μικρὸς ἐν τούτοις λέγεσθαι τὸν τέλειον συγχρώμενος τῷ »ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγς«, καὶ φήσει ὅτι ὁ ταπεινῶν ἑαυτὸν καὶ <γινόμενος μιμητὴς τοῦ ἑαυτὸν ταπεινώσαντος ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ> γινόμενος νήπιος ἐν μέσῳ πάντων <τῶν> πιστευόντων (κἂν ἀπόστολος, κἂν κπίσκοπος ᾖ) καὶ γινόμενος τοιοῦτος »ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα«, οὗτός ἐστιν ὁ δεικνύμενος ὑπὸ τοῦ Ἰησοῦ μικρός,

καὶ ἄξιόν γε τοῦ τοιούτου ἄγγελον εἶναι βλέποντα τὸ πρόσωπον τοῦ θεοῦ. τὸ γὰρ μικροὺς λέγειν ἐνταῦτθα τοὺς τελείους κατὰ τὸ »ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας« καὶ ὡς ὁ Παῦλος εἶπεν τὸ »ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη« δόξει μὴ συνᾴδειν τῷ »ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων« καὶ τῷ οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. ὁ γὰρ ὡς ἀποδέδοται νῦν μικρὸς οὐ σκανδαλισθείη οὐδ᾽ ἀπόλοιτο ἄν· »εἰρήνη γὰρ πολλὴ τοῖς ἀγαπῶσι τὸ ὄνομα τοῦ θεοῦ, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον«. καὶ οὐκ ἂν ἀπόλοιτο ὁ πάντων μικρότερος ἐν πᾶσι τοῖς μαθηταῖς Χριστοῦ ὑπάρχων καὶ διὰ τοῦτο γινόμενος μέγας· καὶ ἐπεὶ οὐκ ἂν ἀπόλοιτο, λέγοι ἂν τὸ »τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης« καὶ τὰ ἑξῆς. ἀλλ᾽ ὁ βουλόμενος τὴν τελευταίαν ταύτην κρατεῖν διήγησιν φήσει, ὅτι μεταπτωτή ἐστι καὶ ἡ τοῦ δικαίου ψυχή, ὡς μαρτυρεῖ καὶ ὁ Ἰεζεκιὴλ λέγων τὸν δίκαιον ἀφίστασθαι δύνασθαι τῶν ἐντολῶν τοῦ θεοῦ, ὡς μὴ λογισθῆναι Αὐτῷ τὴν προτέραν δικαιοσύνην. διὰ Τοῦτο λέγεται· »ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων« καὶ τὸ οὐκ ἔστι θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Τὰ δὲ περὶ τῶν ἑκατὸν προβάτων ἔχεις εἰς τὰς κατὰ Λουκᾶν ὁμιλίας.

Ἐὰν <δὲ> ἁμάρτῃ ὁ ἀδελφός σου, ὕπαγε ἔλεγξον 30 αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ Μόμου (18, 15[—18]). Ὁ μὲν ἐπερειςάμενος τῇ λέξει <καὶ Τὴν> ὑπερβάλλουσαν τοῦ Ἰησοῦ φιλανθρωπίαν παριστὰς φήσει ὅτι, τῶν ῥητῶν διαφορὰν ἁμαρτημάτων οὐχ ὑποβαλλόντων, περισϲὸν ποίησουσι καὶ παρὰ τὴν χρηστότητα τοῦ Ἰησοῦ Οἱ προσυπακούοντες ἐπὶ τῶν ἐλατ- Τόνων < μόνων> ἁμαρτημάτων ταῦτα Χώραν ἔχειν λέγεσθαι. ἄλλος δέ τις καὶ τῇ λέξει ἐπερειδό- μενος καὶ μὴ ἔξωθεν προσυπα- κούειν θέλων ταῦτα μὴ περὶ παντὸς ἁμαρτήματος λέγεσθαι φήσει, ὅτι ὁ τὰ μεγάλα ἐκεῖνα ἁμαρτάνων οὐδὲ ἀδελφός ἐστιν, ἀλλ’ (εἰ ἄρα) ἀδελφὸς ἀνομαζόμενος, ὥς φησιν ὁ ἀπόστοος· »ἐὰν [δέ] τις ἀδελφὸς ἀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης (καὶ τὰ ἑξῆς) τῷ τοιούτῳ μηδὲ συνε- Σθίειν«. Οὐδεὶς γὰρ εἰδωλολάτρης ἀδελφὸς οὐδὲ πόρνος οὐδὲ πλεο- νέκτης· εἰ γὰρ ἔχει τι τούτων, δο- κῶν φορεῖν τὸ Χριστοῦ ὄνομα »ἀδελφὸς ὀνομαζόμενος« ἀλλ’ οὐκ ἀδελ- Φὸς ἐνδίκως ἂν λέγοιτο. ὥσ περ οὖν Φανταςίᾳ τῆς εἰς ὑπερβολὴν Κ<χρηστό- Τητος> Χριστοῦ ἐπιτριβῆς ἀφορμὰς Παρεῖχεν ὁ ἐπὶ παντὸς ἁμαρτήματος Λέγων τὰ τοιαῦτα εἰρῆσθαι, Κἂν φόνος ᾖ τὸ ἁμάρτημα ἢ φαρμα- Κία ἢ παιδοφθορία ἤ τι τῶν τηλικούτων, Οὕτως ἐκ τοῦ ἐναντίου ὁ τὸν ἀδελφὸν Διαστειλάμενος ἀπὸ τοῦ ἀνομαζο- Μένου ἀδελφοῦ Διδάξαι ἂν τὸν ἐπ’ ἐλάττοσι τῶν ἀνθρωπίνων ἁμαρτημάτων μὴ ἐπι- Στρέφοντα μετὰ τὸν ἔλεγχον ὡς ἐθνικὸν καὶ τελώνην λογισθῆναι ἐπὶ ἁμαρτήμασι τοῖς »μὴ πρὸς θάνατον« ἢ (ὡς ὠνόμασεν ἐν Ἀριθμοῖς ὁ Νόμος) τοῖς μὴ θανατηφόροις· ὅπερ Δόξαι ἂν ὠμότερον τυγχάνειν. Οὐ Γὰρ οἶμαι ταχέως εὐπεθήσεσθαί τινα τὸν μὴ τρὶς ἐπὶ τῷ αὐτῷ εἴδει τῆς ἁμαρτίας ἐλεγχθέντα, φέρ’ εἰπεῖν λοιδορίᾳ (καθ’ ἣν οἱ λοιδοροῦντες δυσφημοῦσι τοὺς πέλας) ἤτοι φυ- σιώσει ἢ πολυποςίᾳ ἢ λόγῳ ψευδεῖ καὶ ἀργῷ, ἤ τινι Τῶν ἐν τοῖς πολλοῖς.

Ζητήσεις οὖν, μήποτε λανθά- Νει τις κατὰ τὸν τόπον τήρησις καὶ Τοὺς φανταςίᾳ τῆς τοῦ λόγου χρη- Στότητος καὶ πρὸς τοὺς τὰ μέγιστα ἡμαρτηκότας τὸ συγγνωμονικὸν δι- κόντας, καὶ τοὺς ἐπὶ τοῖς ἐλαχίστοις διδάσκοντας λογίζεσθαι <καὶ διὰ τοῦ- Το εὐξέως> ὡς ἐθνικὸν καὶ τελώνην Τὸν μετὰ <τὸ ἐλεγχθῆναι δὶς ἢ> τρὶς Τὰ βραχύτερα ἡμαρτηκότα ἀλλότριον ποιοῦντας τῆς ἐκκληςίας. Τὸ δὲ λανθάνον ἑκατέρους τοιοῦτόν Μοι φαίνεται· τὸ ἐκέρδησας τὸν ἐδελφόν σου ἐπὶ τοῦ μόνου ἀκού- σαντος τάξας ὁ λόγος, οὐκέτι αὐτὸ ἔθηκεν ἐπὶ τοῦ δεύτερον ἢ τρίτον Πταίσαντος καὶ ἐλεγχθέντος, ἀλλ' ὡσπερεὶ μετέωρον εἴασε τὸ ἀνά- λογον τῷ ἐκέρδησας τὸν ἀδελ- φόν σου δεχθηςόμενον περὶ τοῦ δεύτερον ἢ τρίτον ἐλεγχθέντος. Οὐ Πάντως οὖν κερδαίνεται οὐδὲ πάντως ἀπολεῖται ἢ πληγὰς λήψεται. Καὶ πρόσχες ἐπιμελῶς τῷ πρώτῳ μὲν λέγοντι· ἐπιμελῶς τῷ πρώτῳ μὲν λέγοντι· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· τῷ δὲ Δευτέρῳ κατὰ τὴν λέξιν τόπῳ φάσ- Κοντι· ἐὰν δὲ μὴ ἀκούσῃ, πα- Ράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ Δύο, ἵνα ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται Πᾶν ῥῆμα. Τί οὖν μετὰ τὸ σταθῆναι πᾶν ῥῆμα ἐπὶ δύο ἢ τριῶν μαρτύ- ρων ἔσται τῷ τὸ δεύτερον νουθετηθέντι, ἡμῖν ἐννοεῖν καταλέλοιπε. Καὶ πάλιν ἐὰν παρακούσῃ αὐτῶν, δῆλον δ' ὅτι τῶν παραληφθέντων μαρτύρων, εἰπὸν (φησὶ) τῇ ἐκκλησίᾳ· καὶ οὐκ εἶπε τί πείσεται, ἐὰν μὴ ἀκούσῃ τῆς ἐκκλησίας, ἀλλ' ἐδίδαξεν ὅτι ἐὰν τῆς ἐκκλησίας παρακούσῃ, δεῖ αὐτὸν εἶναι τῷ τρὶς νονθετήσαντι καὶ μὴ ἀκουσθέντι πρὸς] τὸ λοιπὸν ὡς τὸν ἐθνικὸν καὶ τὸν τελώνην. οὐ πάντως οὖν κερδαίνεται οὐδὲ πάντως ἀπολεῖται, ἀλλ' ὅ τί ποτε πείσεται ὁ τὸ πρότερον μὲν μὴ ἀκούσας μαρτύρων δὲ δεηθείς, ἢ καὶ ὁ τούτων παρακούσας ἐπὶ τὴν ἐκκλησίαν δὲ ἀχθείς, ὁ θεὸς ἂν εἰδείη. ἡμεῖς γὰρ οὐκ ἀποφαινόμεθα κατὰ τὸ »μὴ κρίνετε, ἵνα μὴ κριθῆτε« <καὶ τὸ »μὴ πρὸ καιροῦ τι κρίνετε>, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν«. Πρὸς δὲ τὸ δοκοῦν σκληρὸν πρὸς τοὺς τὰ ἐλάττονα ἡμαρτηκότας εἴποι τις ἂν ὅτι οὐκ ἔξεστι, δὶς ἐξῆς μὴ ἀκούσαντα τὸ τρίτον ἀκοῦσαι, ὡς διὰ τοῦτο μηκέτι εἶναι ὡς ἐθνικὸν καὶ τελώνην καὶ μηκέτι δεηθῆναι τοῦ ἐπὶ πάσης τῆς ἐκκλησίας ἐλέγχου; δεῖ γὰρ μεμνῆσθαι τοῦ »οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων«. καὶ γὰρ εἴπερ δεῖ »τοὺς πάντας ἡμᾶς« παραστῆναι »ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον«, χρὴ ὅση δύναμις τὰ παρ' αὐτὸν ποιεῖν, ἵνα μὴ περὶ πλειόνων κομίσηται φαύλων διὰ τοῦ σώματος πεπραγμένων, κἂν μέλλῃ περὶ πάντων ὧν ἐποίησε χειρόνων ἀπολαμβάνειν· φιλοτιμητέον δὲ περὶ πλειόνων εὐτοιιῶν μισθὸν κομίσασθαι. ἐπὶ »ᾧ μέτρῳ« μετροῦμεν. »ἀντιμετρηθήσεται« ἡμῖν καὶ »κατὰ τὰ ἔργα τῶν χειρῶν ἡμῶν συμβήσεται« ἡμῖν. καὶ οὐκ ἀπειροπλάσια μέν, ἤτοι δὲ διπλάσια ἢ ἐπταπλάσια λήψονται οἱ ἡμαρτηκότες ἐκ χειρὸς κυρίου τὰ ἁμαρτήματα, <ἔστι δὲ> ὅταν μὴ [καὶ] »κατὰ τὰ ἔργα τῶν χειρῶν« τινι ἀποδιδωῶται, ἀλλὰ πλείονα ὧν πεποίηκεν· Ἰερουσαλὴμ μὲν γάρ, ὡς ὁ Ἡσαΐας ἐδίδαξεν, »ἐδέξατο ἐκ χειρὸς κυρίου διπλὰ τὰ ἁμαρτήματα αὐτῆς«, οἱ δὲ γείτονες τοῦ Ἰσραὴλ (οἵτινές ποτ' ἂν ὦσιν) ἐπταπλάσια λήψονται κατὰ τὸ ἐν Ψαλμοῖς οὕτως εἰρημένον· »ἀπόδος τοῖς

γείτοσιν ἡμῶν ἐπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε, κύριε«. καὶ ἄλλοι ἂν εὑρεθεῖεν τρόποι τῆς ἀνταποδόσεως, οὓς ἐὰν νοῶμεν, εἰσόμεθα ὅτι λυσιτελεῖ μεθ᾽ ὁποσαοῦν ἁμαρτήματα μετανοεῖν, ἵνα πρὸς τῷ μὴ περὶ πλειόνων κολάζεσθαι ἡμᾶς καὶ περὶ ἀγαθῶν ἐλπίς τις ἡμῖν ὕστερόν ποτε τῶν πεπραγμένον ἀπολειφθῇ, κἂν πρὸ αὐτῶν μυρία ὅσα ἐπταισμένα τινὶ ᾖ· ἄτοπον γὰρ τὰ μὲν χείρονα λογισθῆναί τινι τὰ δὲ μετὰ τὰ χείρονα κρείττονα μηδὲν ὠφελεῖν, ἅπερ καὶ ἀπὸ τοῦ Ἰεζεκιὴλ τοῖς ἐπιμελῶς τηροῦσι τὰ περὶ τῶν τοιούτων ῥητὰ ἔστι μαθεῖν.

Καλῶς δέ μοι δοκεῖ συνῆφθαι τῷ μετὰ τὸ τρὶς νενουθετῆσθαι κριθέντι εἶναι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης τὸ ἀμὴν λέγω ὑμῖν (δηλονότι τοῖς κρίνασιν εἶναί τινα ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης), ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς καὶ τὰ ἑξῆς. δικαίως γὰρ ἔδησεν ὁ τρὶς νουθετήσας καὶ μὴ ἀκουσθεὶς τὸν κριθέντα εἶναι ὡς ἐθνικὸν καὶ τελώνην. διόπερ ὁ τοιοῦτος δεδεμένος καὶ δεδικασμένος ὑπὸ τοῦ τοιουδὶ μένει δεδεμένος, οὐδενὸς τῶν ἐν οὐρανῷ ἀναλύοντος τοῦ δεδεκότος αὐτὸν τὴν ψῆφον. οὕτω δὲ καὶ ὁ ἅπαξ νουθετηθεὶς ἄξια ποιήσας τοῦ κερδηθῆναι, λυθεὶς διὰ τῆς νουθεσίας <τοῦ> κερδήσαντος αὐτὸν καὶ μηκέτι »σειραῖς τῶν ἁμαρτιῶν« ἑαυτοῦ περὶ ὧν ἐνουθετήθη δεδεμένος, λελυμένος κριθήσεται <δικαίως καὶ> ὑπὸ τῶν ἐν οὐρανοῖς. πλὴ τὰ ἐν τοῖς ἀνωτέρω μόνῳ τῷ Πέτρῳ δεδομένα ἔοικε δηλοῦσθαι δεδωκέναι πᾶσι τοῖς τὰς τρεῖς νουθεσίας προσαγαγοῦσι πᾶσι τοῖς ἡμαρτηκόσιν, ἵν᾽, ἐὰν μὴ ἀκουσθῶσιν, δήσωσιν ἐπὶ γῆς τὸν κριθέντα εἶναι ὡς ἐθνικὸν καὶ τελώνην ὡς δεδεμένου τοῦ τοιούτου ἐν τῷ οὐρανῷ. ἀλλ᾽ ἐπεὶ ἐχρῆν, εἰ καὶ κοινόν τι ἐπὶ τοῦ Πέτρου καὶ τῶν νουθετησάντων τρὶς τοὺς ἀδελφοὺς λέλεκται, ἐξαίρετόν <τι> ἔχειν τὸν Πέτρον παρὰ τοὺς τρὶς νουθετήσαντας, ἰδίᾳ τοῦτο προτέτακται ἐπὶ τοῦ Πέτρου τὸ »δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν<, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς«> τοῦ καὶ ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς καὶ τὰ ἑξῆς. καίτοιγε εἰ ἐπιμελῶς προςέχομεν τοῖς εὐαγγελικοῖς γράμμασι, καὶ ἐν τούτοις εὕροιμεν ἂν καὶ κατὰ ταῦτα, τὰ δοκοῦντα εἶναι κοινὰ πρὸς τὸν Πέτρον καὶ τοὺς τρὶς νουθετήσαντας τοὺς ἀδελφούς, πολλὴν διαφορὰν καὶ ὑπεροχὴν ἐκ τῶν πρὸς τὸν Πέτρον εἰρημένων παρὰ τοὺς δευτέρους. οὐ γὰρ ὀλίγη διαφορὰ τὸν Πέτρον εἰληφέναι τὰς »κλεῖδας« οὐχ ἑνὸς οὐρανοῦ ἀλλὰ πλειόνων, [καὶ] ἵνα, ὅσα ἐὰν δήσῃ »ἐπὶ τῆς γῆς«, ᾖ δεδεμένα οὐκ ἐν ἑνὶ <μόνον> οὐρανῷ ἀλλ᾽ ἐν πᾶσιν οὐρανοῖς, πρὸς τοὺς πολλοὺς <δὲ ὄντας> δέοντας ἐπὶ τῆς γῆς καὶ λύοντας ἐπὶ τῆς γῆς <οὕτω λέγεσθαι>, ὥστε ταῦτα δεδέσθαι καὶ λελύσθαι οὐκ ἐν »οὐρανοῖς«, ὡς ἐπὶ Πέτρου, ἀλλ᾽ ἐν οὐρανῷ ἑνί· οὐ γὰρ διαβαίνουσι τῇ δυνάμει, ὡς Πέτρος, ἵνα δήσωσιν ἢ λύσωσιν ἐν πᾶσιν »οὐρανοῖς«. ὅσῳ οὖν βελτίων ὁ δεσμεύων, <τοσοῦτον ὁ δεδεμένος πλεῖον ἢ ἐν ἑνὶ οὐρανῷ δέδεται, καὶ ὅσῳ βελτίων ὁ λύων> τοσοῦτον μακαριώτερος ὁ λελυμένος, ὡς πανταχοῦ τῶν οὐρανῶν εἶναι αὐτοῦ τὸ λελύσθαι.

Book 14

<Ὡριγένους ἐκ τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν> τόμος ιδ’.

Πάλιν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς, περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενη- [θή]σεται αὐτοῖς (18, 19[20]). Κυρίως τὸ τῆς συμφωνίας ὄνομα τάσσεται ἐπὶ τῶν κατὰ μουσικὴν ἐν φωναῖς ἁρμονιῶν· καὶ εἰσί γε παρὰ τοῖς μουσικοῖς φθόγγοι φθόγγοις σύμφωνοι καὶ ἄλλοι διάφωνοι. οἶδε δὲ καὶ ἡ εὐαγγελικὴ γραφὴ τὸ ὄνομα ἐπὶ τῶν κατὰ μουσικὴν τεταγμένον ἐν τῷ »ἤκουσε συμφωνίας καὶ χορῶν«. ἔπρεπε γὰρ ἐπὶ τῇ ἐκ μετανοίας συμφωνίᾳ πρὸς τὸν πατέρα τοῦ ἀπὸ ἀπωλείας εὑρεθέντος υἱοῦ ἀκουσθήναι συμφωνίαν ἐπὶ τῇ εὐφροσύνῃ τῆς οἰκίας. τὸ δὲ τῆς συμφωνίας ὄνομα ὁ φαῦλος οὐκ οἶδε Λάβαν, ἐν οἷς φησι πρὸς τὸν Ἰακώβ· »καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ᾽ εὐφροσύνης καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας«. ἀδελφὸν δὲ τῆς τοιαύτης συμφωνίας τὸ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν γεγραμμένον, ἡνίκα »οἱ ἀδελφοὶ« τοῦ Ἀμιναδὰβ »ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ, καὶ Δαυῒδ καὶ υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ καὶ ᾠδαῖς«· τὰ γὰρ ἡρμοσμένα ὄργανα »ἐν ἰσχύϊ καὶ ᾠδαῖς« εἶχεν ἐν ἑαυτοῖς τὴν μουσικὴν συμφωνίαν, ἥτις τοσοῦτον δύναται, ὡς δύο μόνων μετὰ τῆς πρὸς τὴν θείαν μουσικὴν καὶ πνευματικὴν συμφωνίας αἴτησιν προσαγόντων τῷ ἐν τοῖς οὐρανοῖς πατρὶ περὶ οὐτινοσοῦν, τὸν πατέρα διδόναι τὰ αἰτήματα τοῖς μετὰ τοῦ συμφωνεῖν ἐπὶ γῆς (ὅπερ ἐστὶ παραδοξότατον) αἰτήσασιν, ἅπερ αἰτήσαιεν ἂν οἱ τὴν εἰρημένην συμφωνίαν συμφωνήσαντες. οὕτως ἐγὼ ἀκούω καὶ τοῦ ἀποστολικοῦ ῥητοῦ· »μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν ἵνα σχολάσητε τῇ προσευχῇ«. ἐπεὶ γὰρ τὸ τῆς ἁρμονίας ὄνομα ἐπὶ τῶν κατὰ θεὸν γαμούντων τέτακται ἐν τῷ οὕτως ἐκ Παροιμιῶν τεταγμένῳ ῥητῷ· »οἶκον καὶ ὕπαρξιν μεριοῦνται πατέρες παισί, παρὰ δὲ θεοῦ ἁρμόζεται γυνὴ ἀνδρί«, ἀκόλουθόν ἐστι τῇ ἀπὸ θεοῦ ἁρμονίᾳ τὸ ὄνομα καὶ τὸ ἔργον ἀπολαύειν τῆς συμφωνίας εἰς εὐχήν, ὅπερ δηλοῦται ἐν τῷ »εἰ μή τι ἂν ἐκ συμφώνου«. Εἶτ᾽ ἐπιδιηγούμενος ὁ λόγος τὸ συμφωνεῖν ἐπὶ τῆς γῆς δύο, ὅτι ταὐτόν ἐστι τοῦτο τῷ συμφωνεῖν τῷ χριστῷ, ἐπιφέρει τὸ οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα. οὐκοῦν οἱ συνηνμένοι εἰς τὸ τοῦ χριστοῦ ὄνομα δύο ἢ τρεῖς, οἱ συμφωνοῦντές εἰσιν ἐπὶ γῆς οὐ μόνον δύο, ἀλλ᾽ ἔσθ᾽ ὅτε καὶ τρεῖς. ἐπιστήσει δὲ ὁ δυνάμενος εἰ ἡ συμφωνία αὕτη καὶ ἡ τοιαύτη συναγωγή, ἧς ὁ χριστὸς ἐν

μέσῳ ἐστί, δύναται εὑρεθῆναι ἐν πλείοσιν, ἐπεὶ »στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν«. τάχα δὲ καὶ τὴν <τοιαύτην> συμφωνίαν οὐδὲ ὀλίγοι, ἀλλὰ δύο ἢ τρεῖς συμφωνοῦσιν, ὡς Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἷς <ὡς> συμφωνοῦσιν ἔδειξεν αὐτοῦ τὴν δόξαν ὁ λόγος τοῦ θεοῦ. συνεφώνησαν δὲ δύο μὲν Παῦλος καὶ Σωσθένης, γράφοντες τὴν πρώτην Κορινθίοις ἐπιστολήν, μετὰ τοῦτο δὲ Παῦλος καὶ Τιμόθεος, ἐπιστέλλοντες τὴν δευτέραν τοῖς αὐτοῖς· καὶ τρεῖς δὲ συνεφώνησαν, ὅτε »Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος« ἐπαίδευον δι᾽ ἐπιστολῆς Θεσσαλονικεῖς. εἰ δὲ καὶ ἀπὸ τῶν παλαιῶν γραμμάτων δεήσει παραστήσαι τοὺς συμφωνήσαντας ἐπὶ γῆς τρεῖς, ὡς εἶναι τὸν λόγον ἐν μέσῳ αὐτῶν ἑνοῦντα αὐτούς, ἐπίστησον τῇ ἐπιγραφῇ τῶν Ψαλμῶν, ὡς τῇ τοῦ τεσσαρακοστοῦ πρώτου οὕτως ἐχούσῃ· »εἰς τὸ τέλος· εἰς σύνεσιν τοῖς υἱοῖς Κόρε«. τριῶν γὰρ ὄντων υἱῶν Κόρε, ὧν τὰ ὀνόματα ἐν τῇ Ἐξόδῳ εὕρομεν, τοῦ Ἀσήρ, ὃς ἑρμηνεύεται ΠΑΙΔΕΙΑ, καὶ τοῦ δευτέρου τοῦ Ἑλκανά, ὃς μεταλαμβάνεται εἰς τὸ ΘΕΟΥ ΚΤΗΣΙΣ, καὶ τρίτου τοῦ Ἀβιασάφ, ὃς Ἑλλάδι φωνῇ λέγοιτ᾽ ἂν ΠΑΤΡΟΣ ΣΥΝΑΓΩΓΗ, αἱ προφητεῖαι οὐ διῃρέθησαν, ἀλλ᾽ ὡς ὑπὸ ἑνὸς πνεύματος καὶ μιᾶς φωνῆς ἐν μιᾷ ψυχῇ ἀληθῶς συμφώνως ἐνεργοῦντος καὶ εἴρηνται καὶ ἐγράφησαν, καὶ λαλοῦ<σι λέγο>ντες οἱ τρεῖς ὡς εἷς· »ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ θεός«. φασὶ δὲ καὶ πληθυντικῶς ἐν τῷ τεσσαρακοστῷ τρίτῳ· »ὁ θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν«.

Εἰ δὲ θέλεις ἔτι μᾶλλον ἰδεῖν τοὺς συμφωνοῦντας ἐπὶ τῆς γῆς, ἴδε τοὺς ἀκούσαντας· »ἵνα ἦτε κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ«, καὶ ζηλώσαντας τὸ »ἦν ἡ ψυχὴ καὶ ἡ καρδία (πάντων τῶν πιστευόντων) μία« γενομένων <ἓν> εἴ γε δυνατὸν *** ἐν πλείοσι τοιοῦτον εὑρεθῆναι, ὥστε μηδὲ τὴν τυχοῦσαν διαφωνίαν εἶναι ἐν αὐτοῖς, ὡς οὐκ ἔστι διαφωνία τῶν τοῦ δεκαχόρδου δου ψαλτηρίου χορδῶν πρὸς ἀλλήλας. οὐ συνεφώνουν δὲ ἐπὶ τῆς γῆς οἱ λέγοντες· »ἐγὼ μέν εἰι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ«, ἀλλὰ ἦν ἐν αὐτοῖς »σχίσματα«, ὧν καταλυομένων συνήγοντο μετὰ τοῦ ἐν Παύλῳ πνεύματος »σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ Χριστοῦ«, ἵνα μηκέτι ἀλλήλους δάκνωσι καὶ κατεσθίωσιν, ὡς »ὑπὸ ἀλλήλων« αὐτοὺς ἀναλίσκεσθαι· ἀναλίσκει γὰρ ἡ διαφωνία, ὥσπερ συνάγει ἡ συμφωνία, καὶ χωρ<ίζ>ει τὸν ἐν μέσῳ τῶν συμφωνούντων μόνων γινόμενον υἱὸν τοῦ θεοῦ. καὶ κυρίως γε ἐν δύο γενικοῖς γίνεται ἡ συμφωνία, τῷ (ὡς ὠνόμασεν ὁ ἀπόστολος) καταρτισμῷ τοῦ αὐτοῦ νοὸς κατὰ τὸ ταὐτὰ δόγματα ἔχειν νενοημένα, καὶ τῷ τῆς αὐτῆς γνώμης κατὰ τὸ ὁμοίως βιοῦν. ἴδε <τὸ> ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗἐὰν αἰτήσωνται, γενή<σε>ται αὐτοῖς παρὰ τοῦ πατρὸς Ἰησοῦ τοῦ ἐν τοῖς οὐρανοῖς. καὶ δῆλον ὅτι ὅπου οὐ γίνεται παρὰ τοῦ ἐν οὐρανοῖς πατρὸς περὶ non autem consentiebant Corinthii dicentes: »ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephae, et ego Christi«; sed erat in illis schisma, quo soluto congregabantur cum spiritu Pauli et »virtute domini Iesu«, ut iam non essent alius alium se mordentes et comedentes, ut consumerentur »abinvicem«. consumit

enim dissensus, sicut congregat consensus, et separat Iesum qui in medio consentientium sibi solummodo invenitur. et proprie quidem in duobus istis generalibus fit consensus: in fide, sicut ait apostolus: »ut sitis perfecti in eodem sensu«, id est secundum eadem dogmata, »et in eadem sententia«, id est ut similiter conversentur. ideo dicit: si duo vestrum consen serint super terram de omni re, quidquid petierint fiet eis. manifestum est autem, quoniam ubi non fit de omni re consensus, παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, ἐκεῖ οὐδὲ δύο συνφώνησαν ἐπὶ τῆς γῆς. καὶ τοῦτο αἴτιον ἡμῖν ἐστι τοῦ μὴ ἐπακούεσθαι εὐχομένους τὸ μὴ συμφωνεῖν ἡμᾶς ἀλλήλοις ἐπὶ τῆς γῆς μήτε δόγμασι μήτε βίῳ. ἔτι δὲ καὶ εἴπερ σῶμά ἐσμεν Χριστοῦ, καὶ »ἔθετο ὁ θεὸς τὰ μέλη, ἕκαστον αὐτῶν ἐν τῷ σώματι«, ἵνα »τὸ αὐτὸ μεριμνῶσιν ὑπὲρ ἀλλήλων τὰ μέλη« καὶ συμφωνῶσιν ἀλλήλοις, καὶ πάσχοντος μὲν ἑνὸς μέλους συμπάσχῃ πάντα δοξαζομένου δὲ συγχαίου. ὀφείλομεν ἀσκεῖν τὴν ἀπὸ τῆς θείας μουσικῆς συμφωνίαν, ἵνα συναγομένων ἡμῶν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ Χριστὸς ᾖ ἐν μέσῳ ἡμῶν, ὁ τοῦ θεοῦ λόγος καὶ ἡ τοῦ θεοῦ σοφία καὶ ἡ δύναμις αὐτοῦ.

Ταῦτα μὲν οὖν ὡς τῶν δύο καὶ τριῶν, οὓς προκαλεῖται συμφωνεῖν ὁ λόγος. κοινότερον νοουμένων. ἤδη δὲ καὶ ἄλλης διηγήσεΣως ἀψώμεθα, ἣν ἔλεγέ τις τῶν πρὸ ἡμῶν, προτρέπων ἐπὶ ἁγνείαν καὶ καθαρότητα τοὺς γεγαμηκότας. δύο γάρ, οὕς βούλεται (φησὶν) ὁ λόγος συμφωνεῖν νεῖν ἐπὶ τῆς γῆς, ἄνδρα καὶ γυναῖκα νοητέον, ἐκ συμφωνίας ἀποστεροῦντας ἀλλήλους σωματικῆς ὁμιλίας, ἵνα σχολάσωσι »τῇ προσευχῇ«, ὅτε προσευχόμενοι περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται λήψονται, γιγνομένου αὐτοῖς τοῦ ἀπὸ τοιαύτης συμφωνίας αἰτήματος παρὰ τοῦ ἐν οὐτσνοῖε πσυτὸε Ἰησοῦ Χοιστοῦ. καὶ ἔοικεν ἡμῖν ἡ διήγησις αὕτη οὐ διάλυσιν ποιεῖν γάμου, ἀλλ’ ἐπὶ συμφωνίαν προτροπήν· ὡς εἰ ὁ ἕτερος μὲν βούλοιτο καθαρεύειν ὁ δὲ ἕτερος μὴ θέλοι <ἢ μὴ δύναιτο> καὶ διὰ τοῦτο συγκαταβαίνοι τῷ ἢ μὴ θέλοντι ἢ μὴ δυναμένῳ ὁ καὶ βουλόμενος καὶ δυνάμενος τὸ κρεῖττον, οὐκ ἂν ἔχοιεν ἀμφότεροι τὸ περὶ πανἂν ἔχοιεν ἀμφότεροι τὸ περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γίνεσθαι αὐτοῖς παρὰ τοῦ ἐν τοῖς οὐρανοῖς πατρὸς Ἰησοῦ Χριστοῦ.

Οἶδα δὲ καὶ ἄλλην διήγησιν μετὰ τοὺς γεγαμηκότας περὶ τῆς τῶν δύο συμφωνίας τοιαύτην. ἐν μὲν τοῖς φαύλοις βασιλεύει »ἡ ἁμαρτία« τῆς ψυχῆς, ἱδρυμένη ὡς ἐν οἰκείῳ θρόνῳ »τῷ θνητῷ« τούτῳ »σώματι εἰς τὸ ὑπακούειν« τὴν ψυχὴν »ταῖς ἐπιθυμίαις αὐτοῦ«. ἐν δὲ τοῖς ἐγείρασιν ὡς ἀπὸ θρόνου τοῦ σώματος τὴν προβασιλεύσασαν ἁμαρτίαν καὶ ἀγωνιζομένος πρὸς αὐτήν, »ἡ μὲν σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός«. ἐν δὲ τοῖς ἤδη τελειωθεῖσι κεκράτηκε τὸ πνεῦμα καὶ »τὰς πράξεις« ἐθανάτωσε «τοῦ σώματος« καὶ μεταδίδωσι τῆς ἑαυτοῦ ζωῆς τῷ σώματι, ὡς ἤδη γίνεσθαι καὶ τὸ »ζωοποιήσει καὶ τὰ θνητὰ ἡμῶν σώματα διὰ τὸ ἐνοτκοῦν αὐτοῦ πνεῦμα ἐν ἡμῖν«, καὶ γίνεται συμφωνία τῶν δύο (σώματος καὶ πνεύματος) ἐπὶ τῆς γῆς, ἥστινος κατορθωθείσης σύμφωνος καὶ ἡ εὐχὴ ἀναπέμπεται τοῦ »καρδίᾳ μὲν« πιστεύοντος »εἰς δικαιοσύνην, στόματι δὲ« ὁμολογοῦντος »εἰς σωτηρίαν«, ὥστε

μηκέτι τὴν καρδίαν πόρρω εἶναι τοῦ θεοῦ, καὶ μετὰ ταύτης ἐγγίζειν αὐτοῦ καὶ τοῖς χείλεσι καὶ τῷ στόματι τὸν δίκαιον τῷ θεῷ ***. ἔτι δὲ μακαριώτερον εἰ οἱ τρεῖς συναχθεῖεν ἐπὶ τὸ αὐτὸ εἰς τὸ ὄνομα τοῦ Ἰησου, ἵνα πληρωθῇ τὸ »ὁ θεὸς ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη«. ζητήσει δέ τις διὰ τὴν εἰρημένην συμφωνίαν πνεύματος καὶ σώματος, εἰ δυνατὸν ταῦτα μὲν συμφωνεῖν, μὴ καὶ τὸ τρίτον δέ, λέγω δὴ τὴν ψυχή, μήποτε οὐκ ἀκολουθῇ τῇ τούτων συμφωνίᾳ ἐπὶ τῆς γῆς, μετὰ τὸ τοὺς δύο συνῆχθαι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, τὸ καὶ τοὺς τρεῖς ἤδη συνάγεσθαι εἰς τὸ ὄνομα αὐτοῦ, ὧν ἐν μέσῳ ἔρχεται ὁ υἱὸς τοῦ θεοῦ, ὡς πάντων αὐτῷ ἀνακειμένων (λέγω δὲ τῶν τριῶν) καὶ μηδενὸς ὄντος αὐτῷ ἐναντίου, οὐ μόνον τοῦ πνεύματος οὐκ ἐναντιουμένου, ἀλλ᾽ οὐδὲ τῆς ψυχῆς ἔτι οὐδὲ τοῦ σώματος.

Χαρίεν δὲ καὶ τὸ τῆς συμφωνίας ἀσκῆσαι <καὶ> νοῆσαι καὶ παραστῆσαι τῶν δύο διαθηκῶν, τῆς τε πρὸ τῆς σωματικῆς τοῦ σωτῆρος ἐπιδημίας καὶ τῆς καινῆς· ἐν οἷς γὰρ συμφωνοῦσιν αἱ δύο διαθῆκαι, ὡς μηδὲν εἶναι διάφωνον ἐν αὐταῖς τῆς ἑτέρας πρὸς τὴν ἑτέραν, ἐν τούτοις εὑρεθεῖεν ἂν εὐχαὶ ὡς περὶ παντὸς πράγματος οὗ ἐὰν αἰτήσωνται, γενέσθαι αὐτοῖς παρὰ τοῦ ἐν οὐρανοῖς πατρός. εἰ δὲ καὶ τὸν συναγωγέα τῶν δύο τρίτον ποθεῖς, μὴ ὄκνει λέγειν αὐτὸ εἶναι τὸ ἅγιον πνεῦμα, ἐπεὶ »λόγοι σοφῶν« (εἴτε τῶν πρὸ τῆς παρουσίας εἴτε τῶν κατ᾽ αὐτὴν καὶ μετ᾽ αὐτήν) εἰσὶν »ὡς τὰ βούκεντρα καὶ ὡς ἧλοι πεφυτευμένοι, οἵ παρὰ τῶν συνθεμάτων ἐδόθησαν ἐκ ποιμένος ἑνός«. μηδὲ τοῦτο δὲ ἀπαρατήρητον ἐάσῃς, ὅτι οὐκ εἶπεν· οὗ δύο εἰσὶν ἢ τρεῖς συνηγμένοι, ἐκεῖ ἔσομαι ἐν μέσῳ αὐτῶν, ἀλλ᾽ ἐκεῖ εἰμι, οὐ μέλλων οὐδὲ βραδύνων, ἀλλ᾽ ἅμα τῇ συμφωνίᾳ καὶ αὐτὸς εὑρισκόμενος καὶ ἐν μέσῳ γινόμενος αὐτῶν.

Τότε προσελθὼν ὁ Πέτρος εἶπεν αὐτῷ· κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ (18, 21 [22]); τὸ νομίζειν ἁπλούστερον εἰρῆσθαι ταῦτα, ὑπὸ μὲν Πέτρου ὡς αἱρουμένου ἑπτὰ μὲν ἁμαρτίας τῷ ἀδελφῷ ἀφιέναι ἁμαρτάνοντι εἰς αὐτόν, ὀγδόην δὲ μηκέτι, ὑπὸ δὲ τοῦ σωτῆρος ὡς διδάσκοντος καθεζόμενόν τινα ἀριθμεῖν τὰ ἁμαρτήματα τοῦ πέλας εἰς αὐτόν, ἵνα τὰ μὲν <ἑπτὰ καὶ τὰ> ἑβδομήκοντα καὶ ἑπτὰ συγχωρῇ ἀπὸ δὲ ἑβδομηκοστοῦ ὀγδόου μὴ ἀφῇ τῷ ἠδικηκότι αὐτόν, πάνυ μοι δοκεῖ εὔηθες εἶναι καὶ ἀνάζιον καὶ τῆς Πέτρου παρὰ τῷ Ἰησοῦ προκοπῆς καὶ τῆς τοῦ Ἰησοῦ θείας μεγαλονοίας. μήποτ᾽ οὖν καὶ ταῦτα ἔχεται συγγενοῦς ἀσαφείας τῷ »ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ« καὶ τὰ ἑξῆς. τὸν μὲν οὖν ἀληθῆ καὶ ὡς αὐτὸς ἂν ἐσαφήνισεν ὁ Ἰησοῦς εἰς ταῦτα λόγον, εἴ τις ἤδη φίλος γέγονε τῷ Ἰησοῦ, ὡς μαθητεύεσθαι τῷ πνεύματι αὐτοῦ φωτίζοντι τὸ ἡγεμονικὸν τοῦ ἐπὶ τοσόνδε προελθόντος κατ᾽ ἀξίαν, εἰδείη ἄν. ἡμεῖς δέ, οἱ τοῦ φιλικοῦ πρὸς τὸν Ἰησοῦ μεγέθους ἀπολειπόμενοι, ἀγαπητόν, εἰ κἂν περιλαλῆσαι ἐπὶ βραχὺ δυνάμεθα τὰ κατὰ τὸν τόπον. ἔοικεν οὖν ὁ μὲν ἓξ ἀριθμὸς ἐργαστικός τις εἶναι καὶ ἐπίπονος, ὁ δὲ ἑπτὰ περιέχειν ἀνάπαυσιν, καὶ πρόσχες, εἰ δύνασαι τὸν μὲν ἀγαπῶντα »τὸν κόσμον« καὶ τὰ τοῦ κόσμου ἐργαζόμενον καὶ Ὑλικὰ πράττοντα λέγειν ἁμαρτάνειν ἑξ<άκις>,

καὶ τὸ τέλος αὐτῷ εἶναι τῆς ἁμαρτίας τὸν Πέτρον νενοηκότα ἑπτὰ συγκωρεῖν ἐθέλειν ἁμαρτίας τῶν εἰς αὐτὸν ἡμαρτημένων τῷ ἀδελφῷ. ἐπεὶ δὲ αἱ κατὰ τὰς μονάδας δεκάδες καὶ ἑκατοντάδες λόγον μέν τινα κοινὸν ἀναλογίας ἔχουσι πρὸς τὸν ἐν μονάσιν ἀριθμόν, ᾔδει δὲ ἐπιτεινόμενόν τινα καὶ <ἐπὶ> πλεῖον <τὰ ἁμαρτήματα>, διὰ τοῦτ’ οἶμαι τὸν Ἰησοῦν προσπαραλαμβάνειν τῷ ἑπτὰ ἀριθμῷ καὶ τὸν ἑβδομήκοντα, καὶ λέγειν ἄφεσιν μὲν δεῖν γενέσθαι ἀδελφοῖς τοῖς ἐνταῦθα καὶ εἰς τὰ τῇδε πράγματα ἁμαρτήσασιν· εἰ δέ τις ὑπερὰς τὰ κατὰ τὸν κόσμον καὶ τὸν αἰῶνα τοῦτον ἁμαρτήσαι, ἐὰν καὶ τοῦτο μικρόν τι ᾖ, οὐκέτι ἂν ἔχοι εὔλογον ἁμαρτιῶν ἄφεσιν. 30 4ff Vgl. Hanak TU. 42, 4, 111 A. 4 – 4 – 284,3 Vgl. C1 Nr. 210 Or. – ἡ γὰρ ἄφεσις ἐπὶ τὰ τῇδε φθάνει πράγματα καὶ ἐν τοῖς τῇδε ἡμαρτημένοις <δικαίως παρέχεται>, εἴτε βράδιον γένοιτ’ ἂν ἡ ἄφεσις εἴτε τάχιον. οὐκ ἔστι δὲ ἄφεσις οὐδὲ ἀδελφῷ τῷ ὑπὲρ τὰ ἑβδομήκοντα καὶ ἑπτὰ ἡμαρτηκότι. εἴποις δ’ ἂν τὸν τοιόνδε ἁμαρτάνοντα ἢ ὡς εἰς Πέτρον ἀδελφὸν ἢ ὡς εἰς Πέτρον, οὗ μὴ κατισχύουσιν »ᾅδου πύλαι«. κατὰ μὲν τὰ τοιάδε ἁμαρτήματα ἐν τῷ ἐλάττονι εἶναι αὐτὸν ἀριθμῷ τῆς ἁμαρτίας· κατὰ δὲ τὰ ἔτι χείρονα ἐν τῷ ἀριθμῷ μὴ ἔχοντι ἄφεσιν ἁμαρτημάτων.

6. Διὰ τοῦτο λέγω ὑμῖν· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ (18,23[–35]).

Ἡ μὲν περίνοια τῆς παραβολῆς διδάσκειν βούλεται συγχωρητικοὺς εἶναι τῶν εἰς ἡμᾶς ἡμαρτημένων τοῖς ἀδικήσασιν ἡμᾶς, καὶ μάλιστα εἰ μετὰ τὸ ἀδικῆσαι δέοιτο τοῦ ἠδικημένου ὁ ἀδικήσας, συγχωρηθῆναι ἀξιῶν αὐτῷ τὰ προημαρτημένα. καὶ ταῦτα διδάσκειν ἡμᾶς βούλεται ἡ παραβολὴ παριστᾶσα ὅτι καὶ τῶν ἤδη συγχωρηθέντων ἡμῖν ὑπὸ τοῦ θεοῦ ἁμαρτημάτων, ἐφ’ οἷς ἄφεσιν εἰλήφαμεν, ἔκπραξις γένοιτ’ ἂν καὶ μετὰ τὴν ἄφεσιν, εἰ μὴ ἀφίοιμεν τοῖς ἡμᾶς ἠδικηκόσι τὰ ἁμαρτήματα αὐτῶν, ὡς μηδὲ τὴν τυχοῦσαν μνήμην ἔτι ἐν ἡμῖν καταλείπεσθαι τοῦ ἠδικῆσθαι. ἀλλ’ ὅλῃ καρδίᾳ ὑπὸ ἀμνησικακίας ὠφελημένῃ (οὐ τῆς τυχούσης ἀρετῆς) συγχωροῖμεν τῷ ἡμᾶς ἀδικήσαντι τὰ κακῶς εἷς τινα ἡμῶν ἀπ’ αὐτοῦ καὶ ἐπιβουλευτικῶς πεπραγμένα.

Μετὰ δὲ τὴν περίνοιαν τῆς παραβολῆς ἔστι μὲν καὶ ἁπλούστερον κατὰ λέξιν πᾶσαν αὐτὴν ἐξετάσαι, ὥστ’ ὄνασθαι ἀπὸ τῆς βασάνου τῶν λελεγμένων τὸν ἐπιμελῶς ἐπί τὸ ὀρθῶς ζητεῖν ἕκαστον τῶν προγεγραμμένων προκόπτοντα. ἔστι δὲ (ὡς εἰκὸς) καὶ ἐπαναβεβηκυῖα διήγησις καὶ δυστέκμαρτός τις μυστικωτέρα, καθ’ ἣν ἀνάλογον ταῖς ἑρμηνευθείσαις ὑπὸ τῶν εὐαγγελιστῶν παραβολαῖς ζητήσαι τις ἄν ἕκαστον τῶν ἐν ταύτῃ. οἷον τίς ὁ βασιλεὺς καὶ τίνες οἱ δοῦλοι καὶ τίς ἡ ἀρχὴ τοῦ συναίρειν λόγον καὶ τίς ὁ εἷς πολλῶν ὀφειλέτης ταλάντων, τίς τε ἡ γυνὴ αὐτοῦ καὶ τίνα τὰ τέκνα καὶ τίνα τὰ παρὰ ταῦτα λελεγμένα πάντα, ἅτινα ἐκέλευσεν ὁ βασιλεὺς πραθῆναι ὑπὲρ τοῦ ἀποδοθῆναι τὴν ὀφειλὴν ἐκ τῶν ὑπαρχόντων ἐκείνου, τί τε τὸ ἐξελθεῖν τὸν συγκεχωρημένον τὰ πολλὰ τἀλαντα καὶ τίς ὁ εὑρεθεὶς τῶν <συν-> δούλωνεἷς, οὐ τῷ οἰκοδεσπότῃ ἀλλὰ τῷ συγκεχωρημένῳ <δούλῳ> ὀφείλων, καὶ τί βούλεται ὁ ἀριθμὸς τῶν ἑκατὸν δηναρίων, τί δὲ τὸ

ἔπνιγε λέγων· ἀπόδος εἴ τι ὀφείλεις, καὶ τίς ἡ φυλακὴ εἰς ἣν ἀπελθὼν ἔβαλε τὸν σύνδουλον ὁ συγχωρηθεὶς πάντα τὰ τάλαντα, τίνες τε οἱ λυπηθέντες σύνδουλοι καὶ διασαφήσαντες τῷ τάλαντα, τίνες τὰ γενόμενα, καὶ τίνες οἱ βασανισταὶ οἷς παρεσόθη ὁ εἰς φυλακὴν τὸν σύνδουλον βαλών; καὶ πῶς ἀπέδωκε παραδοθεὶς τοῖς βασανισταῖς πᾶν τὸ ὀφειλόμενον, ὡς μηδὲν ὀφείλειν ἔτι; εἰκὸς δὲ καὶ ἄλλα τινὰ δύνασθαι ἄν ὑπὸ τοῦ ἐξεταστικωτέρου προσαχθῆναι τῷ λόγῳ, ὧν τὴν διήγησιν καὶ τὴν ἑρμηνείαν μείζονα ἤ »κατὰ ἄνλθρωπον« εἶναι νομίζω καὶ δεομένην πνεύματος Χριστοῦ τοῦ εἰπόντος αὐτά, ἵνα ὡς εἶπεν ὁ Χριστὸς νοηθῇ. ὡς γὰρ οὐδεὶς »οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπον εἰκὸς μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπον τὸ ἐν αὐτῷ, καὶ οὐδεὶς οἶδε τὰ τοῦ θεοῦ εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ«, οὕτως οὐδεὶς οἶδε (μετὰ τὸν θεὸν) τὰ ὑπὸ τοῦ Χριστοῦ λελαλημένα ἐν παροιμίαις καὶ παραβολαῖς εἰ μὴ τὸ Χριστοῦ πνεῦμα, οὗ ὁ μετέχων οὐ μόνον καθὸ Χριστοῦ ἐστι πνεῦμα, ἀλλὰ καὶ καθὸ Χριστοῦ ὡς σοφίας <καὶ> ὡς λόγου, θεωρήσαι ἄν τὰ κατὰ τὸν τόπον αὐτῷ ἀποκαλυπτόμενα. ἀλλὰ περὶ μὲν τῆς ἀνωτάτω διηγήσεως οὐκ ἐπαγγελλόμεθα μὲν οὐ μὴν οὐδ' ἀπελπίζομεν, ὑπὸ Χριστοῦ, ὅς ἐστι σοφία θεοῦ, βοηθούμενοι καταλαβεῖν τὰ ἐν τῇ παραβολῇ δηλούμενα· πότερον δὲ ὥστε καὶ ὑπαγορευθῆναι τὰ τοιαῦτα τῇδε τῇ γραφῇ ἤ μή, θεὸς ἄν ὑποβάλοι ἐν χριστῷ ποιῆσαι τὸ ἀρεστὸν αὐτῷ, μόνον ἵνα δοθῇ καὶ περὶ τούτων ὁ »διὰ τοῦ πνεύματος« διδόμενος »λόγος σοφίας« ἀπὸ τοῦ θεοῦ καὶ ὁ »κατὰ τὸ πνεῦμα« ἐπιχορηγούμενος »λόγος γνώσεως«.

Ὠμοιώθη (φησὶν) ἡ βαϵξῆς. εἰ δὲ βασιλεῖ ὠμοιώθη τοιῷδε καὶ τοιάδε πεποιηκότι, τίνα χρὴ λέγειν ἤ τὸν υἱὸν τοῦ θεοῦ; αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν οὐρανῶν, καὶ ὥστερ αὐτός ἐστιν ἡ αὐτοσοφία καὶ ἡ αὐτοδικαιοσύνη καὶ ἡ αὐτοαλήθεια, αὕτω μήποτε καὶ ἡ αὐτοβασιλεία. βασιλεία δὲ οὐ τῶν κάτω τινὸς οὐδὲ μέρους τῶν ἄνω, ἀλλὰ πάντων τῶν ἄνω, ἅτινα ὠνομάσθησαν οὐρανοί. κἄν ζητῇς δὲ πῶς »αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν«, δύνασαι λέγειν ὅτι αὐτῶν ἐστιν ὁ Χριστός, καθὸ αὐτοβασιλεία ἐστίν, βασιλεύων καθ' ἑκάστην ἐπίνοιαν αὐτοῦ τοῦ μηκέτι βασιλευομένου ὑπὸ τῆς ἁμαρτίας, βασι- iam nunc propositam exposi-tionem tangamus. λευούσης »ἐν τῷ θνητῷ σώματι« τῶν ἑαυτοὺς ὑποταξάντων αὐτῇ. καὶ ἐὰν λέγω· βασιλεύων καθ' ἑκάστην επίνοιαν αὐτοῦ, τοιοῦτόν τι δηλῶ· βασιλεύων, ᾗ δικαιοσύνη ἐστὶ καὶ ᾗ σοφία καὶ ᾗ ἀλήθεια καὶ αἱ λοιπαὶ ἀρεταί, τοῦ γενομένου (διὰ τὸ φορεῖν »τὴν εἰκόνα τοῦ ἐπουρανίου«) οὐρανοῦ καὶ πάσης δυνάμεως, εἴτε ἀγγελικῆς εἴτε τῶν λοιπῶν ὀνομαζομένων »οὐ μόνον ἐν τούτῳ τῷ αἰῶνι ἀλλὰ καὶ ἐν τῷ μέλλοντι« ἁγίων καὶ ἀξίων τῆς τοιαύτης βασιλείας. αὕτη τοίνυν ἡ βασιλεία τῶν οὐρανῶν, ἡνίκα »ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας« ἐγένετο, ἵνα »περὶ ἁμαρτίας« κατακρίνῃ »τὴν ἁμαρτίαν«, ἡνίκα »μὴ γνόντα« αὐτὸν »ἁμαρτίαν ἐποίησεν ὑπὲρ ἡμῶν ἁμαρτίαν« τῶν »τῆς ἁμαρτίας« ἡμῶν φορούντων σῶμα, ὡμοιώθη ἀνθρώπῳ βασιλεῖ τῷ κατὰ τὸν Ἰησοῦν νοουμένῳ, ἑνωθεῖσα αὐτῷ, πλεῖον (εἰ δεῖ οὕτω τολμήσαντα εἰπεῖν) ἔχοντι πρὸς τὸ ἡνῶσθαι καὶ πάντη ἓν γενέσθαι τῷ πρωτοτόκῳ »πάσης κτίσεως«, εἰ »ὁ κολλώμενος τῷ κυρίῳ« »ἓν πνεῦμα« πρὸς αὐτὸν γίνεται. αὕτη δὲ ἡ ὁμοιωθεῖσα βασιλεία τῶν

οὐρανῶν τῷ κατὰ τὸν σωτῆρα νοουμένῳ ἀνθρώπῳ βασιλεῖ καὶ ἐνωθεῖσα αὐτῷ προληπτικῶς λέγεται, ὅτιἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. <οὔπω μὲν γὰρ συνῆρε>, μέλλει δὲ συναίρειν λόγον μετ’ αὐτῶν, ἵνα φανῇ ὅπως ἕκαστος τοῖς τοῦ οἰκοδεσπότου δοκίμοις ἀργυρίοις καὶ νομίσμασι λογικοῖς ἐχρήσατο. καὶ ἐλήφθη γε ἐν τῇ παραβολῇ τὸ παράδειγμα ἀπὸ τῶν συναιρόντων δεσποτῶν λόγον μετὰ τῶν ἰδίων δούλων.

Ἀκριβέστερον δὲ νοήσομεν τὸ τῆς παραβολῆς ἐν τούτος δηλούμενον μενον ἐρείσαντες αὐτῶν τὴν διάνοιαν τοῖς γινομένοις παρὰ τοῖς οἰκονομήσασι δεσποτικὰ χρήματα οἰκέταις καὶ λόγον περὶ αὐτῶν ἀπαιτουμένοις· ἕκαστος γὰρ ἐκείνων ἀπὸ τῶν δεσποτικῶν διαφόρως λαμβάνων χρημάτων κέχρηται αὐτοῖς ἤτοι εἰς δέον, ὥστε αὐξάνειν τὰ δεσποτικὰ χρήματα, ἢ ἀσώτως ἀναλίσκων εἰς ἃ μὴ δεῖ καὶ ἐκχέων ἀκρίως χωρὶς εὐλαβείας τὰ ἐγκεχειρισμένα. εἰσὶ δὲ οἵ τάδε μὲν καὶ τὰ τοσάδε καλῶς ᾠκονόμησαν χρήματα ἕτερα δὲ ἀπολωλέκασι, καὶ ματα ἕτερα δὲ ἀπολωλέκασι, καὶ ἡνίκα ἄν διδῶσι τὸν λόγον συναίροντος αὐτὸν τοῦ δεσπότου μετ’ αὐτῶν, συνάγεται μὲν πόσον ἐζημιώθη ἕκαστος ἀριθμεῖται δὲ καὶ πόσον κέρδος προσήγαγε, καὶ κατὰ τὴν ἀξίαν τοῦ πῶς ᾧ κονόμησεν ἤτοι τιμᾶται ἢ ἐκπράσσεται ἢ ἔπὶ τινῶν μὲν συγχωρεῖται ἐπὶ τινῶν δ’ ἀφαιρεῖται. φέρε τοίνυν ἀπὸ τῶν εἰρημένων πρῶτον ἴδωμεν τὰ λογικὰ νομίσματα καὶ δόκιμα τοῦ δεσπόντου ἀργύρια, ἅπερ ὁ μέν τις πλείονα ἕτερος δ’ ἐλάττονα λαμβάνει. κατὰ γὰρ τὴν ἑκάστου δύναμιν ᾗ μὲν δίδονται »πέντε τάλαντα«, ὡς δυναμένῳ διοικεῖν τὰ τοσαῦτα, ἄλλῳ »δὲ δύο«, ὡς μὴ χωροῦντι τὰ τοῦ πρὸ αὐτοῦ, ἄλλῳ »δὲ ἕν«, ὡς καὶ τοῦ ἑτέρου ὑποδεεστέρῳ. ραί εἰσιν, ἢ αὗται μὲν περί τινων ἐν τοῖς ἑξῆς τοῦ εὐαγγελίου λέγονται, σὲσὶ δὲ καὶ ἄλλαι παρὰ τούτας; καὶ ἐπ’ ἄλλαις παραβολαῖς εὑρίσκονταί τινες, τῇ μὲν ὀφελέται δύο, ὁ μὲν πεντακοσίων ὁ δὲ πεντήκοντα δηναρίων, ἤτοι παῦτα πιστευθέντες καὶ κακῶς οἰκονομήσαντες (ἐλάττους τῇ δυνάμει τοῦ τὸ τάλαντον πεπιστευμένου), ἢ *** ὅτι μὲν εἰλήφασιν οὗτοι, οὐ μεμαθήκαμεν, ὅτι δὲ τοσοῦτον ὤφειλον, ἀπὸ τῆς παραβολῆς δεδιδάχθαι δοκοῦμεν. εὑρίσκονται καὶ ἄλλοι δέκα δοῦλοι πιστευόμενοι μνᾶς ἕκαστος ἀνὰ μίαν. καὶ εἴ τις δὴ κατανοήσαι τὸ ποικίλον τῆς ἀνθρωπίνης ψυχῆς καὶ τὰς πολλῷ διαφερούσας ἀλλήλων εὐφυΐας καὶ ἀφυΐας εἰς πλείονας τῶν ἀρετῶν ἢ ἐλάττονας καὶ τάσδε τὰς ἀρετὰς ἢ τάσδε. τάχε ἂν ἐννοήσαι πῶς ἑκάστη ψυχὴ ἐλήλυθε μετά τινων τοῦ οἰκοδεσπότου νομισμάτων <εἰς τὸν κόσμον τοῦτον>, ἀναφαινομένων μετὰ τῆς τοῦ λόγου συμπληρώσεως καὶ τῆς ἑξῆς τῇ συμπληρώσει τοῦ λόγου ἐπιμελείας καὶ ἀσκήσεως, τῆς πρὸς τὰ δέοντα, ἢ ἐπιμελείας μὲν καὶ ἀσκήσεως. τῆς πρὸς ἄλλα δὲ ἤτοι χρήσιμα (ὁποῖά ἐστι τὰ ἐπιτηδεύματα), ἢ πῆ μὲν χρήσιμα πῆ δὲ οὐ χρήσιμα (ὁποῖά ἐστι τὰ μήτε πάντη ἀληθῆ δόγματα μήτε δι’ ὅλων ψευδῆ).

Ζητήσεις δὲ τούτοις, πότερον πάντες δύνανται ἄνθρωποι δοῦλοι τούτου λέγεσθαι τοῦ βασιλέως, ἢ τινὲς μὲν δοῦλοι, »οὓς προέγνω καὶ προώρισεν«, ἕτεροι δέ <οὐ δοῦλοι ἀλλ’> οἱ τοῖς δούλοις συμπραγματευόμενοι λεγόμενοι τραπεζῖται. καὶ οὕτω δὲ ζητήσεις, εἰ ἔξω τῶν δούλων εἰσὶν ἀφ’ ὧν μετὰ τόκων ἐκπράττειν ἐπαγγέλλεται ὁ οἰκοδεσπότης, οὐ μόνον ἀλλότριοι τῆς θεοσεβείας, ἀλλὰ καί

τινες τῶν πιστευόντων. δοῦλοι δὲ μόνοι οἱ τοῦ λόγου οἰκονόμοι ***. συναίρων δὲ λόγον μετὰ τῶν δούλων ὁ βασιλεὺς ἀπαιτεῖ καὶ τοὺς ἀπὸ τῶν δούλων δεδανεισμένους, εἴτε »ἑκατὸν κόρους σίτου«, εἴτε »ἑκατὸν βάδους ἐλαίου«, εἴτε ὅ τι δήποτε εἰληφότας τοὺς ἔξω τῆς τοῦ βασιλέως οἰκετίας· οὐ γὰρ σύνδουλος »τοῦ οἰκονόμου τῆς ἀδικίας« εὑρίσκεται κατὰ τὴν παραβολὴν ὁ τοὺς ἑκατὸν ὀφείλων τοῦ σίτου κόρους καὶ τοὺς ἑκατὸν τοῦ ἐλαίου βάδους, ὡς δῆλον ἐκ τοῦ »πόσον ὀφείλεις τῷ κυρίῳ μου; « <καὶ οὐκ εἶπε· »τῷ κυρίῳ« ἡμῶν>. νόει δέ μοι ἑκάστην πρᾶξιν ἐοικέναι ἀγαθὴν μὲν ἢ καθήκουσαν κέρδει καὶ ἐπιγεννήματι, μοχθηρὰν δὲ ζημίᾳ· καὶ ὥσπερ ἐστί τι κέρδος πλειόνων ἀργυρίων καὶ ἄλλο ἐλαττόνων καὶ διαφόρως πλειόνων καὶ ἐλαττόνων καὶ διαφόρως πλειόνων καὶ ἐλαττόνων, οὕτως κατὰ τὰς καλὰς πράξεις οἱονεὶ συντίμησίς ἐστι κερδῶν πλειόνων ἢ ἐλαττόνων [ὸ] *** τοῦ μόνου ἐπισταμένου τὰ τοιαῦτα ἐξετάζειν (ὁρῶντος ἀπὸ τῆς διαθίσεως καὶ τοῦ λόγου καὶ τῆς πράξεως καὶ τῶν συνεργούντων τοῖς ἐφ᾽ ἡμῖν ἐκ τῶν οὐκ ἐφ᾽ ἡμῖν) <καὶ> λογίσασθαι ποῖον μὲν ἔργον μέγα κέρδος ἐστί, ποῖον δὲ ἔλαττον, ποῖον δὲ ἐλάχιστον, οὕτω δὲ καὶ ἐπὶ τῶν ἐναντίων ποῖον μὲν ἁμάρτημα ἐν τῷ συναίρεσθαι λόγον τοῖς δούλοις εὑρίσκεται μεγάλη ζημία, ποῖον δὲ ἐδλάττων καὶ ποῖον (εἰ δεῖ οὕτως ὀνομάσαι) ζημία τοῦ ἐσχάτου λεπτοῦ ἢ τοῦ ἐσχάτου κοδράντου. ὅλου τοίνυν καὶ παντὸς τοῦ βίου συναίρεται ὑπὸ τῆς εἰρημένης βασιλείας τῶν οὐρανῶν (ὁμοιωθείσης ἀνθρώπῳ βασιλεῖ) λόγος, ὅτε »τοὺς πάντας ἡμᾶς παραστῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον«· καὶ τότε, συναιρομένου λόγου, ἀχθήσεται εἰς τὸν συναιρόμενον λόγον καὶ »πᾶν ῥῆμα ἀργὸν ὃ ἂν λαλήσωσιν οἱ ἄνθρωποι« καὶ εἴ ποτέ τις ἐπότισε »ποτήριον ὕδατος ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ«.

Καὶ ταῦτα ἔσται, ἡνίκα ἂν <γίνηται> τὸ παρὰ τῷ Δανιὴλ γεγραμμένον τὸ »βίβλοι ἠνῴχυγσαν, καὶ κριτήριον ἐκάθισεν«. οἱονεὶ γὰρ πάντων τῶν λελαλημένων καὶ <τῶν> πεπραγμένων καὶ τῶν νενοημένων ἀναγραφή τις γίνεται, καὶ θείᾳ δυνάμει πᾶν κρυπτὸν ἡμῶν φανερωθήσεται καὶ πᾶν κεκαλυμμένον ἀποκαλυφθήσεται, ἵν᾽ ἐπὰν <μὲν> μὴ εὑρεθῇ τις δεδωκὼς »ἐργαςίαν ἀπηλλάχθαι« τοῦ ἀντιδίκου, ὀδεύσῃ διὰ τοῦ ἄρχοντος, τοῦ κριτοῦ καὶ τοῦ ὑπηρέτου ἐπὶ τὴν φυλακήν, ἕως τὸν ἔσχατον λεπτὸν ἀποδῷ, ἐπὰν δὲ ᾖ δοὺς »ἐργαςίαν ἀπηλλάχθαι« ἐκείνου καὶ »μηδενὶ μηδὲν« ὀφείλων, καὶ ἤδη τὴν μνᾶν δεκαπλασιάσας ἢ πενταπλασιάσας ἢ τὰ »πέντε τάλαντα« διπλασιάσας ἢ τὰ »δύο« τέσσαρα ποιήσας τύχῃ τῆς δεούσης ἀμοιβῆς, εἰσερχόμενος »εἰς τὴν χαρὰν τοῦ κυρίου« αὐτοῦ ἢ »ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ« καθιστάμενος ἢ ἀκούων »ἴσθι ἐξουςίαν ἔχων ἐπάνω δέκα πόλεων« ἢ »ἴσθι ἐξουςίαν ἔχων ἐπάνω πέντε πόλεων«. ταῦτα δὲ ἡμεῖς μὴ ὡς χρόνου πολλοῦ δεόμενα, ἵνα συναρθῇ ἡμῖν περὶ τῶν ὅλων χρόνων τῆς ἐνταῦθα ζωῆς λόγος, νομίζωμεν λέγεσθαι, ὥστ᾽ ἂν ὑπολαβεῖν τοῦ βασιλέως δούλων λόγον τοσούτου χρόνου δεῖσθαι τὰ πράγματα, ἕως ἐπὶ τὸ τέλος ἔλθῃ τὰ ἀπὸ τῆς ἀρχῆς τοῦ κόσμου ἕως τῆς συντελείας [τοῦ] αἰῶνος οὐχ ἑνός, ἀλλὰ καὶ πλειόνων αἰώνων ***. τὸ δὲ ἀληθὲς οὐχ οὕτως ἔχει. ἀθρόως γὰρ. βουληθεὶς ὁ θεὸς ἀναρριπίσαι

ἐν ταῖς πάντων μηήμαις (ὑπὲρ τοῦ ἕκαστου τῶν ἰδίων συναισθηθῆναι κρεῖττον ἢ χεῖρον πεπραγμένων) πάντα τὰ παρ' ὅλον τὸν χρόνον γενεημένα ἑκάστῳ, ποιήσαι ἄν δυνάμει ἀφάτῳ. οὐ γὰρ ὥσπερ ἡμεῖς βουλόμνενοι ὑπόμνησίν τινων ποιῆσαι δεόμεθα χρόνου διαρκοῦς πρὸς τὴν διέξοδον τῶν ὑφ' ἡμῶν λεγομένων καὶ φερόντων εἰς ἀνάμνησιν ὧν βουλόμεθα ἀναμνῆσαι, οὕτως ὁ θεὸς βουληθεὶς ἡμᾶς ὑπομνῆσαι τῶν ἐν τῷ βίῳ τούτῳ πεπραγμένων, ἵνα συναισθηθέντες ὧν πεποιήκαμεν καταλάβωμεν δι' ἅ κολαζόμεθα ἢ τιμώμεθα, ποιήσαι ἄν. εἰ δέ τις τῷ τάχει τῆς τοῦ θεοῦ περὶ ταῦτα δυνάμεως ἀπιστεῖ, οὗτος οὐδέπω νενόηκε τὸν ποιήσαντα τὰ ὅλα θεὸν οὐ δεηθέντα χρόνων εἰς τὸ ποιῆσαι τὴν τηλικαύτην οὐρανοῦ καὶ γῆς καὶ <πάντων> τῶν ἐν αὐτοῖς κτίσιν. κἄν γὰρ δοκῇ ἐν ἕξ ἡμέραις ταῦταπεποιηκέναι, συνέσεως χρεία πρὸς τὸ νοῆσαι πῶς λέγεται τὸ ἐν ἕξ ἡμέραις διὰ τοῦτο· »αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς« καὶ τὰ ἑξῆς. τοληματέον οὖν καὶ λεκτέον, ὅτι ὁ τῆς προσδοκωμένης κρόσεως καιρὸς οὐ δεῖται χρόνων, ἀλλ' ὡς ἡ ἀνάστασις λέγεται γίνεσθαι »ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ«, οὕτως (οἶμαι) καὶ ἡ κρίσις.

Μετὰ ταῦτα λεκτέον εἰς τὸ ἀρξαμένου δὲ αὐτοῦ συναίρειν λόγον, προσήχθη αὐτῷ εἷς ὀφειλέτης πολλῶν ταλάντων. ὅπερ τοιοῦτόν μοι δοκεῖ ἔχειν νοῦν· ὁ μὲν »καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα« ἐστὶν ἀρχόμενος »ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ«, εἰπόντος (ὡς καὶ ἐν τῷ Ἰεζεκὴλ γέγραπται) τοῖς <ἀγγέλοις τοῖς> ἐπὶ τῶν κολάσεων τεταγμένοις· »ἀπὸ τῶν ἁγίων μου ἄρξασθε«, καὶ »ῥιπῇ ὀφθαλμοῦ« ἐοικώς εἰσιν, ὁ δὲ τοῦ συναίρειν λόγον τὴν ἀρχὴν ἔχει (ἐπινοίᾳ λαμβανομένην· οὐ γὰρ ἐπιλελήσμεθα τῶν προειρημένων) ἀπὸ τῶν ὀφειλόντων πλείονα· διόπερ οὐ γέγραπται μὲν συναίροντος δὲ αὐτοῦ λόγον, εἴρηται δὲ ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη (ἐν τῇ ἀρχῇ τοῦ συναίρειν αὐτὸν λόγον) εἷς ὀφειλέτης πολλῶν ταλάντων ὡς μυρία ὅσα ζημιωθεὶς καὶ μεγάλα μὲν ἐγκεχειρισμένος καὶ πιστευθεὶς πολλά, μηδὲν δὲ κέρδος προσαγαγὼν τῷ δεσπότῃ, ἀλλὰ μυρία ὅσα ζημιωθείς, ὥστε αὐτὸν ὀφείλειν πολλὰ τάλαντα. καὶ τάχα διὰ τοῦτο πολλὰ ὤφειλε τάλαντα, ἐπείπερ ἠκολούθησε πολλάκις τῇ ἐπὶ τὸ τάλαντον τοῦ μολίβου καθημέωῃ γυναικί, ᾗ ὄνομα Ἀνομία. νόει δὲ κατὰ τὸν τόπον ἕκαστον μέγιστον ὁμάρτημα ταλάντων εἶναι ζημίαν οἰκοδεστποτικῶν, καὶ τοιαῦτα ἁμαρτάνουσι πόρνοι, μοιχοί, ἀρσενοκοῖται, μαλακοί,εἰδωλολάτραι, φονεῖς. οὐδὲν οὖν τάχα μικρὸν ἀλλὰ πάντα μενάλα καὶ χαλεπὰ ἥμαρτεν ὁ προσαχθεὶς τῷ βασιλεῖ εἷς ὀφειλέτης πολλῶν ταλάντων, ὅντινα εἰ μὲν ἐν ἀνθρώποις ζητήσεις, ἴσως ἄν αὐτὸν εὕροις ὄντα τὸν ἄνθρωπον »τῆς ἁμαρτίας«, τὸν υἱὸν »τῆς ἀπωλείας«, τὸν ἀντικείμενον καὶ ἐπαιρόμενον »ἐπὶ πάντα θεὸν ἢ σέβασμα«· εἰ δὲ ἔξω ἀνθρώπων, τίς ἄν εἴη οὗτος ἢ ὁ διάβολος τοσ <αὐτα τάλαντα ὅσους> ἀνθρώπους ἀπολωλεκὼς δεξαμένους αὐτὸν ἐνεργοῦντα τὴν ἁμαρτίαν; »μέγα γὰρ ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων«, τίμιον ὡς ταλάντου εἶναι ἄξιον ἤτοι χρυσοῦ (ὁποία ἡ λυχνία ἡ ταλαντιαία ἦν ἡ <ἐκ> χρυσοῦ) ἢ ἀργύρου ἢ ὁποίας δήποτε νοητῶς παραλαμβανομένης ὕπλης. ὧς σύμβολα ἐν τοῖς Λόγοις τῶν ἡμερῶν ἀναγέγραπται, Δαυΐδ πλουτήσαντος πολλοῖς ταλάντοις ὧν καὶ ὁ ἀριθμὸς δέδεικται, ταλάντοις

χρυσοῦ τοσοῖσδε καὶ ἀργύρου τοσοῖσδε καὶ τῆς λοιπῆς ὀνομαζομένης ἐκεὶ ὕλης, ἐξ ἧς κατεσκεύασται ὁ τοῦ θεοῦ νεώς.

Πλὴν μὴ ἔχων ἀποδοῦναι τὰ τάλαντα (ἀπολωλέκει γὰρ ταῦτα) ἔχει γυναῖκα καὶ τέκνα καὶ ἄλλα περὶ ὧς γέγραπται· πάντα ὅσα ἔχει. καὶ ἦν δυνατόν, πιπρασκόμενον αὐτὸν μετὰ τῶν ἰδίων εὐπορῆσαι, τοῦ ὠνησαμένου αὐτὸν καὶ πληρώσαντος διὰ τῆς τιμῆς αὐτοῦ καὶ τῶν αὐτοῦ πᾶν τὸ ὄφλημα· καὶ οἷόν τε ἦν αὐτὸν μηκέτι μὲν εἶναι δοῦλον τοῦ βασιλέως, γίνεσθαι δὲ τοῦ ὠνησαμένου. καὶ ἐπιδικάζεταί γε τοῦ μῆ πραθεὶς ἅμα τοῖς ἴδίοις μένειν ἐν τῇ τοῦ βασιλέως οἰκίᾳ· διὸ πεσὼν προσκυνεῖ αὐτῷ (θεὸν ἐπιστάμενος τὸν βασιλέα) καὶ λέγει· μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα ἀποδώσω σοι· ἦν γὰρ (εἰκὸς) καὶ δραστήροις, ὁρῶν ὅτι δύναται καὶ δευτέρων πράξεων ἀνπληρῶσαι πᾶν τὸ ἐνδεὲς ἀπὸ τῆς προτέρας ζημίας τῶν πολλῶν ταλάντοων. καὶ ὁ ἀγαθός γε βασιλεὺς οὗτος ἐσπλαγχνίσθη καὶ ἐπὶ τὸν ὀφειλέγην τῶν πολλῶν ταλάντων, καὶ τότε μὲν ἀπέλυσεν ἀυτόν, πλεῖόν τι χαρισάμενος αὐτῷ ἧς ἠξιώθη ἀξιώσεως. ὁ μὲν γὰρ ὀφειλέτης ἐπηγγείλατο μακροθυμήσαντι τῷ δεσπότῃ ἀποδοῦναι ἅπαντα τὰ ὀφειλήματα· ὁ δὲ σπλαγχνισθεὶς ἐπ' αὐτῷ κύριος (οὐκ ἐπὶ τῷ ἀπολαβεῖν ἐκ τοῦ μακροθυμεῖν) τότε ἀφῆκεν αὐτὸν <οὐ> μόνον, ἀλλὰ καὶ παντελῶς ἀπέλυσεν, καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ. ὁ δὲ πονηρὸς δοῦλος οὗτος καὶ μακροθυμίαν ἀπὸ τοῦ δεστπότου αἰτήσας ἐπὶ τοῖς πολλοῖς ταλάντοις ἀνηλεῶς πεποίηκεν. εὑρὼν γὰρ ἕνα τῶν συνδούλων αὐτοῦ, ὅς ὤφελιεν αὐτῷ ἑκατὸν δηνάρια, κρατήσας αὐτὸν ἔπνιγε λέγων· ἀπόδος εἴ τι ὀφείλεις, πῶς δὲ οὐχ ὑπερβολὴν πονηρίας ἐπεδείξατο, δι' ἑκατὸν δηνάρια κρατήσας τὸν σύνδουλον καὶ πνίγων καὶ ἀποστερῶν αὐτὸν ἐλευθέρας ἀναπνοῆς, αὐτὸς ἐπὶ τοῖς πολλοῖς ταλάντοις μήτε κρατηθεὶς μήτε πνιγείς, ἀλλὰ πρότερον μὲν κελευσθεὶς πραθῆναι ἅμα γυναικὶ καὶ τέκνοις καὶ τοῖς ἑαυτοῦ, ὕστερον δὲ (μετὰ τὸ προσκυνῆσαι) σπλαγχνισθέντος ἐπ' αὐτῷ τοῦ κυρίου ἀπολυθεὶς καὶ περὶ πάσης ἀφεθεὶς τῆς ἀφελῆς;

Καὶ ἔργον γε εἰπεῖν κατὰ τὸ βούλημα τοῦ Ἰησοῦ, τίς ἐστιν * * * ὁ εὑρεθεὶς σύνδουλος εἷς ὀφείλωψν, οὐ τῷ κυρίῳ ἑαυτοῦ ἀλλὰ τῷ πολλὰ ὀφείλοντι τάλαντα, ἑκατὸν δηνάρια, καὶ τίνες οἱ ἰδόντες τὸν μὲν πνίγοντα τὸν δὲ πνιγόμενον σύνδουλοι καὶ λυπηθέντες σφόδρα καὶ σαφῶς παραστήσαντες τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. ὡς μὲν οὖν <ἐπ'> ἀληθείας ἔχει τὰ πρόγματα, ἀποφαίνομαι μηδένα <δύνασθαι> διηγήσασθαι εἰ μὴ Ἰησοῦ, τοῦ »τοῖς ἰδίοις μαθηταῖς κατ' ἰδίαν«λύσαντος »πάντα«, ἐπισημήσαντος αὐτοῦ τῷ ἡγεμονικῷ καὶ ἀνοίγοντος τοὺς ἐν τ«παραβολῇ θησαυροὺς πάντας σκοτεινούς, ἀποκρύφους, ἀοράτους καὶ πληροφοροῦντος δι' ἐναργῶν ἀποδείζεων ὃν βούλεται φωτίσαι τῷ φωτὶ τῆς γνώσεως <πάντων> τῶν κατὰ τὴν παραβολὴν ταύτην, ἵν' ἅμα τε παραστήσῃ τίς ὁ εἷς προσαχθεὶς τῷ βασιλεῖ ἀνθρώπῳ ὀφειλέτης πολλῶν ταλάντων καὶ τὰ ἑξῆς, καὶ ὁ ὀφείλων τούτῳ τὰ ἑκατὸνν δηνάρια ἄλλος εἷς καὶ τὰ λοιπά, εἴτε δύναται εἶναι ὁ προαποδεδομένος »ἄνθρωπος τῆς ἁμαρτίας« εἴτε καὶ ὁ διάβολος εἴτε μηδέτερος μὲν τούτων, ἄλλος δέ τις ἤτοι ἄνθρωπος ἤ τῶν ὑπὸ τὸν διάβολόν τις. ἔστι γὰρ τῆς σοφίας τοῦ θεοῦ ἔργον καὶ τὰ περὶ τῶν ἰδίως ποιῶν ἤτοι πεποιωμένων κατὰ

τὰς τοιάσδε ποιότητας (εἴτε ἐν ἀοράτοις δυνάμεσιν, καὶ ἔν τισιν ἀνθρώποις) ἀποδοῦναι προφητευόμενα ὁπωσποτοῦν ὑπὸ τοῦ θείου πνεύματος ἀναγεγραμμένα. ὡς δὲ μηδέπων διαρκῆ νοῦν ἀναλαβόντες ἡμεῖς τὸν δυνάμενον ἀνακραθῆναι τῷ Χριστοῦ νῷ <καὶ> ἕως τῶν τοσούτων χωροῦντα φθάνειν καὶ μετὰ τοῦ πνεύματος »πάντα« ἐρευνᾶν »καὶ τὰ βάθη τοῦ θεοῦ«, οἰόμεθα, ἔτι ἀορίστως περὶ τῶν κατὰ τόν τόπον λαμβάνοντες φαντασίαν, ἐπί τινα ἕνα ἀναφέρεσθαι πονηρὸν δοῦλον διὰ τῆς παραβολῆς δηλούμενον τὸν ἐνταῦθα παριστάμενον περὶ τῆς τῶν πολλῶν ταλάντων ὀφειλῆς.

Πότε δὲ ὁ (κατὰ τὴν παραβολὴν) βασιλεὺς ἄνθρωπος ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, ἄξιον ἐπισκέψασθαι, καὶ ἐπὶ τίνα καιρὸν χρὴ ἀναφέρειν τὰ λεγόμενα. εἰ μὲν γὰρ μετὰ τὴν συντέλειαν ἢ ἐπ᾽ αὐτὴν (κατὰ τὸν τῆς προσδοκωμένης κρίσεως τὰ περὶ τοῦ ὀφείλοντος ἑκατὸν δηνάρια καὶ πνιγομένου ὑπὸ τοῦ συγχωρηθέντος τὰ πολλὰ τὰ λαντα; εἰ δὲ πρὸ τῆς κρίσεως. πῶς ἂν δύναιτό τις παραστῆσαι πρὸ ἐκείνης συναιρόμενον λόγον ὑπὸ τοῦ βασιλέως ἀνθρώπου μετὰ τῶν δούλων φρονεῖν περὶ πάσης παραβολῆς, ἧς μὴ ἀναγέγραπται ἡ διήγησις ὑπὸ τῶν εὐαγγελιστῶν, ὅτι καὶ Ἰησοῦς »τοῖς ἰδίοις μαθηταῖς κατ᾽ ἰδίαν ἐπέλυε πάντα« ὅτι καὶ διὰ τοῦτο ἀπέκρυψαν οἱ τὰ εὐαγγέλια γράφοντες τὴν σαφήνειαν τῶν παραβολῶν, ἐπεὶ μείζονα ἦν τὰ κατ᾽ αὐτὰς δηλούμενα τῆς τῶν γραμμάτων φύσεως. καὶ ἦν γε ἑκάστη λύσις καὶ ἡ σαφήνεια τῶν τοιούτων παραβολῶν τοιαύτη. ὡς μηδὲ αὐτὸν »τὸν κόσμον χωρεῖν τὰ γραφόμενα« εἰς τὰς τοιαύτας παραβολὰς »βιβλία«. γένοιτο δ᾽ ἀνευρεθῆναι καρδίαν ἐπιτηδείαν καὶ διὰ τὴν καθαρότητα χωροῦσαν τὰ γράμματα τῆς σαφηνείας τῶν παραβολῶν, ὥστε ἐν αὐτῇ γραφῆναι »πνεύμαιτ θεοῦ ζῶντος«. ἀλλ᾽ ἐρεῖ τις ὅιτ μήποτε ἀσεβοῦμεν οἱΙ θέλοντες (διατὸ ἀπόρρητόν τινων καὶ μυστικὸν) τῶν ὑπεράνω γραμμάτων εἶναι δηλωτικὰ ταῦτα 003C;καὶ> πειρώμενοι ταῦτα σαφηνίσαι, κἂν δοκῇ καθ᾽ ὑπόθεσιν. ὅτι ἔγνωμεν ἐπιμελῶς αὐτῶν τὸ βούλημα. λεκτέον δὲ καὶ πρὸς τοῦτο ὅτι οἱ μὲν ἀκριβῶς εἰληφότες αὐτὰ νοεῖν οἴδασι τὸ πρακτέον αὐτοῖς, ἡμεῖς δὲ οἱ ὁμολογοῦντες ἀπολείπεσθαι τοῦ δυνηθῆναι ἐπὶ τὸ βάθος φθάσαι τῶν δηλουμένων ἐν τούτοις, εἰ καί τινα βραχυτέραν περίνοιαν ἐπὶ ποσὸν λαμβάνομεν τῶν κατὰ τὸν τόοπον, φήσομεν ὅτι τινὰ μὲν ὧν ἐκ πολλῆς βασάνου καὶ ζητήσεως εὑρίσκειν δοκοῦμεν, εἴτε χάριτι θεοῦ εἴτε δυνάμει τοῦ ἐν ἡμῖν νοῦ, οὐ τολμῶμεν ἐμπιστεῦσαι γράμμασι. τινὰ δὲ γυμνασίας ἡμετέρασ καὶ τῆς τῶν ἐντευξομένων χάριν ἐπὶ ποσὸν ἐκτιθέμεθα.

Ἀλλὰ ταῦτα μὲν ἀπολελογήσθω διὰ τὸ τῆς παραβολῆς βάθος· πρὸς δὲ τὸ πότε ἠθέλησεν ὁ τῆς παραβολῆς βασιλεὺς ἄνθρωπος συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, φήσομεν ὅτι ἔοικεν περὶ τὸν κεκηρυγμένον γίνεσθαι. παριστᾶσι δὲ τοῦτο μία μέν πρὸς τοῖς τελευταίοις τοῦ προκειμένου εὐαγγελίου παραβολή, μία δὲ ἐκ τοῦ κατὰ Λουκᾶν. καὶ ἵνα μὴ αὐτὴν ἐκτιθέμενοι τὴν λέξιν μηκύνωμεν τὸν λόγον, δυναμένου τοῦ βουλομένου ἀπ᾽ αὐτῆς τῆς γραφῆς λαβεῖν, φήσομεν ὅτι ἡ μὲν κατὰ Ματθαῖον Joh. (IV, 467, 22f): γυμνάσωμεν τὰ παραβολή ἐστι δηλοῦσα ὅτι »ὡς ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς

τὰ ὑπάρχοντα αὐτοῦ«, καὶ τινὶ μὲν πέντε, τινὶ δὲ δύο, τινί δὲ ἓν τάλαντον. εἶτ' ἐκεῖνοι παποιήκασι περὶ τὰ ἐγκεχερισμένα,

καὶ »μετὰ πολὺν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων« καὶ αὐταῖς λέξεσι γέγραπται ὅτι »καὶ συναίρει μετ' αὐτῶν λόγον«. <καὶ σον οὖν ὃ λέγει· »καὶ συναίρει μετ' αὐτῶν λόγον«< καὶ σύγκρινον τῷ καὶ ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, καὶ ὅρα ὅτι ἀποδημίαν μὲν ἐκάλεσε τοῦ οἰκοδεσπότου τὸν χρόνονμ καθ' ὃν »ἐνδημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ κυρίου«, ἐπιδημίαν δὲ αὐτοῦ, ὅτε »μετὰ πολύν χρόνον ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων«, τὸν ἐπὶ συντελείᾳ ἐν τῇ κρίσει καιρόν· μετὰ γὰρ χρόνον πολὺν »ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ' αὐτῶν λόγον« καὶ τὰ ἑξῆς γίνεται. 1 Matth. 25, 14 – 15 – 10. 12f 22 Matth. 25, 19 ἡ δὲ κατὰ Λουκᾶν σαφέστερον παρίστησιν ὅτι εὐγενὴς ἄνθρωπος πορευεὶς »εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι«, πορευόμενος ἐκάλεσε δέκα δούλους καὶ »ἔδωκεν αὐτοῖς δέκα μνᾶν, καὶ εἶπεν αὐτοῖς· πραγματεύσασθε ἐν ᾧ ἔρχομαι«. οὗτος δὲ ὁ εὐγενὴς ἄνθρωπος, μισούμενος ὑπὸ τῶν ἰδίων πολιτῶν ἀποστειλάντων »πρεσβείαν ὀπίσω αὐτοῦ«, οὐ θελόντων αὐτὸν βασιλεῦσαι ἐπ᾽ αὐτούς, ἐπανῆλθε λαβὼν »τὴν βασιλείαν καὶ εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους οἷς δεδώκει τὸ ἀργύριον, ἵνα γνῷ τί διεπραγματεύσαντο«. ἰδὼν δὲ ἃ πεποιήκασι, τῷ μὲν τὴν μνᾶν δέκα μνᾶς ποιήσαντι ἔπαινον ἀποδοὺς διὰ τοῦ »εὖγε, ἀγαθὲ δοῦλε ἵτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου«, δίδωσιν αὐτῷ ἐξουσίαν αὐτοῦ. καὶ ἄλλῳ <τῷ> τὴν μνᾶν πενταπλασιάσαντι τὸν μὲν ἔπαινον ὃν ἐπὶ τοῦ πρώτου ἔταξεν οὐκ ἀποδέδωκεν οὐδὲ τὸ ὄνομα τῆς ἐξουσίας ὡς ἐπὶ τοῦ προτέρου ὡρίσατο, εἶπε δὲ αὐτῷ· »καὶ σὺ τὴν μνᾶν ἀποδήσαντι ἐν σουδαρίῳ εἶπεν· »ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε«, »καὶ τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ᾽ αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι«. τίς οὖν καὶ ἐπὶ ταύτης τῆς παραβολῆς οὐ φήσειὅτι ὁ μὲν εὐγενὴς ἄνθρωπος πορευθεὶς »εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι« ὁ Χριστός ἐστιν οἱονεὶ ἀποδημῶν ἐπὶ τῷ λαβεῖν τὴν βασιλείαν καὶ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, οἱ δὲ τὰς δέκα λαβόντες μνᾶς οἱ ἐγκεχειρισμένοι εἰσὶ διοικεῖν λόγον ὃν ἐπιστεύθηαν, οἱ δὲ πολῖται αὐτοῦ (ἐμπολιτευσαμένου <τούτῳ> τῷ κόσμῳ κατὰ τὸ ἐνηνθρωπηκέναι), οἱ μὴ θελήσαντες αὐτὸν βασιλεῦσαι, τάχα μὲν ὁ ἀπιστήσας αὐτῷ Ἰσραήλ ἐστι, τάχα δὲ καὶ τὰ ἀποστήσαντα αὐτῷ ἔθνη;

Πλὴν ταῦτά μοι εἴρηται διὰ τὸ τὴν ἐπάνοδον αὐτοῦ ἀναφέρειν ἐλθόντος μετὰ τῆς βασιλείας ἐπὶ τὴν συντέλειαν, ὅτε »εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους οἷς γνῷ τί διεπραγματεύσαντο«, καὶ διὰ τὸ ἐκ τούτου βούλεσθαι ἀποδεικνύναι καὶ τῆς περὶ τῶν ταλάντων παραβολῆς, ὅτι καὶ <τὸ> ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ ἀναφέρεται ἐπὶ τὴν συντέλειαν, ὅτε ἤδη βασιλεύς ἐστιν συντέλειαν, ὅτε ἤδη βασιλεύς ἐστιν ἀπολαμβάνων τὴν βασιλείαν, δι᾽ ἣν (καθ᾽ ἑτέραν παραβολὴν) »ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι«. ὑποστρέψας οὖν καὶ λαβὼν »τὴν βασιλείαν« ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ, καὶ ἀρξαμένου αὐτοῦ συναίρειν, προσηνέχθη εἷς ἀφειλέτης πολλῶν ταλάντων· προσηνέχθη δὲ ὡς βασιλεῖ ὑπὸ τῶν αὐτοῦ

τεταγμένων λειτουργῶν οἶμαι ἀγγέλων. καὶ τάχα εἷς τίς ἐστιν τῶν ὑπὸ τὴν βασιλείαν ἐγχειρισθείς τινα οἰκονομίαν μεγάλην καὶ μὴ καλῶς αὐτὴν διοκήσας, ἀλλὰ διασκορπίας τὰ ἐγχειρισθέντα, ὡς ὀφειλέτην αὐτὸν γενέσθαι πολλῶν ταλάντων ὧν ἀπολώλεκεν. οὗτος δὴ τάχα μὴ ἐχων ἀποδοῦναι, κελεύεται ὑπὸ τοῦ βασιλέως πραθῆναι ἅμα τῇ γυναικί, ἀφ᾽ ἧς γέγονε κοινωνὸς αὐτῇ πατήρ τινων τέκνων. ἔργον δὲ οὐ τὸ τυχόν ἐστιν ἰδεῖν ἐν νοητοῖς πατέρα καὶ μητέρα καὶ τέκνα. ὡς μὲν οὖν πρὸς τὸ ἀληθές, θεὸς ἄν εἰδείη τοῦτο τὸ ἔργον ὃ βούλεται· καὶ ἡμῖν δέ, εἴτε αὐτὸς δέδωκεν εἴτε μή, ὁ δυνάμενος κρινέτω. πλὴν ταιαῦτα κατὰ τὸν τόπον ὑπολαμβάνομεν ὅτι. ὥσπερ Ἰερουσαλὴμ μήτηρ ἐστὶ Παύλου καὶ τῶν παραπλησίων αὐτῷ ἡ ἄνω, οὕτως εἴη ἂν ἑτέρων μήτηρ, ἀνάλογου Ἰερουσαλὴν μητρί, φέρ᾽ εἰπεῖν Σοήνη τῆς Αἰγύπτου ἢ <Μίμφις, ἑτέρων δὲ Τύρος> καὶ Σιδὼν ἢ ὅσαι ὠνομάσθησαν ἐν ταῖς γραφαῖς πόλεις. εἶθ᾽ ὥσπερ Ἰερυσαλὴμ νύμφη ἐστὶ κεκοσμημένη »τῷ ἀνδρὶ αὐτῆς« Χριστῷ, οὕτως εἶεν ἄν ἐκεῖναι αἱ μητέρες δυνάμεών τινων τῶν κεκληρωμένων αὐτὰς οἱονεὶ γυναῖκες ἢ νύμφαι. καὶ ὥσπερ ἐστί τινα τέκνα τῆς Ἰερουσαλὴμ ὡς μητρὸς καὶ Χριστοῦ ὡς πατρός, οὕτως εἴη ἄν τινα τέκνα Σοήνης ἢ Μέμφεως ἢ Τύρου ἢ Σιδῶνος καὶ τῶν ἐπιτεταγμένων αὐταῖς ἀρχόντων <ὡς πατέρων>. θεὶς ἀνθρώπῳ βασιλεῖ ὀφειλέτης πολλῶν ταλάντων ἔχει (ὡς ἀποδεδώκαμεν) γυναῖκα καὶ τέκνα, ὅτινα πρότερον μὲν ἐκέλευσε πραθῆναι ὁ βασιλεύς, ἐκέλευσε πραθῆναι ὁ βασιλεύς, πραθῆναι δὲ καὶ πάντα ἃ εἶχειν, ὅστερον δὲ σπλαγχνιστεὶς ἀπέλυσεν αὐτὸν καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, οὐκ ἀγνοῶν τὸ μέλλον, ἀλλ᾽ ἵνα ἡμεῖς μάθωμεν τὸ γεγενημένον, οὕτως ἀναγέγραπται πεποιηκέναι. ἕκαστος οὖν τῶν ἐχόντων (ὡς ἀποδεδώκαμεν) γυναῖκα καὶ τέκνα, λόγον ἀποδώσει, ἡνίκα ἂν ἔκθῃ ὁ βασιλεὺς συνᾶραι λόγον, λαβὼν »Σοήνης Μέμφεως ἢ Τύρου καὶ ἕκαστος αὐτῶν ἔχεδι, ὡς ἄρχων τινὸς <ἢ> Σοήνης ἢ Μέμφεως ἢ Τύρου ἢ Σιδῶνος ἤ τινος παραπλησίου, καὶ τοὺς ὀφειλέτας.

οὗτος οὖν, ἀπολυθεὶς καὶ συγχωρηθεὶς πᾶσαν τὴν ἀφειλήν, ἐξελθὼν ἀπὸ τοῦ βασιλέως εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ καὶ τὰ ἑξῆς. καὶ διὰ τοῦτο (οἶμαι) ἔπνιγεν, ἐπείπερ ἦν ἐξελθὼν ἀπὸ τοῦ βασιλέως· οὐκ ἄν γὰρ μὴ ἐξελθὼν ἔπνιγε τὸν σύνδουλον αὐτοῦ. εἶτα παρατήρει τὴν ἀκρίβειαν τῆς γραφῆς, ὅπως ὁ μὲν πεσὼν προσεκύνει, ὁ δὲ πεσὼν οὐ προσεκύνει ἀλλὰ παρεκάλει. καὶ ὁ μὲν βασιλεὺς σπλαγχνισθεὶς ἀπέλυσεν αὐτὸν καὶ πᾶσαν τὴν ὀφειλὴν ἀφῆκεν αὐτῷ, ὁ δὲ δοῦλος οὐδὲ ἐλεῆσαι ἠθέλησε τὸν σύνδουλον αὐτοῦ. κάκεῖνος μὲν <καὶ> πρὸς τῆς ἀφέσεως ἐκέλευσεν αὐτὸν πραθῆναι καὶ τὰ αὐτοῦ, ὁ δὲ συγχωρηθεὶς ἔβαλεν αὐτὸν εἰς τὴν φυλακήν. καὶ πρόσχες ὅτι οἱ σύνδουλοι οὐ διέβαλον ἢ εἰρήκασιν ἀλλὰ διεσάφησαν, ὅτι τὸ πονηρὲ οὐκ εἶπε κατ᾽ἀρχὰς περὶ τῶν χρημάτων, ἀλλ᾽ἐτήρησεν ὅστερον περὶ τοῦ συνδούδου. ἴδε δὲ καὶ τὸ μέτριον τοῦ βασιλέως. οὐκ εἶπε. προσεκύνησάς μοι, ἀλλά. παρεκάλεσάς με καὶ οὐκέτι <ἐκέλευσεν>αὐτὸν πραθῆναι καὶ τὰ αὐτοῦ, ἀλλὰ παρέδωκε τοῖς βασανισταῖς <ὡς πεισόμενον> τὸ χεῖρον διὰ τὴν πονηρίαν. τίνες δ᾽ἂν εἶεν οὗτοι ἢ οἱ ἐπὶ τῶν κολάσεων τεταγμένοι; ἅμα δὲ πρόσχες διὰ τοὺς ἀπὸ τῶν αἱρέσεων χρωμένους τῇ παραβολῇ ὅτι, εἴπερ κατηγοροῦσι τοῦ δημιουργοῦ ὡς ὀργίλου διὰ τὰ ἐμφαίνοντα

ὀργὴν θεοῦ ῥήματα, ἐχρῆν αὐτοὺς καὶ τοῦ βασιλέως τούτου κατηγορεῖν, ἐπείπερ ὀργισθεὶς παρέδωκε τὸν ὀφειλέτην τοῖς βασαωισταῖς. ἔτι δὲ λεκτέον τοῖς μὴ βουλομένοιςλ παραδίδοσθαί τινα ἀπὸ τοῦ Ἰησοῦ τοῖς βασανισταῖς ὅτι διηγήσασθε ἡμῖν, ᾧ οὗτοι, τίς

ὁ βασιλεὺς ὁ παραδιδοὺς τὸν πονηρὸν δοῦλον τοῖς βασανισταῖς; προσεχέτωσαν δὲ καὶ τῷ οὕτως οὖν ποιήσει καὶ ὑμῖν ὁ πατήρ μου ὁ οὐράνιος. τοῖς αὐτοῖς δὲ ἔτι μᾶλλον λεχθείη ἂν τὰ ἐν τῇ τῶν δέκα μνῶν παραβολῇ ὅτι ὁ τοῦ ἀγαθοῦ θεοῦ υἱὸς εἶπε. »πλὴν τοὺς ἐχθρούς μου ἐκείνους τοὺς μὴ θελήσαντάς με«καὶ τὰ ἑξῆς. τὸ συμπέρασμα μέντοι τῆς παραβολῆς καὶ τοῖς ἁπλουστέροις ἁρμοζει. πάντες γὰρ ὅμα διδασκόμεθα πείσεσθαι, οἱ ἄφεσιν ἁμαρτημάτων εἰληφότες καὶ μὴ συγχωροῦντες τοῖς ἀδελφοῖς, τὰ τοῦ συγχωρηθέντος καὶ μὴ συγχωρήσαντος τῷ <συν> δούλῳ.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους (19,1[—2]).

Ὁ ἕκαστον τῶν προκειμένων προβλημάτων ἐντελῶς διεξιών, ὡς μηδὲν αὐτῶν ἐνδεὲς καταλιπεῖν, οὗτος τελεῖς τοὺς ἑσυτοῦ λό0γους. θαρσαλεώτερον δ’αὖ τις ἀποφανεῖται περὶ τούτου προσέχων ἐπιμελέστερον πάσῃ ἀναγνώσει παλαιᾶς καὶ καινῆν διαθήκης. ἐὰν γὰρ ἐπὶ μηδενὸς ᾖ τεταγμένον τὸ ἐτέλεσε τοὺς λόγους τούτους, ἢ Μωσέως ἤ τινος τῶν προφητῶν, ἀλλ’ἢ μόνου τοῦ Ἰησοῦ,λ τότε τολμήσας ἄν τις εἴποι ὅτι μόνος ἐτέλεσε τοὺς λόγους ὁ Ἰησοῦς, ὁ ἐλθὼν τέλος ἐπιθεῖναι τοῖς πράγμασι καὶ πληρῶσαι τὸ ἐνδεὲς τοῦ νόμου διὰ τοῦ »ἐρρέθη τοῖς ἀρχαίοις« καὶ τὰ ἑξῆς. καὶ πάλιν. »ἵνα πληρωθῇ τὰ εἰρημένα διὰ τῶν προφητῶν«. εἰ δέ που γέγραπται καὶ ἐν ἐκείνοις, τότε ἂν συνεξετάζοι καὶ τελεσθέντας ὑπ’ ἐκείνων λόγους τελεσθεῖσαιν ὑπὸ τοῦ σωτῆρος, ἵνα εὕρῃ τὴν διαφορὰν αὐτῶν πρὸς ἀλλήλους, καίτοιγε κἀκεῖ ξητηθείη ἄν, εἰ ἐπὶ τῶν κατὰ χρηματισμὸν λεγομένων κεῖται τὸ ἐτέλεσεν, ἢ ἐπὶ τῶν Μωσέως ἢ τινος τῶν προφητῶν εἰρημένων ἢ ἐπὶ συναμφοτέρων. ἡ γὰρ ἐπιμελὴς τήρησις μέγιστα ἂν ὑποβάλλοι νοήματα τοῖς ἐπισταμένοις »πευματικὰ πνευματικοῖς«συγκρίνειν καὶ διὰ τοῦτο λαλοῦσιν »οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ’ἐν διδακτοῖς πνεύματος«. ἄλλος δ’ ἄν τιςς περιεγότερον ἀκούων τοῦ ἐτέλεσεν, τεταγμένου ἐπὶτῶν μυστικωτέρων΄(καθὸ ὁ μέν τις »παρέδωκε τοῖς ὑποχειρίοις μυστήρια καὶ τελετὰς« οὐκ ἐπαινετῶς, ὁ δέ τις μυστήρια θεοῦ τοῖς ἀξίοις, καὶ ἀνάλογον τοῖς τοιούτοις μυστηρίοις τελετὰς) εἴποι ὅτι τελετὴν ἐποίησε μυήσας αὐτούς, δι’ ἣν τελετὴν ἀνεφάνησαν οἱ λόγοι δυνατοί, ὡς κηρυχθῆναι »τὸ εὐαγγέλιον« Ἰησοῦ »ἐν ὅλῳ τῷ κόσμῳ« καὶ κρατῆσαι διὰ τὴν θείαν τελετὴν πάσης ψυχῆς, ἣν ἔλεκει ὁ τελετὴν πάσης ψυχῆς, ἣν ἔλκει ὁ πατὴρ τὸν υἱὸν κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ σωτῆρος. »οὐδεὶς ἔρχεται πρὸς με ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν«. διὰ τοῦτοδὲ καὶ ὁ λόγος τῶν χάριτι θεοῦ προσβευόντων τὸ εὐαγγέλιον καὶ»τὸ κήσυόντων τὸ ἐαγγέλιον καὶ »τὸ κήρυγμα« αὐτῶν »οὐκ ἐν πειθοῖ σοφίας«γέγονε »λόγων, ἀλλ’ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως«, οἷς ἐτελέσθησαν οἱ λόγοι τῆς διδασκαλίας Ἰησοῦ. καὶ σὺ μὲν οὖν τηρήσεις, ὁσάκις

εἴρηται τὸ ἐτέλεσε καὶ ἐπὶ τίσι. λήψῃ δὲ παράδειγμα τὸ ἐπὶ τοῖς μακαρισμοῖς καὶ ὅλῃ τῇδιδασκαλίᾳ λελεγμένον, οἷς ἐπιφέρεται. »καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο πάντες οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ«.

Ἀναφέρεται δὲ καὶ νῦν τὸ ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους προσεχῶς μὲν ἐπὶ τὴν μυστικωτάτην παραβολήν, καθ’ ἣν »ὡμοιώθη ὁ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖς, ὅστις ἠθέλησε συνπαραι λόγον μετα τῶν δούλων αὐτοῦ«, ἔτι δὲ ταύτης ἀνωτέρω τέρω εἰς τὰ πρὸ αὐτῆς ἀναγεγραμμένα.

πλὴν ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, λαλήσας αὐτοὺς ἐν τῇ Γαλιλαίᾳ περὶ τὴν Καφαρναούμ, τότε μετῆρεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὰ τῆς Ἰουδαίας ὅρια, ἕτερα τυγχάνοντα παρὰ τὴν Γαλι- λαίαν. ἦλθε δὲ ἐπὶ τὰ ὅρια τῆς Ἰουδαίας καὶ οὐκ ἐπὶ τὰ μέσα, ἀλλ’ οἱονεὶ τὰ ἄκρα· ἔνθα ἀκολούθησαν αὐτῷ ὄχλοι πολ- λοί, οὓς ἐθεράπευσεπαρ’ α<ὐτοῖς> τοῖς ὁρίοις τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου, ἔνθα τὸ βάπτισμα ἐδίδοτο <ἀνθρώποις>. τηρήσεις δὲ διαφορὰν ὄχλων ἁπλῶς ἀκολουθησάντων καὶ Πέτρου καὶ τῶν ἄλλων ἀφέντων πάντα καὶ ἀκολουθησάντων καὶ Ματθαίου, ὅς »ἀναστὰς ἠκολούθησεν αὐτῷ«. οὐχ ἁπλῶς ἠκολούθησεν, ἀλλ’ »ἀναστάς«· μεγάλη γὰρ ἡ προσθήκη τὸ »ἀναστάς«. εἰσὶν οὖν ἀεὶ οἱ μὲν (ὡς ὄχλοι) πολλοὶ ἀκολουθοῦντες, μήτε ἀναστάντες ἵνα ἀκολουθήσωσι μήτε ἀφέντες πάωτα τὰ πρότερα· ἀλίγοι δὲ οἱ ἀναστάντες καὶ οἱ <πάντα ἀφέντες> ἀκολουθήσαντες, οἵ καὶ καθεδοῦνται [οἱ] »ἐν τῇ παλιγγενεσίᾳ« »ἐπὶ δώδεκα θρόνους«. πλὴν εἰ βούλεταί τις θεραπευθῆναι, ἀκολουθησάτω τῷ Ἰησοῦ.

Μετὰ τοῦτο γέγραπται ὅτι προςῆλθον αὐτοῷ οἱ Φαρισαῖοι περάζοντες αὐτὸν καὶ λέγοντες· εἰ ἔξεστιν ἀνθρώ- πῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; (τὸ ἰσοδυναμοῦν ἀνέγραψε καὶ ὁ Μᾶρκος) (19, 3 [—12]).

Οὐκοῦν τῶν προσιόντων καὶ πυνθανομένων τῷ Ἰησοῦ ἦσάν τινες οἵ πειράζοντες ἐπηρώτων αὐτόν· πειραζομένου δὲ τοῦ τηλικούτου σωτῆρος ἡμῶν, τίς ἄν τῶν μαθητῶν αὐτοῦ ἀγανκτοίη, τεταγμένος εἰς διδασκαλίαν, ἐπὶ τῷ πειράζεσθαι ὑπό τινων καὶ πυνθανομένων οὐκ ἐκ φιλομαθείας, ἀλλ’ ἀπὸ τοῦ πειράζειν ἐθέ- λειν; πολλὰ δ’ ἄν ἐπὶ τὸ αὐτὸ συναγαγὼν εὕροις, ἐν οἷς ἐπεί- ρασαν τὸν Ἰησοῦν ἡμῶν οἱ Φαρι- σαῖοι καὶ ἄλλοι παρὰ τούτους (ὡς νομικός τις, τάχα δὲ καὶ γραμμα- τεῖς), ἕν’ ἐπὶ τὸ αὐτὸ τὰ περὶ τῶν πειραζόντων αὐτὸν συναγαγών, εὖ- ροις τι [τὰ περὶ τῶν πειραζόντων αὐτὸν] ἐκ τῆς ἐξετάσεως χρήριμον εἰς τὸ εἶδος τῶν λόγων τούτων. πλὴν ὁσωτὴρ καὶ τοῖς πειράζουσιν ἀποκρίνεται δόγματα <εὐσεβείας>· οἱ μὲν γὰρ ἔλεγον· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀνέγνωτε ὅτι ὁ κτίσας ἀπ’ ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίη- σεν αὐτούς; καὶ τὰ ἑξῆς. καὶ οἶμαι, ὅτι κατὰ τοῦτο προέτεινον τὸν λόγον οἱ Φαρισαὶοι τοῦτον, ὡς ἐπιληψόμενοι αὐτοῦ, ὅ τι ποτ’ ἄν εἴπῃ· οἷον εἰ μὲν εἶπεν· ἔξεστιν, ἐνεκάλεσαν <ἄν> αὐτῷ ὡς ἐπὶ τοῖς τυχοῦσι κιαλύοντι τοὺς γάμους· εἰ δέ· οὐκ ἔξεστιν, ὡς καὶ μετὰ ἁμαρτημάτων ἐπιτρέποντι συν- οικεῖν ἄνδρα γυναικί. <οὐχ ἑώρων δὲ τὶνα τρόπον ἀνεπι- λήπτως καὶ σοφῶς αὐτοῖς ἀποκρινεῖται>, ὡς ἐπὶ τοῦ κήνσου· εἰ μὲν γὰρ εἰπε διδόναι, ἐνεκόλεσαν <ἄν>

ὡς ὑποτάσσοντι τὸν λαὸν <τοῦ θεοῦ ἀνθρώποις καὶ προσποιοῦντα αὐτὸν> τοῖς Ῥωμαίοις καὶ οὐ τῷ νόμῳ τοῦ θεοῦ, εἰ δὲ μὴ διδόναι, ὡς πόλεμοον ἐμποιοῦντι καὶ στάσιν καὶ διεγείροντι τοὺς μὴ δυναμένους στῆναι πρὸς τηλικαύτην στρατιάν. [οὐχ ἑώρων δὲ τίνα τρόπον ἀνεπιλήπτως καὶ σοφῶς αὐτοῖς ἀποκρίνεται]. <ὅρα δὲ πῶς ἀνεπιλήπτως ἀπεκρίνατο> πρότερον μὲν ἀποφάσκων τὸ ἀπολύειν τὴν γυναῖκα κατὰ πᾶσαν αἰ- τίαν, δεύτερον δὲ ἀποκρινόμενος πρὸς τὰ περὶ τοῦ βιβλίου τοῦ κατὰ τὸ ἀποστά- σιον ***. ἑώρα γὰρ ὅτι οὐ πᾶσα αἰτία εὐλογως λύει γάμον, καὶ ὅτι δεῖ τὸν ἄνδρα συνοικεῖν τῇ γυναικὶ »ὡς ἀσθε- νεστέρῳ σκεύει ἀπονέμοντα τιμὴν« καὶ βαστάζοντα αὐτῆς τὰ ἐν ἀμαρ- τήμασι »βάρη«. καὶ δυσωπεῖ ἐκ τῶν ἐν τῇ Γενέσει ἐγγεγραμμένων τοὺς ἐπὶ τοῖς Μωσέως γράμμασιν αὐτχοῦντας Φαρισαίους λέγων τὸ οὐκ ἀνέγνωτε ὅτι ὁ κτίσας ἀπ’ ἀρχῆς ἄρρεν καὶ θῆλυ ἐποίη- σεν αὐτούς; καὶ τὰ ἑξῆς, καὶ ἐπιφέρων αὐτοῖς διὰ τὸ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μέαν ἀκόλουθον τῷ εἰς σάρκα μίαν διδασκαλίαν τὴν ὥστε οὐ- κέτι εἰσὶ δύο ἀλλὰ σὰρξ μέα. δυσωπητικὸν δὲ πρὸς τὸ μὴ ἀπο- λῦσαι τὴν γυναῖκα κατὰ πᾶσαν αἰτίαν καὶ τὸ ὅ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χω- ριζέτω.

Παρατηρητέον μέντοιγε ἐν τῇ ἐκθέσει τῶν ἀπὸ τῆς Γενέσεως ἐν τῷ εὐγγελίῳ ῥητῶν, ὅτι οὐ τὰ ἑφε- ξῆς ἀλλήλοις γεγραμμένα εἴρηται. ἐγὼ δὲ οἶμαι ὅτι οὐδὲ περὶ τῶν αὐτῶν λέγεται, τῶν κατ’ εἰκόνα θεοῦ γενομένων καὶ τῶν ἀπὸ τοῦ χοὸς τῆς γῆς καὶ μιᾶς τῶν πλευ- ρῶν τοῦ Ἀδάμ. ὅπου μὲν γὰρ λέ- λεκται τὸ »ἄρρεν καὶ θῆλυ ἐποίησεν αὐτούς«, περὶ τῶν κατ’ εἰκόνα ἐστίν· ὅπου δὲ καὶ εἶπεν· »ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ« καὶ τὰ ἑξῆς, οὐκ ἔστι περὶ τῶν κατ᾽ εἰκόνα· ὕστερον γάρ ποτε ἐκείνων »ἔπλασε κύριος ὁ θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς« καὶ ὀπὸ τῆς πλευρᾶς αὐτοῦ τὴν βοηθόν. ἅμα δὲ πρόσχες ὅτι ἐπὶ μὲν τῶν κατ᾽ εἰκόνα οὐκ ἀνὴρ καὶ γυνὴ εἴρηται, ἀλλὰ »ἄρρεν καὶ θῆλυ«. τοῦτο δὲ καὶ ἐν τῷ Ἑβραϊκῷ τετηρήκαμεν· ἀνὴρ μὲν γὰρ δηλοῦται τῇ ΙΣ φωνῇ, ἄρρεν δὲ τῇ ΖΑΧΑΡ· καὶ πάλιν γυνὴ μὲν τῇ ΕΣΣΑ φωνῇ, θῆλυ δὲ τῇ ΟΥΝΚΗΒΑ· οὐδέ ἀνήρ, ἀλλ᾽ οἱ μὲν διαφέροντες ἄρρεν οἱ δὲ δεύτεροι θῆλυ. ἀλλὰ καὶ ἐὰν καταλίπῃ ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, κολλᾶται οὐ τῷ θήλει ἀλλὰ τῇ γυναικὶ αὐτοῦ καὶ γίνονται (ἐπεὶ ἓν σαρκὶ ἀνὴρ καὶ γυνή) εἰς σάρκα μίαν.

tamen quoniam tetigimus istum locum ubi et illud dicitur: »haec vocabitur mulier, quia de viro suo adsumpta est«, sciendum quia nihil proprium habet quantum ad Graecum [vel ad Latinum] sermonem, ut ideo vocetur mulier, quia de viro suo adsumpta est. propterea legentes Hebraica invenimus originationem istam convenienter positam in Hebraeo. habet autem Hebraicum ita: ΙΣΣΑ (quod intellegitur et mulier εἶτα διαγράφων ὃ δεῖ εἶναι ἐν τοῖς ὑπὸ θεοῦ συνεζευγμένοις ἀξίως τοῦ συνεζεῦχθαι ὑπὸ θεοῦ, ἐπιφέρει ὁ σωτὴρ τὸ ὥστε οὐκέτι εἰσὶ δύο. καὶ ὅπου γε ὁμόνοια καὶ συμφωνία καὶ ἀομονία ἀνδρός ἐστι πρὸς γυναῖκα <καὶ γυναικὸς πρὸς ἄνδρα>, τοῦ μὲν ὡς ἄρχοντος, τῆς δὲ <ὡς> πειθομένης τῷ »αὐτός σου κυριεύσει«, ἀληθῶς ἔστιν εἰπεῖν ἐπὶ τῶν τοιούτων τὸ οὐκέτι εἰσὶ δύο. εἶτ᾽ ἐπεὶ ἔδει τηρεῖσθαι τῷ κολλωμένῳ κυρίῳ τὸ γενέσθαι αὐτὸν πρὸς αὐτὸν »ἕν πνεῦμα«, λέλεκται ἐπὶ τῶν ὑπὸ τοῦ θεοῦ συνεζευγμένων μετὰ τὸ ὥστε οὐκέτι εἰσὶ δύο τὸ

ἀλλὰ σὰρξ μία. καὶ ὁ θεός ἐστιν ὁ συζεύξας τὰ δύο εἰς ἕν, ἵνα μηκέτι ὦσι δύο, <ὅπου> »παρὰ θεοῦ ἁρμόζεται ἀνδρὶ γυνή«. καὶ ἐπεὶ ὁ θεὸς συνέζευξε, διὰ τοῦτο χάρισμά ἐστιν ἐν τοῖς ὑπὸ θεοῦ συνεζευγμένοις· ὅπερ ὁ Παῦλος ἐπιστάμενος ἐπίσης τῷ εἶναι τὴν ἀγνὴν ἀγαμίαν χάρισμά φησι καὶ τὸν κατὰ λόγον θεοῦ γάμον εἶναι χάρισμα, φάσκων· »θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς ἐμαυτόν, ἀλλ᾽ ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως«. οἱ δὲ ὑπὸ θεοῦ συνεζευγμένοι καὶ φρονοῦσι καὶ ποιοῦσι τὸ »οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, ὡς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν«. ὁ μὲν οὖν σωτὴρ ἐνετείλατο, ἵν᾽ ὅπερ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωρίζῃ· ἄνθρωπος δὲ χωρίζειν βούλεται ὃ ὁ θεὸς συνέζευξεν, ὅτε ἀποστὰς »τῆς« ὑγιοῦς »πίστεως«, προσέχων »πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν κωλυόντων« οὐ πορνεύειν μόνον ἀλλὰ καὶ »γαμεῖν«, διαλύει καὶ τοὺς φθάσαντας τῇ προνοίᾳ συνεζεῦχθαι τοῦ θεοῦ. ταῦτα μὲν οὖν τηρουμένων τῶν ῥητῶν εἰς τὰ περὶ ἄρρενος καὶ θήλεος, καὶ ἀνδρὸς καὶ γυναικός, ὡς ἐδίδαξεν ὁ σωτὴρ ἐν τῇ πρὸς τοὺς Φαρισαίους ἀποκρίσει, λελέχθω.

Ἐπεὶ δὲ ὁ ἀπόστολος »εἰς τὸν Χριστὸν« ἐκλαμβάνει »καὶ τὴν ἐκκλησίαν« τὸ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν, λεκτέον ὅτι οὐκ ἀπέλυσεν ὁ Χριστὸς τὴν προτέραν (ἵν᾽ οὕτως ὀνομάσω) γυναῖκα αὐτοῦ (τὴν προτέραν συναγωγὴν) κατ᾽ ἄλλην αἰτίαν, τηρῶν τὸ ὃ οὖν ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, ἢ ὅτε ἐπόρνευσεν ἐκείνη ἡ γυνὴ μοιχευθεῖσα ὑπὸ τοῦ πονηροῦ καὶ μετ᾽ ἐκείνου ἐπιβουλεύσασα τῷ ἀνδρὶ καὶ ἀποκτείνασα αὐτὸν ἐν τῷ λέγειν· »αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον« <καὶ>· »σταύρου σταύρου αὐτόν«. ἐκείνη οὖν ἑαυτὴν ἀπέστησε μᾶλλον ἢ ὁ ἀνὴρ αὐτὴν ἀπέστειλεν ἀπολύσας· διόπερ ὀνειδίζων αὐτῇ ἀποστάσῃ αὐτοῦ ἐν Ἡσαΐᾳ φησί· »ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἀπέστειλα αὐτήν;« καὶ ὁ κτίσας γε ἀπ᾽ ἀρχῆς τὸν κατ᾽ εἰκόνα (ὡς »ἐν μορφῇ θεοῦ ὑπάρχων«) ἄρρεν αὐτὸν ἐποίησε καὶ θῆλυ τὴν ἐκκλησίαν, ἓν τὸ κατ᾽ εἰκόνα ἀμφοτέροις χαριζάμενος.

καὶ καταλέλοιπέ γε διὰ τὴν ἐκκλησίαν κύριος ὁ ἀνὴρ πρὸς ὃν ἦν πατέρα ὅτε »ἐν μορφῇ θεοῦ« ὑπῆρχε, καταλέλοιπε δὲ καὶ τὴν μητέρα, καὶ αὐτὸς υἱὸς ὢν τῆς ἄνω Ἰερουσαλήμ, καὶ ἐκολλήθη τῇ ἐνταῦθα καταπεσούσῃ γυναικὶ αὐτοῦ, καὶ γεγόνασιν ἐνθάδε οἱ δύο εἰς σάρκα μίαν διὰ γὰρ αὐτὴν γέγονε καὶ αὐτὸς σάρξ, ὅτε »ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν«, καὶ οὐκέτι γέ εἰσι δύο, ἀλλὰ νῦν μία γέ ἐστι σάρξ, ἐπεὶ τῇ γυναικὶ <ἐκκλησίᾳ> λέγεται τὸ »ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους«· οὐ γάρ ἐστί τι ἰδίᾳ σῶμα Χριστοῦ ἕτερον παρὰ τὴν ἐκκλησίαν οὖσαν »σῶμα« αὐτοῦ »καὶ μέλη ἐκ μέρους«· καὶ ὁ θεός γε τούτους τοὺς μὴ δύο, ἀλλὰ γενομένους σάρκα μίαν συνέζευξεν, ἐντελλόμενος ἵνα ἄνθρωπος μὴ χωρίζῃ τὴν ἐκκλησίαν ἀπὸ τοῦ κυρίου. καὶ ὁ προσέχων γε ἑαυτῷ ὡς μὴ χωρισθῆναι <ἀπὸ τοῦ Χριστοῦ>, θαρρεῖ ὡς μὴ χω-ρισθησόμενος καί φησι· »τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ;« ἐνταῦθα μὲν οὖν γέγραπται πρὸς τοὺς Φαρισαίους λεγόμενον τὸ ὃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· λέγοιτο δ᾽ ἂν πρὸς τοὺς Φαρισαίων κρείττονας· ὃ οὖν ὁ θεὸς συνέζευξεν, μηδὲν χωριζέτω, μήτε ἀρχή, μήτε

ἐξουσία· ἰσχυρότερος γὰρ ὁ συζεύξας θεὸς πάντων, ὧν ἂν ὀνομάσαι τις νοήσας αὐτὰ δυνηθῇ.

Μετὰ ταῦτα διαληψόμεθα τὸν τῶν φαρισαίων λόγον ὃν εἶπον τῷ Ἰησοῦ· τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποσταςίου καὶ ἀπολῦσαι; εὐλόγως δ’ εἰς τοῦτο παραληψόμεθα τὴν ἀπὸ τοῦ Δευτερονομίου λίξιν περὶ τοῦ τῆς ἀποσταςίας βιβλίου ἔχουσαν οὕτως· »ἐὰν δὲ λάβῃ τις γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ ὅτι εὗρῃ ἐν αὐτῇ ἄσχμον πρᾶγμα« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ οὐ μιανεῖτε τὴν γῆν ἣν κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ«. ζητῶ δὲ ἐν τοῖς κατὰ τὸν νόμον τοῦτον, πόερον οὐδὲν πέρα τῆς λέξεως χρὴ ζητεῖν ἐν αὐτῷ (ἐπεὶ μὴ ὁ θεὸς ἔδωκεν αὐτόν), ἢ πρὸς μὲν τοὺς Φαρισαίους ἀναγκαίως εἴρηται (χρησαμένους τῷ Μωςῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποσταςίου καὶ ἀπολῦσαι) τὸ ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ’ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. ἐὰν δέ τις ἐπὶ τὸ εὐαγγέλιον ἀναβῇ Χριστοῦ Ἰησοῦ, διδάσκον ὅτι »ὁ νόμος πνευματικός ἐστι«, καὶ τούτουζητήσει τοῦ νόμου πνευματικὸν νοῦν. φήσει δὲ καὶ ταῦτα ὁ θέλων τροπολογεῖον ὅτι, ὥσπερ τῷ Παύλῳ θαρροῦντι ἐφ’ ᾗ εἶχε θείᾳ χάριτι λέλεκται τὸ »γυνὴ δέδεται ἐφ’ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθὴναι, μόνον ἐν κυρίῳ. μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ πνεῦμα θεοῦ ἔχειν« (ἐν τούτοις γὰρ τῷ »κατὰ τὴν ἐμῆν γνώμην«, ἵνα μὴ καταφρονηθῇ ὡς κενὴ πνεύματος θεοῦ, καλῶς ἐπήγαγε κτὸ »δοκῶ κἀγὼ πνεῦμα θεοῦ ἔχειν«), οὕτως καὶ Μωσεῖ διὰ τὴν δοθεῖσαν αὐτῷ ἐξουςίαν νομοθετεῖν, ὥστε αὐτὸν καὶ πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ ἐπιτρέψαι τινά, ἐν οἷς ἦν καὶ τὸ ἀπολύειν τὰς γυναῖκας, ἦν ἂν πείθεσθαι, ἐφ’ εἷς κατὰ τὴν αὐτοῦ γνώμην ἐνομοθέτει, ὡς καὶ ἐν τούτοις μετὰ πνεύματος θεοῦ τῆς νομοθεςίας γενομέντης. καὶ ἐρεῖ ὅτι, εἰ οὖν τὶς μὲν νόμος πνευματικός ἐστι, τὶς δὲ οὐκ ἔστι τοιοῦτος, νόμος δέ ἐστι καὶ οὗτος, πνευματικός ἐστι καὶ οὗτος, καὶ ζητητέον αὐτοῦ τὸ πνευματικόν.

Μεμνημένοι δὲ τῶν ἀνωτέρω ἡμῖν λελεγμένων εἰς τὸ τοῦ Ἡσαΐου περὶ τοῦ βιβλίου τῆς ἀποσταςίας ῥητὸν φήσομεν ὅτι ἑαυτὴν ἀπέστησεν ἀνδρὸς τοῦ Χριστοῦν ἡ μήτηρ τοῦ λαοῦ, μὴ λαβοῦσα τὸ τῆς ἀποσταςίας βιβλίον. ὕστερον δέ, ὅτε εὑρέθη ἐν αὐτῇ »ἄσχημον πρᾶγμα« καὶ οὐχ εὗρε »χάριν ἐναντίον αὐτοῦ«, ἐγράφη αὐτῇ βιβλίον ἀποσταςίου. ἀπὸ τῶν ἐθνῶν καλοῦσα εἰς τὴν οἰκίαν τοῦ τὴν προτέραν γυναῖκα ἀποβεβληκότος, τὸ βιβλίον τοῦ ἀποσταςίου δέδωκε τῇ προτέρᾳ ἀποστάσῃ τοῦ ἀνδρὸς νόμου καὶ λόγου. διὸ καὶ αὐτὸς ἀποστὰς ἔγημεν (ἵν’ οὕτως ὀνομάσω) ἑτέραν, δοὺς »εἰς τὰς χεῖρας« τῆς προτέρας τὸ τοῦ ἀποσταςίου βιβλίον· διὸ μηκέτι δύνανται πράσσειν τὰ κατὰ τὸν νόμον αὐτοῖς προστεταγμένα διὰ τὸ βιβλίον τοῦ ἀποσταςίου. καὶ σημεῖον τοῦ εἰληφέναι αὐτὴν βιβλίον ἀποσταςίου τὸ Ἱερουσαλὴμ μὲν καποσταςίου τὸ Ἱερουσαλὴμ μὲν καθῃρῆσθαι μετὰ τοῦ κληθέντος ὑπ’ ἐκείνων ἁγιάσματος καὶ τῶν ἐν αὐτῷ πετιστευμένων γεγονέναι σεμνῶν καὶ τοῦθυσιαστηρίου τῶν ὁλοκαυτωμάτων καὶ πάσης τῆς παρ’ αὐτῷ λατρείας. σημεῖον δὲ τοῦ βιβλίου τῆς ἀποσταςίς καὶ τὸμήτε ἑορτάζειν αὐτοὺς δύνασθαι

κἂν κατὰ τὸ γράμμα, τοῦ βουλήματος τοῦ νόμου προστάξαντος »ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται κύριος ὁ θεὸς« ἑορτάζειν ἀυτούς. ἀλλὰ καὶ τὸ πᾶσαν τὴν συναγωγὴν λιθοβολεῖν τοὺς τάδε ἢ τάδε ἡμαρτηκότας γενέσθαι μὴ δυνάμενον καὶ ἄλλα δὲ μυρία τῶν προστεταγμένων, σημεῖόν ἐστι τοῦ βιβλίου τῆς ἀπολσταςίας, καὶ ὅτι »οὐκ ἔστιν ἔτι προφήτης«, ἔτι· ἀφεῖλε γὰρ (φηςὶ) κύριος »ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ τῆς Ἰερουσαλὴμ (κατὰ τὸν τοῦ Ἡσαΐου λόγον) ἰσχύοντα καὶ ἰσχύουσαν, γίγαντα καὶ ἰσχύοντα« καὶ τὰ λοιπὰ μέχρι συνετοιῦ ἀκροατοῦ.

Δύναται δὲ πρὼτον μὲν εἰληφέναι γυναῖκα τὴν συναγωγὴν καὶ συνῳκηκέναι αὐτῇ ὁ Χριστός, ὕστερον δὲ ἐκείνην μὴ εὐρηκέναι »χάριν ἐναντίον αὐτοῦ«· ἡ δὲ αἰτία τοῦ μὴ εὐρηκέναι αὐ τὴν» χάριν ἐναντίον αὐτοῦ« τὸ εὐρεθὴναι »ἐν αὐτῇ ἄσχημον πρᾶγμα«. τί γὰρ ἀσχημονέστερον τοῦ (προκειμένου ἀπολῦσαι ἐν τῇ[ἑορτῇ ἕνα) ἀπολῦσαι μὲν αὐτοὺς ἠξιωκέναι Βαραβᾶν τὸν λῃστήν, καταδικάσαι δὲ Ἰησοῦν; καὶ τί ἀσχημονένστερον τοῦ πάντας εἰρηκέναι ἐπ’ αὐτῷ »σταύρου, σταύρου αὐτόν« καὶ »αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον«; πῶς δὲ οὐκ ἂν ἄσχημον καὶ τὸ »τὸ αἷμα αὐτοῦ ἐφ’ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν«; διὸ ἐκδικουμένου αὐτοῦ ἐκυκλώθη »ὑπὸ στρατοπέδων Ἰερουσαλὴμ« καὶ ἐπέστη »ἡ ἐρήμωσις αὐτῆς«, καὶ ἀφείθη αὐτοῖς »ὁ οἶκος« αὐτῶν, καὶ ἐγκατελείφθη »ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, καὶ ὡς πόλις πολιορκουμένη«. κατὰ τὸν αὐτὸν δὲ (οἶμαι) καιρὸν τῇ μὲν προτέρᾳ γυναικὶ ἔγραψεν ὁ ἀνὴρ »βιβλίον ἀποσταςίου« καὶ ἔδωκεν εἰς τὰς χεῖρς αὐτῆς« καὶ ἐξαπέστειλεν »αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ«, τὴς δὲ ἀπὸ τῶν ἐθνῶν ἀπαλήλιπται τὸ χειρόγραφον· περὶ οὗ φησιν ὁ ἀπόστολος τὸ »ἐξαλείψας τὸ χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ στασυρῷ«. καὶ Παῦλος γὰρ εἰς τὴν ἀπὸ τῶν ἐθνῶν *** προςήλυτοι ἐγένοντο τοῦ Ἰσραήλ. ἐξῆλθε τοίνυν ἡ προτέρα γυνὴ ἡ μὴ »εὐροῦσα χάριν ἐναντίον« τοῦ ἀνδρὸς τῷ εὐρῆσθαι »ἐν αὐτῇ ἄσχημον πρᾶγμα«, ἀπὸ »τῆς οἰκίας« τοῦ ἀνδρός, »καὶ ἀπελθοῦσα« γενένηται »ἀνδρὶ ἑτέρῳ« ᾧ ἑαυτὴν ἀπέταξεν, εἴτε Βαραβᾶν τὸν λῃστὴν κρὴ λέγειν τὸν ἄνδρα (ὄντα τροπικῶς τὸν διάβολον) εἴτε τινὰ δύναμιν πονηράν. καὶ ἐπὶ τινῶν μὲν τῆς συναγωηῆς ἐκείνης συμβέβηκε τὸ πρότερον ἐν τῷ νόμῳ γεγραμμένον, ἐφ’ ἑτέρων δὲ τὸ δεύτερον· ὁ γὰρ ἔσχατος ἀνὴρ ἐμίσηςεε τὴν γυναῖκα »καὶ γράψει αὐτῇ« ποτε ἐπὶ τέλει τῶν πραγμάτων »βι΄λίον ἀποστασίου (τοῦτο οἰκονομοῦντος τοῦ θεοῦ) καὶ δύσει εἰς τὰς χεῖρας αὐτῆς καὶ ἐξαποστελεὶ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ«· ὡς γὰρ »ἔχθεαν« ὁ ἀγαθὸς θεὸς ξήσει »ἀνὰ μέσον« τοῦ ὄφεως καὶ »τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματος« αὐτοῦ, »καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτοῦ, »καὶ ἀνὰ οἰκονομήσει, ἵνα »μισήσῃ αὐτὴσῃ αὐτῆν ὁ ἀνῆρ ὁ ἔσχατος«.

Εἰσὶ δὲ οἷς συμβέβηκε συνοικεῖν τὸν ἄνδρα μὴ μισήσαντα αὐτοὺς τῷ παραμεῖναι ἐν τῷ οἴχῳ τοῦ ἐσκάτου ἀνδρὸς καὶ λαβάντος αὐτῶν τὴν συναγὴν ἑαυτῷ γυναῖκα. ἀλλὰ καὶ ἐπὶ τούτων ἀποθνῄσκει ὁ ἔσχατος ἀνύρ, τάχα ἡνίκα ἄν »ὁ ἔσκατος ἐκθρὸς Χριστοῦ καταργηθῇ θάνατος«. ὁπότερον δὲ τούτων ἄν γένηται εἴτε τὸ πρότερον εἴτε τὸ τελευταῖον τῇ γυναικάί, »οὐ δυνήσεται (φησὶν) ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψας λαβεῖν αὐτὴν τοῦ εῖναι ἑαυτῷ γυναῖκα μετὰ

τὸ μιανθῆναι αὐτήν, ὅτι βδέλυγμα (φησὶν) ἐστὶν ἐναντίον κυρίου τοῦ θεοῦ σου«. ἀλλὰ ταῦτα δόξει μὴ κατάλληλα εἶναι τῷ» ἐὰν ὁ Ἰσραὴλ σωθήσεται«. ὅρα δὲ εἰ δύναται καὶ πρὸς τοῦτο λέγεδθαι ὅτι πάντως, εἰ σωθήσεται, τῷ τὸν ἄνδρα αὐτῆς τὸν πρότερον ἐπανα στρέψαντα »λαβεῖν αὐτὴν τοῦ εἶναι αὐτῷ γυναῖκα μετὰ τὸ μιανθῆναι αὐτὴν« σωθήσεται. ἱερεὺς μὴν οὖν »πόρνην «καὶ»ἐκβεβλημένην« »οὐ λήψεται« ἑαυτῷ γυναῖκα, <ἄλλος> δέ τις οὐ κωλύεται (ὡς ὑποβεβεβηκὼς τὸν ἱερέα) ποιῆσαι τὸ τοιοῦτον. ἀλλ' ἐὰν περὶ τῆς τῶς τῶν ἐθνῶν κλήσεεως τὸ »πόρνην« ζητῇς, χρήσῃ τῷ »λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας« καὶ τοῖς ἐξῆς. ὡς γὰρ »οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦντες ἀναίτιοί εἰσιν«, οὕτως ἐν καιρῷ λαμβάνων γυναῖκα παονείας νείας ὁ ἐκβάλλων τὴν προτέραν γυναῖκα [καὶ] ἀναίτιός ἐστι, πστι, ποιήσας αὐτὸ κατὰ τὴν πρόσταξιν τοῦ (ὅτ' ἔδει) εἰπόντος (καὶ ἕως ἐχρῆν) τὸ γυναῖκα »πόρνην οὐ λήψεται«, καὶ (ὅτε εὔλογον ἦν) φήσαντος» λάβε σεαυτῷ γυναῖκα πορνείας«. ὡς γᾶρ «κύριός ἐστι τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου« καὶ οὐ δοῦλος τοῦ σαββάτου ὡς ὁ λαός, οὕτως κύριός ἐστιν ὁ τὸν νόμον διδοῦς διδόναι μὲν «ἄχρι καιροῦ διορθώσεως« καὶ ἀλλάσσειν νόμον, ἐπιστάντος δὲ τοῦ καιροῦ τῆς διορθώσως καὶ ιδόναι μετὰ τὴν προτέραν ὁδὸν καὶ μετὰ τὴν προτέραν καρδδίαν »ὁδὸν ἑτέραν καὶ καρδίαν ἑτέραν« »καιρῷ δεκτῷ« »καὶ ἐν ἡμέρᾳ σωτηρίας«. καὶ ταῦτα μὲν κατὰ μέεν διήγησιν λελέχθω εἰς τὸν περὶ τοῦ βιβλίου τῆς ἀποστασίας νόμον.

Ζητήσαι δ' ἄν τις, εἰ δύναται ἡ ἀνθρωπίη ψυκὴ τροπικῶς λέγεσθαι γυνὴ καὶ ὁ προί στάμενος αὐτῆς ἄγγελος καὶ ἄρχρων αὐτῆς (πρὸς ὅν »ἡ ἀναστροφὴ« γίνεται αὐτῆς κατακυριεύοντα αὐτῆς) ἀνήρ, ὡς κατὰ τοῦτο ἕκαστον νομίμως συνοικεῖν τῇ ψυχῇ τῇ ἀξίῳ προστασίας θείου ἀγγέλου. γένοιτο δ' ἄν ποτε καὶ μετὰ τῆν ἐπὶ πλεῖον διατριβὴν καὶ συνοίκησιν αἰτάς ἐν ψυχῇ τοῦ μὴ εὑρίσκειν »χάριν ἐναντίον« τοῦ κυριεύοντος καὶ ἄρχοντος αὐτῆς ἀγγέλου τὸ εὑρίσκεσθαι »ἐν αὐτῇ ἄσχημον πρῆγμα«, καὶ γράφοιτο ἄν ὡς γράφεται χειρόγραφα, γράφοτιο δὲ »βιβλίον ἀποστασίου«, διδόμενον »εἰς τὰς χεῖρας« τῆς ἐκβαλλομένης, ἵνα μηκέτι οἰκεία ᾖ τοῦ προτέρου προστάτου ἡ ἐξαπσοτελλομέενη »ἐκ τῆς οἰκίας αὐτοῦ«. καὶ γένοιτο δ' ἄν ἡ »ἀπελθοῦσα« ἀπὸ τῆς προτέρας οἰκίας »ἑτέρῳ« ἀνδρὶ καὶ ἀτυχήσαι ἄν παρ' αὐτῷ, οὐ μόνον ὡς ἐπὶ τοῦ προτέερου μὲ εὑρίσκουσα »χάριν« ἐνώπιον ἀυτοῦ τῷ εὑρίσκσθαι »ἐν αὐτῇ ἄσχημον πρᾶγμα«, ἀλλὰ καὶ μισουμένη ὑπ' αὐτοῦ. καὶ γράφοτο δ' ἄν καὶ ἀπὸ τοῦ δευτέερρου αὐτῇ »βιβλίον ἀποστασίου« καὶ διδοῖτο ἄν »εἰς τὰς χεὸρας αθτῆξς« ἀπὸ τοῦ ἐσχάτου ἀνδρὸς ἐξαποστέλλοντς δύναται νενέσθαι μετάστασις ζωῆς τῆς σὺν ἀνθρώποις ἀγγέλων, ὡς τοιοῦτον εἶναι καὶ τὸν αὐτῶν (ὅσον πρὸς τὴν καθ' ἡμᾶς σχέσιν) θάνατον, τολμηρῶς μὲν πλὴν ὅμως ζητήσαι τις ἄν. ὅπως δ' ἄν γένηται, ἡ ἅπαξ ἀποπεσοῦσα προτέερου ἀνδρὸς οὐκ ἐπανελεύσεται πρὸς αὐτόν· »οὐ« γὰρ »δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπανστρέφας λαβεῖν αὐτὴν τοῦ εἶναικ αὐτῷ γυνῖκα μετὰ τὸ μιανθῆάι μιανθῆναι αὐτήν«. εἰ δὲ χρὴ τ΄λμήσαντα καὶ ἀπό τινος φερομέενης μὲν ἐν ταῖς ἐκκλησίαις γραφῆς, οὐ παρὰ πᾶσι δὲ ὁμολογουμένης εἶναι θεείας, τὸ τοιοῦτον παραμυθήσασθαι, ληφθείη ἄν τὸ ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα τὸ

ἀπὸ τοῦ Ποιμένος περί τινων ἅμα μὲν τῷ πιστεύειν ὑπὸ τῷ Μιχαὺλ γινομένων, διὰ δὲ φιληδονίαν ἀποπιπτόντων ἐκείνου καὶ γινομένων ὑπὸ τὸν τὴς τουφῆς, εἶτα ὑπὸ τὸν τῆς τιμωρίας, μεθ’ ὅν ὑπὸ τὸν τῆς μετανοίας. ὁρᾷς γὰρ ὅτι οὐκέτι μὲν ἐνπανέρκεται ἐπὶ τὸν πρῶτον ἄρχοντα ἡ ἅπαξ τρυφήσαὶ μετὰ τιμωίας ὑπό τινα ὑποδεέστερον γίνεται παρὰ τὸν Μιχαήλ. ὑποδεέστερος γὰρ ἐκείνου ὁ τῆς μετανοίας. προσεκτέον οὖν ἡμῖν μήποτε εὑρεθῇ ἐν ἡμῖν »ἄσχημον πρᾶγμα«, καὶ μὴ εὕρωμεν »χάριν« ἐνώπιον ἀνδρός, τοῦ χριστοῦ ἤ τοῦ τεταγμένου ἐφ’ ἡμὶν ἀγγέλου· ἐὰν γὰρ μὴ προσέχωμεν, τάχα καὶ ἡμεῖς τὸ βιβλίον τοῦ ἀποστασίου ληψλομεθα, καὶ ἤ χηρεύσομεν προστάτου στάτου ἤ ἐπὶ ἄνδρα ἕτερον ἐλευσόμεθα —ἐγὼ δὲ ἡγοῦμαι ὅτι οὐκ αἴσιον τοῦτο (ἵν’ δὲ ἡγοῦμαι ὅτι οἰκ μάσω) — ληψόμενοι ἀγγέλου [ς] πρὸς τὴν ἡμετέραν ψυχὴν γάμον.

Γενόμενος δὲ κατὰ τὸν τόπον εἴποιμ’ ἄν ὅτι ζητούμενόν τι κατὰ τὴν τοῦ ἀποστόλου περὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων νομο θεσίαν τάχα ἤδη νοῆσαι καὶ σαφῶς παραστῆσαι (δύσλητον καὶ δυσθεώ ωρητον ρητον τυγχάνον) δυνησόμεθα. οὐδένα γὰρ τῶν ἀπὸ τῆς ἐκκλησίας ὑπεροχήν τινα παρὰ τοὺς πολλοὺς ὡς ἐν συμβόλοις ἀνειληφότα βούλεται ὁ Παῦλος δευτέρου πεπειβᾶσθαι νάμου. πεερὶ μὲν γὰρ ἐπισκόπων νομοθετῶν ἐν τῇ πρὸς τιμόθεον προτέρᾳ φησίν· »εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, νηφάλιον, σώφρονα« καὶ τὰ ἑξῆς. περὶ δὲ διακόνων »διάκονοι« φησὶν »ἔστωσαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς προϊστάμενοι καὶ τῶν ἰδίων οἴκονων« καὶ τὰ λοιπά. καὶ χήρας δὲ καθιστὰς »χήρα« φησὶν ἔστω »μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή«, καὶ μετὰ ταῦτά φησι τὰ ἐπιφερόμενα ὡς τούτου δεύτερα καὶ τρίτα. ἐν δὲ τῇ πρὸς Τίτον »τούτου« φησὶ »χάριν ἀπέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστὰ« δηλαδὴ καὶ τὰ ἑξῆς. ἐπηποροῦμεν δή, ὁρῶντες δυνατὸν εἶναι β ελτίους πολλῷ τυγχάνειν τινὰς διγάμους μονογάμων, τί δήποτε οὐκ ἐπιτρέπει ὁ Παῦλος διγάμους εἰς τὰς ἐκκλησιαστικὰς καθίστασθαι ἀρχάς· καὶ γὰρ ἐδόκει μοι ζητήσεως ἄξιον εἶναι τὸ τοιοῦτον, τῷ ἐνδέχεσθαι ἀτυχήσαντά τινα περὶ δύο γάμους, ἔτι νέον ὄντα ἀποβαλόντα τὴν δευτέραν, ἐγκρατέστατα καὶ καθαρώτατα βεβιωκέναι παρὰ τὸν λοιπὸν μέχρι γήρως χρόνον.

Τίς οὖν οὐκ ἂν εὐλόγως ἐπαπορήσαι, τί δή ποτε ζητουμένου τοῦ ἄρξοντος τῆς ἐκκλησίας τὸν μὲν τοιόνδε δίγαμον οὐ καθίσταμεν διὰ τὰς <περὶ> τοῦ γάμου λέξεις, τὸν δὲ μονόγαμον καὶ (εἰ τύχοι) μέχρι γήρως συμβιώσαντα τῇ γυναικὶ κρατοῦμεν ἄρχοντα, ἔσθ’ ὅτε μηδὲ γυμνασάμενον εἰς ἁγνείαν καὶ σωφροσύνην; ἐκ δὴ τῶν εἰρημένων εἰς τὸν περὶ τοῦ βιβλίου τῆς ἀποστασίας νόμον ἐφίστημι μή ποτε, ἐπεὶ σύμβολόν ἐστὶ καὶ ὁ ἐπίσκοπος καὶ ὁ πρεσβύτερος καὶ ὁ διάκονος ἀληθινῶν κατὰ τὰ ὀνόματα ταῦτα πραγμάτων, ἐβουλήθη αὐτοὺς συμβολικῶς μονογάμους καταστῆσαι, ἵν’ ὁ δυνάμενος ἐπιστῆσαι τοῖς πράγμασιν εὕρῃ ἐκ τοῦ πνευματικοῦ νόμου ἀνάξιον ὄντα ἀρχῆς ἐκκλησιαστικῆς ἐκεῖνον, οὗ ἡ ψυχὴ οὐχ »εὗρε χάριν ἐναντίον« τοῦ ἀνδρὸς αὐτῆς τῷ εὑρῆσθαι »ἐν αὐτῇ ἄσχημον πρᾶγμα«

καὶ ἀξίαν αὐτὴν γεγονέναι τοῦ τῆς ἀποστάσεως βιβλίου. δευτέρῳ γὰρ παρὰ τῷ τοιούτῳ μισηθεῖσα οὐκέτι δύναται μετὰ τὸ δεύτερον βιβλίον τοῦ ἀποστασίου ἐπανελθεῖν ἐπὶ τὸν πρότερον ἄνδρα. εἰκὸς μὲν οὖν καὶ ἄλλους παρὰ τοῖς πολλῷ ἡμῶν σοφωτέροις καὶ μᾶλλον βλέπειν τὰ τηλικαῦτα δυναμένοις εὑρεθήσεσθαι λόγους, εἴτε εἰς τὸν περὶ τοῦ τῆς ἀποστσίας βιβλίου νόμον εἴτε εἰς τὰ ἀποστολικὰ κωλύοντα διγάμους ἄρχειν τῆς ἐκκλησίας ἢ προκαθέζεσθαι προτετιμημένους ἐν αὐτῇ. ἡμεῖς δέ, ἕως εὑρεθῇ τὰ κρείττονα κὰ δυνάμενα τῇ τοῦ τῆς γνώσεως φωτὸς πολλῇ ὑπεροχῇ ἀμαυρῶσαι τὰ ὑφ' ἡμῶν εἰρημένα, εἴπομεν τὰ ὑποπεσόντα εἰς τοὺς τόπους ἡμῖν.

Εἰ καὶ ἐδόξαμεν δὲ βαθυτέρων ἢ κατὰ δύναμιν ἦφθαι εἰς τοὺς τόπους πραγμάτων, οὐδὲν ἧττον ἔτι διὰ τὴν λέξιν καὶ ταῦτα λεκτέον ὅτι τινὲς τῶν νόμων ἐγράφησαν οὐχ ὡς διαφέροντες, ἀλλ' ὡς συμπεριφρόμενοι τῇ ἀσθενείᾳ τῶν νομοθετουμένων. τοιοῦτον γάρ τι δηλοῦται ἐν τῷ Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν <ὑμῖν> ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· τὸ δὲ προηγούμενον καὶ διαφέρον νόμου τοῦ διὰ τὴν σκληροκαρδίαν γεγραμμένου δηλοῦται ἐν τῷ ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. καὶ ἐν τῇ καινῇ δὲ διαθήκῃ ἐστί τινα νενομοθετημένα ἀνάλογον τῷ ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν> ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν. οἱονεὶ γὰρ πρὸς τὴν σκληροκαρδίαν ἡμῶν γέγραπται (διὰ τὴν ἀσθένειαν) τὸ <»καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι·> διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω« καὶ τὸ »τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί«· ἐπιφέρεται γοῦν αὐτοῖς· »τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν«. ἀλλὰ καὶ τὸ »γυνὴ δέδεται ἐφ' ὅσον χρόνον ὁ ἀνὴρ αὐτῆς ζῇ· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν κυρίῳ« πρὸς τὴν σκληροκαρδίαν ἢ ἀσθένειαν ἡμῶν παρὰ Παύλῳ εἴρηται τοῖς μὴ βουλομένοις ζηλοῦν »τὰ χαρίσματα τὰ μείζονα« καὶ μακαριωτέροις γενέσθαι. ἤδη δὲ παρὰ τὰ γεγραμμένα τινες τῶν ἡγουμένων τῆς ἐκκλησίας ἐπέτρεψάν τινα ὥστε »ζῶντος τοῦ ἀνδρὸς« γαμεῖσθαι γυναῖκα — παρὰ τὸ γεγραμμένον μὲν ποιοῦντες (ἐν ᾧ λέλεκται· »γυνὴ δέ<δεται> ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς« καὶ τὸ »ἄρα οὖν μοιχαλὶς χρηματίσει ἡ γυνὴ γενομένη ἀνδρὶ ἑτέρῳ ζῶντος τοῦ ἀνδρός«), οὐ μὴν πάντη ἀλόγως· εἰκὸς γὰρ τὴν συμπεριφορὰν ταύτην συγκρίσει χειρόνων ἐπιτρέπεσθαι παρὰ τὰ ἀπ' ἀρχῆς νενομεθετημένα καὶ γεγραμμένα.

Τάχα δὲ τῶν τολμώντων τις Ἰουδαϊκὸς ἀνὴρ ἐναντιοῦσθαι τῇ τοῦ σωτῆρος ἡμῶν διδασκαλίᾳ φήσει ὅτι καὶ ὁ Ἰησοῦς, εἰπών· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι,κ ἐπέτρεψεν ἀπολῦσαι τὴν γυναῖκα ὁμοίως Μωσεῖ, ὃν εἶπε πρὸς τὴν σκληροκαρδίαν τοῦ λαοῦ νενομοθετηκέναι, καὶ ταὐτόν γε φήσει εἶναι τῷ λόγῳ τῆς πορνείας, δι' ὃν εὐλόγως ἂν γυνὴ ἐκβληθείη ἀπὸ ἀνδρός, τὸ »ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα«. ἀλλὰ λεκτέον πρὸς αὐτὸν ὅτι, εἴπερ ἡ κατὰ τὸν νόμον μοιχευομένη λιθοβοληθήσεται, δηλονότι οὐ κατὰ τοῦτο νοεῖται τὸ »ἄσχημον πρᾶγμα«· οὐ γὰρ ἐπὶ μοιχείᾳ δεῖ γράφειν »βιβλίον ἀποσταςίου« καὶ διδόναι »εἰς τὰς χεῖρας« τῆς μοςύνῃ. ἀλλὰ γὰρ

τάχα Μωςῆς πᾶν ἁμάρτημα <γυναικὸς> ἄσχημον εἶπε πρᾶγμα, ὅπερ ἐὰν εὑρεθῇ ὑπὸ τοῦ ἀνδρὸς ἐν γυναικὶ μὴ εὑρισκούσῃ χάριν ἐνώπιον τοῦ ἀνδρός, γράφεται τὸ τοῦ ἀποσταςίου βιβλίον καὶ ἐξαποστέλλεται »ἐκ τῆς οἰκίας« τοῦ ἀνδρὸς ἡ γυνή. ἀπ᾽ ἀρχῆς δὲ οὐ γέγονεν οὕτως. μετὰ ταῦτά φησιν ὁ σωτὴρ ἡμῶν, μηδαμῶς ἐπιτρέπων ἐπ᾽ ἄλλῳ ἁμαρτήματι διαλύειν γάμους ἢ μόνῃ πορνείᾳ εὑρισκομένῃ ἐν τῇ γυναικί, τὸ ὅς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. ζητηθείη δ᾽ ἄν, εἰ διὰ τοῦτο <μόνον> κελεύει τὴν γυναῖκα ἀπολῦσαι <τί ἔσται> ἐὰν μὴ ἐπὶ πορνείᾳ μὲν ἁλῷ, φέρε δ᾽ εἰπεῖν ἐπὶ φαρμακείᾳ ἢ ἀναιρέσει (παρὰ τὴν ἀποδημίαν τοῦ ἀνδρὸς) τοῦ γεννηθέντος αὐτοῖς παιδίου ἢ ἐφ᾽ οἱῳδήποτε φόνῳ. εἰ δὲ καὶ ὑφαιρουμένη καὶ <διαρρίπτουσα ἢ> συλῶσα τὴν οἰκίαν εὑρεθείη τοῦ ἀνδρὸς μὴ πορνεύουσα δέ, ζητήσαι τις ἄν, εἰ εὐλόγως τὴν τοιαύτην ἀποβαλεῖ, ὡς τοῦ σωτῆρος κωλύοντος παρεκτὸς λόγου πορνείας ἀπολῦσαί τινα τὴν ἑαυτοῦ γυναῖκα. ἑκατέρως γὰρ ἐμφαίνεταί τι ἄτοπον, οὐκ οἶδα δὲ εἰ ἀληθῶς ἄτοπον. τηλικούτων γὰρ ἀνέχεσθαι ἁμαρτημάτων, ἅ ἔοικε χείρονα εἶναι μοιχείας καὶ πορνείας, ἄλογον εἶναι δόξει· πάλιν τ᾽ ἂν ποιῆσαι παρὰ τὸ βούλημα τῆς διδασκαλίας τοῦ σωτῆρος πᾶς ἂν ὁμολογήσαι ἀσεβὲς τυγχάνειν. Ἐφίστημι τοίνυν διὰ τί μὲν οὐκ εἶπε· μηδεὶς ἀπολυέτω τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, φησὶ δέ. ὅς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι. ποιεῖ μὲν γὰρ ὁμολογουμένως (τὸ ὅσον ἐφ᾽ ἑαυτῷ) μοιχευθῆναι τὴν γυναῖκα ὁ ἀπολύων αὐτὴν μὴ πορνεύσασαν. εἰγὰρ»ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ«, ἀπολύσας δὲ αὐτὴν πρόφασιν αὐτῇ δίδωσι δευτέρου γάμου, δηλονότι παρὰ τοῦτο ποιεῖ αὐτὴν μοιχευθῆναι. τὴν δ᾽ ἁλοῦσαν φαρμακίδα ἢ φόνον <ἤ τι τοιοῦτον> δράσασαν *** ἀπολογίαν ἔχειν ἢ μή, καὶ σὺ ζητήσαις ἄν. δύναται γὰρ καὶ παρ᾽ ἄλλας αἰτίας παρὰ τὴν ἀπόλυσιν ποιεῖν ὁ ἀνὴρ μοιχευθῆναι τὴν ἑαυτοῦ γυναῖκα, οἷον πέρα τοῦ δέοντος ἐπτρέπων πράττειν αὐτὴν ἃ βούλεται καὶ εἰς φιλίαν συγκαταβαίνειν ἀνδράσιν οἷς βούλεται· πολλάκις γὰρ ἐξ ἁπλότητος τῶν ἀνδρῶν τοιαῦτα πταίσατα συμβαίνει <ἐ>ν γυναιξίν. ἀλλ᾽ εἰ ἔστιν ἀπολογίας τόπος ἢ μὴ τοῖς τοιούτοις ἀνδράσιν ἐπὶ τοῖς τοιούτοις συμπτώμασιν, ἐπιμελῶς ζητήσας ἀποφανεῖ καὶ εἰς τὰ ἐπηπορημένα ἡμῖν κατὰ τὸν τόπον. καὶ <ὁ> ἀποστερῶν δὲ ἀπὸ τῆς γυναικὸς ἑαυτὸν ποιεῖ αὐτὴν πολλάκις μοιχευθῆναι, μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις, κὰν φανταςίᾳ πλείονος σεμνότητος καὶ σωφροςύνης τὸ τοιοῦτο ποιῇ· καὶ τάχα μᾶλλον οὗτος ἐπίληπτος ὁ (τὸ ὅσον ἐφ᾽ ἑαυτῷ) ποιῶν αὐτὴν μοιχευθῆναι μὴ ἐκπληρῶν αὐτῆς τὰς ὀρέξεις ἢ ὁ ἀπολύσας αὐτὴν παρεκτὸς λόγου μὲν πορνείς, ἐπὶ φαρμακείᾳ δὲ ἢ φόνῳ ἤ τινι τῶν βαρυτάτων ἁμαρτημάτων. ὥσπερ δὲ μοιχαλίς ἐστι γυνή, κἂν δοκῇ γαμεῖσθαι ἀνδρί, ἔτι ζῶντος τοῦ προτέρου, οὕτως καὶ ἀνὴρ γαμεῖν δοκῶν ἀπολελυμένην οὐ γαμεῖ (κατὰ τὴν τοῦ σωτῆρος ἡμῶν ἀπόφασιν) ὅσον μοιχεύει.

Μετὰ δὲ ταῦτα κατανοήσαντες οἱ τοῦ Χριστοῦ μαθηταί, ὅσα δύναταοι γενέσθαι συμπτώματα ἐν γάμοις, ὧν ἀνέχεσθαι δεῖ τὸν ἄνδρα, καὶ κατὰ τοῦτο <ἀνεχόμενον> ἀπαλλάσσειν σκληρότατα ἢ μὴ ἀνεχόμενον παρανομεῖν εἰς τοὺς Χριστοῦ λόγους,

φαςὶν αὐτῷ, <ὡς> ἐπὶ εὐχερέστερον τὴν ἀγαμίαν καταφεύγοντες καὶ μᾶλλον συμφέρον ἢ ὡς δοκεῖ συμφέρειν γάμος· εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. πρὸς τοῦτο δὲ εἶπεν αὐτοῖς ὁ σωτήρ, διδάσκων ἡμᾶς δῶρον εἶναι τὸ διδόμενον ἀπὸ θεοῦ τὴν παντελῆ καθάρευσιν, καὶ οὐ μόνον ἀσκήσει παραγινόμενον ἀλλὰ μετ᾽ εὐχῶν <πολλὼν> ὑπὸ θεοῦ διδόμενον, τὸ οὐ πάντες χωροῦσι τὸν λόγο ν, ἀλλ᾽ οἷς δέδοται. εἶτ᾽ ἐπεί τινες συκοφαντοῦσι τὸ οἷς δέδοται, ὡς ἐχόντων ἀπολογίαν τῶν βουληθέντων μὲν καθαρεῦσαι ἐν ἀγαμίᾳ, νικηθέντων δὲ ὑπὸ τῶν ὀρέξεων, λεκτέον, ὅτι εἴπερ πιστεύομεν τοῖς γεγραμμένοις, τί δήποτε ἐπιλαμβανόμεθα μὲν τοῦ ἀλλ᾽ οἷς δέδοται, οὐκέτι δὲ προςέχομεν τῷ »αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν« καὶ τῷ ἐπιφερομενῳ αὐτῷ »πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει«; εἰ γὰρ χωροῦσι τὸν περὶ τοῦ παντελῶς καθαρεύειν λόγον οἷς δέδοται, ὁ βουλόμενος αἰτείτω, πειθόμενος καὶ πιστεύων τῷ λέγοντι· »αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν«, καὶ <λήψεται> μὴ ἀμφιβάλλων περὶ τοῦ »πᾶς ὁ αἰτῶν λαμβάνει«. ἔνθα δὴ γενόμενος ζητήσεις, τίς ὁ αἰτῶν. οὐδεὶς γὰρ τῶν μὴ λαμβανόντων, εἰ καὶ ἔδοξεν ᾔτηκέναι, ᾔτησεν· ἐπεὶ οὐ θεμιτὸν φάσκειν ψεῦδος εἶναι τὸ »πᾶς ὁ αἰτῶν λαμβάνει«. τίς οὖν ὁ αἰτῶν ἢ ὁ πεισθεὶς τῷ Ἰησοῦ λέγοντι· »ἐὰν στήκητε προσευχόμενοι«, »πι- Στεύετε ὅτι λαμβάνετε, καὶ λήψεσθε«; Χρὴ δὲ τὸν αἰποῦντα ποιεῖν πάντα Τὰ παρ᾽ αὐτῷ, ἵνα προσεύχηται »πνεύματι«, προσεύχηται »δὲ καὶ Τῷ νοΐ«, καὶ <τοῦ> »ἀδιαλείπτως Προσεύχεσθε«μεμνημένον Καὶ τοῦ»ἔλεγε δὲ παραβολὴν αὐτοῖς Πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι αὐτοὺς καὶ μὴ ἐκκακεῖν, λέγων· Κριτής τις ἦν ἔν τινι πόλει« καὶ τὰ ἑξῆς. χρήσιμον δὲ εἰς τὸ γινώσκειν, τί τὸ αἰτεῖν καὶ τὸ λαβεῖν ἐστι καὶ τί τὸ »πᾶς ὁ αἰτῶν λαμβάνει«, Καὶ τὸ »λέγω ὑμῖν, εἰ καὶ οὐ κώσει Αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι φίλον Αὐτοῦ, διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει <αὐτω> ὅσων κρῄζει«· ἐπιφέρει γοῦν· »κἀγὼ ὑμῖν λέγω, Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν« Καὶ τὰ ἑξῆς. ἔτι προτρεπτκὸν διὰ τὸ οὐ πάν- τες χωροῦσι τὸν λόγον, ἀλλ᾽ οἷς δέδοται, εἰς τὸ αἰτεῖν ἀξίως Τοῦ λαβεῖν καὶ τὸ »τίς δὲ ἐξ ὑμῶν τὸν πατέρα υἱὸς αἰτήσει ἰχθύν, μὴ ἀντὶ ἰχθύος ὄψιν ἐπιδώσει αὐτῷ;« καὶ τὰ ἑξῆς. δώσει οὖν τὸ ἀγαθὸν δόμα, τὴν παντελῆ καθά- Ρευσιν ἐν ἀγαμίᾳ καὶ ἀγνείᾳ ὁ θεὸς Τοῖς »ἐξ ὅλης ψυχῆς« καὶ μετὰ Πάστεως καὶ »ἀδιαλείπτως« ἐν προσ- Ευχαῖς αἰτοῦσιν αὐτόν.

Book 15

Τῶν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον ἐξηγητικῶν Ὡρι- Γένους τόμος ιε΄.

Εἰσὶ γὰρ εὐνοῦχοι οἵτι- Νες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως ἕως τοῦ ὁ δυνάμενος χωρεῖν χωρείτω (19, 12).

Δύο ἐσομένας περὶ τὸν τόπον Τοῦταν παρεκδοχὰς πρὸ τῆς φαινο- Μένης ἡμῖν ἀληθοῦς εἰς τὸν τόπον διηγήσεως ἐκθέμενοι Καὶ μετὰ τοῦτο ὡς δυνατὸν ἡμῖν ἀνα- Τρέψαντες αὐτάς, ἵν’ ὅσον ἐπὶ τοῖς Λεχθησομένοις πᾶν σφάλμα φυλαξά- Μενοι τὸ ἀληθὲς βούλημα τῶν κατὰ τὸν τόπον ἐὰν χωρῶμεν, τό<τε> Κρεῖττον βιώσωμεν, οὕτως ἤκωμεν ἐπὶ τὸ προκείμενον.

Τινὲς μὲν γάρ, ὡς ἀκόλουθον τῇ ἐνεργείᾳ τῶν κατὰ τὸ σωματικὸν ὁρωμένων δύο εὐνουχισμῶν καὶ τὸν τρίτον σωμτικὸν νομίσαντες, ἐπόλμησαν ἑαυτοὺς παρασχεῖν απὸ φόβου μὲν τοῦ πρὸς θεόν, ἀνεπιστημόνως δέ, εὐνουχισμῷ ὁμο- γενεῖ τοῖς δύο προτέροις καὶ ἑαυτοῦς ὑποβεβλήκασιν ὀνει- Δισμῷ, τάχα δὲ καὶ αἰσχύνῃ οὐ Παρὰ μόνοις τοῖς ἀλλοτρίοις τῆς Πίστεως, ἀλλὰ καὶ παρὰ τοῖς πᾶσι Μᾶλλον τοῖς ἀνθρωπίνοις πράγμασι συγγινώσκουσιν ἤ τῷ (φανταςίᾳ φόβου δεοῦ καὶ σωφροςύνης ἀμέτρῳ ἔρωτι) γεν- νήσαντι πόνους καὶ σώματος ἀκρω- τηριασμὸν καὶ εἴ τι ἕτερον πάθοι ἂν ὁ τηλικούτῳ ἑαυτ[ον παρασχὼν Πράγματι. ἕτεροι δὲ καὶ οἱ πολλοὶ οὕτω νενοή- κασι, μὴ βασανίσαντες τρόπον ἀκο- λουθίας λόγων· τοὺς μὲν προτέρους δύο Αὐτόθεν καὶ Σωματικῶς ἐξειλήφασιν εἰρῆσθαι Τῷ σωτῆρι ὡς οὐδὲν πλέον τῶν Αἰσθητῶν ἐμφαίνοντι, τὸν δὲ τρίτον οὐκέτι κατὰ τὴν λέξιν λελέχθαι Νενομίκασιν, ἀλλ’ εὐνουχισμὸν ἡγήσαντο τὸν ἀπὸ λόγου ἐν τῷ τρίτῳ σημαίνεσθαι, ὅτε προθέσει τῆς τῶν οὐρανῶν βασιλείας τῷ τμητικωτάτῳλόγῳ ἐκτεμόντες τὸ τῶν τοιούτων ἐπιθυ- Μητικὸν Καταπεφρονήκασι τῶν ὕβρεων τοῦ Σώματος, μὴ δυναμένων ἔτι νικῆσαι Ψυχὴν τῷ λόγῳ ἐκτετμηκυῖαν τὴν ἐπιθυμίαν. Χρὴ δὲ εἰδέναι ὅτι Οἱ μὲν πρότεροι τοῦ εὐαγγελικοῦ Γενόμενοι φίλοι γράμματος καὶ μὴ ἐπιστήσαντες ὅτι καὶ ταῦτα ἐν παραβολαῖς ἐλάλησεν ὁ Ἰησοῦς καὶ πνεύματι εἴρηται, ἀκολουθότερον μὲν νενοήκασι τὰ κατὰ τὸν τόπον τοῖς ὁμολογοῦσι τοὺς προτέρους δύο εὐνουχισμοὺς σωματικῶς λελέχθαι, ἐξωμάλισαν γὰρ ἀκολούθως τοῖς Προτέροις δύο Τὸν τρίτον, οὐ πταίοντες μὲν ὡς πρὸς Τὸ ἀκόλουθον τοῖς τριςίν, ἀναγκαίως Δὲ πταίσαντες τῷ τὴν ἀρχὴν Τῶν κατὰ τὸν τόπον παρεωρακέναι· Τῷ γὰρ σωματικῶς λελέχθαι τοὺς δύο ἕπεται καὶ τὸν

τρίτον εἶναι σω- Ματικόν. ὁ δὲ δεύτεροι τῷ μὲν τρίτῳ ὑγιῶς ἐπιβεβλήκασι τὴν ἀπὸ λόγου νομίσαντες δηλοῦ- Σθαι ἐκτομὴν Τοῦ παθητικοῦ ἀπὸ τῆς ψυχῆς. Οὐκέτι δὲ τεεωρήκασιν ὅτι ἁρμόζον ἦν τῇ τοιαύτῃ ἐκδοχῇ καὶ τοὺς προτέρους δύο εὐνουχισμοὺς ὁμοίως τῷ τρίτῳ ἀλληγορῆσαι, ἢ ἐξομαλίασι παραπληςίως τοῖς προτέροις δυςὶ καὶ τὸν τρίτον. Εἴπερ οὖν ἐπ’ ἄλλων τινῶν οὐ μόνον τῆς διαθήκης τῆς παλαιᾶς ῥητῶν ἀλλὰ καὶ τῆς καινῆς ἁρμόζει λέγειν· »τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ«, τοῦτο καὶ ἐπὶ τῶν κατὰ τὸν προκείμενον τόπον ὁμολογητέον· τηρηθὲν γὰρ τὸ γράμ- Μα τῶν δύο εὐνουχισμῶν εἴποι τις ἂν ὅτι ἀπέκτεινε τοὺς ἀκολούθως τοῖς προτέροις τὸν τρίτον νοήσαντας καὶ τολμήσαντας εἰπεῖν (ὡς κατὰ τὸν λόγον τοῦ κυρίου χωροῦντας Αὐτὸ νοεῖν) ἐπὶ τῷ διὰ τὴν βασι- Λείαν τῶν οὐρανῶν ὁμοίως τοῖς Προτέροις εὐνυχισθεῖσιν εὐνου- Χίσαι ἑαυτούς.

Εἰ δὲ βούλεταί τις καὶ ἄλλα Παραδείγματα λαβεῖν τῆς καινῆς Διαθήκης ἐχούσης γράμμα ἀπο- Κτεῖνον, ἀκουέτω παραδείγματος Χάριν τίνα τρόπον ὁ σωτὴρ πρὸς τοὺς ἀποστόλους εἶπεν· »ὅτε ἀπέστειλα ὑμᾶς ἔτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε;« οἷς ἐπιφέρεται τὸ »οἱ δὲ εἶπον· οὐδενός. εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωληςάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοραςάτω μάχαιραν«. εἴ τις γὰρ διὰ τὸ ταῦτα εἰρηκέναι τὸν Ἰησοῦν μὴ ἐνιδὼν τῷ βουλήματι τῶν λελεγμένων πωλήσαι τὸ αἰσθητὸν ἑαυτοῦ ἱμάτιον καὶ ἀγοράσαι μάχαιραν ἀνδροφόνον, ὡς λαβὼν »μάχαιραν« τοιαύτην καὶ παρὰ τὸ βούλημα τοῦ Ἰησοῦ ποιήσας, παρεκδεξάμενος αὐτοῦ τὸν λόγον ἀπολεῖται μέν, τάχα δὲ καὶ »ἐν μαχαίρᾳ« ἀπολεῖται. ποδαπὴ δὲ ἡ μάχαιρα, οὐ τοῦ παρόντος ἐστὶ καιροῦ διηγήσασθαι. ἀλλὰ καὶ τὸ »μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε« εἴ τις μὴ ἐξετάσας, τί βουλόμενος ὁ Ἰησοῦς τοῦτο προςέταξεν, ὡς ζηλῶν ἀποστολικὸν βίον »μηδένα κατὰ τὴν ὁδὸν« ἀσπάσοιτο, ἀπάνθρωπος <καὶ μωρὸς> ἂν εἶναι δόξαι τοῖς θεωροῦσιν αὐτὸν τοιοῦτον· οἵτινες τὴν αἰτίαν τοῦ οὕτως νοήσαντος ἐπὰν ἀναφέρωσιν ἐπὶ τὸν λόγον, δι’ ὃν ἐκεῖνος ἔδοξε τοῦτο πράττειν, ἐναχθεῖεν ἂν πρὸς τὸ μισεῖν τὸν λόγον τοῦ θεοῦ, ὡς ἀγρίους καὶ ἀπανθρώπους κατασκευάζοντα τοὺς ἐν αὐτῷ. καὶ τούτου τὴν αἰτίαν λαβὼν ὁ »μηδένα κατὰ τὴν ὁδὸν« ἀσπαζόμενος πάθοι ἂν προφάσει τοῦ γράμματος θάνατον, τοῦ γράμματος αὐτὸν ἀποκτείνατος. εἰ δὲ καὶ τὸν δεξιὸν ὀφθαλμόν τις ἐκκόπτοι ὡς αἴτιον τοῦ κακῶν βλέπειν, ἢ τὴν δεξιὰν τοῦ σώματος χεῖρα ἢ τὸν δεξιὸν κατὰ σάρκα πόδα, πάθοι ἂν μετὰ *** τῶν ἀποκτιννυμένων διὰ τὸ γράμμα, ὡς καὶ αὐτὸς μείνας ἐπὶ τοῦ γράμματος, δέον ἀναβαίνειν αὐτὸν ἐπὶ τὸ πνεῦμα τοῦ λεγομένου.

Ἄλλοι μὲν οὖν τῶν πρὸ ἡμῶν οὐκ ὤκνησαν ἰδίοις συγγράμμασιν ἀφορμὰς παρασχεῖν τοῦ τὸν τρίτον εὐνουχισμὸν τολ\μῆσαί τινας παθεῖν προφάσει βασιλείας οὐρανῶν, παραπλήσιον ὄντα τοῖς ποοτροις δυσίν.

ἡμεῖς δὲ Χριστὸν (τὸν λόγον τοῦ θεοῦ) »κατὰ σάρκα« καὶ κατὰ τὸ γράμμα ποτὲ νοήσαντες, »<ἀλλὰ> νῦν οὐκέτι« γινώσκοντες, οὐκ εὐδοκοῦμεν ὡς καλῶς

ἐξειληφόσι τοῖς καὶ τὸν τρίτον εὐνουχισμὸν ἑαυτοῖς προφάσει τῆς βασιλείας τῶν οὐρανῶν ἐπάγουσι. καὶ οὐκ ἂν ἐπὶ πλεῖον προσδιετρίψαμεν τῇ ἀνατροπῇ τοῦ τὸν τρίτον παραπλησίως τοῖς προτέροις δυσὶ σωματικῶς ἐκλαβεῖν θέλοντος, εἰ μὴ καὶ ἑωράκειμεν τοὺς τολμήσαντας καὶ ἐντετεύχειμεν τοῖς δυναμένοις θερμοτέραν κινῆσαι ψυχὴν (καὶ πιστὴν μὲν οὐ λογικὴν δὲ) πρὸς τὸ τοιοῦτον τόλμημα. φησὶ δὴ Σέξτος ἐν ταῖς Γνώμαις, βιβλίῳ φερομένῳ παρὰ πολλοῖς ὡς δοκίμῳ· »πᾶν μέρος τοῦ σώματος τὸ ἀναπεῖθόν σε μὴ σωφρονεῖν ῥῖψον· ἄμεινον γὰρ χωρὶς τοῦ μέρους ζῆν σωφρόνως ἢ μετὰ τοῦ μέρους ὀλεθρίως«. καὶ πάλιν προβὰς ἐν τῷ αὐτῷ βιβλίῳ ἀφορμὴν διδοὺς ἐπὶ τὸ παραπλήσιον λέγει· »ἀνθρώπους ἴδοις ἂν ὑπὲρ τοῦ τὸ λοιπὸν τοῦ σώματος ἔχειν ἐρρωμένον ἀποκόπτοντας αὐτῶν καὶ ῥίπτοντας μέρη· πόσῳ βέλτιον ὑπὲρ τοῦ σωφρονεῖν;« καὶ Φίλων δέ, ἐν πολλοῖς τῶν εἰς τὸν Μωςέως νόμον συντάξεων αὐτοῦ εὐδοκιμῶν καὶ παρὰ συνετοῖς ἀνδράσι, φησὶν ἐν βιβλίῳ ᾧ οὕτως ἐπέγραψεν· Περὶ τοῦ τὸ χεῖρον τῷ κρείττονι φιλεῖν ἐπιτίθεσθαι, ὅτι »ἐξευνουχισθῆναι μὲν ἄμεινον ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾶν«.

Ἀλλ’ οὐ πιστευτέον αὐτοῖς μὴ τὸ βούλημα τῶν ἱερῶν γραμμάτων περὶ τούτων ἐξειληφόσιν. εἰ γὰρ ἐν τοῖς καρποῖς »τοῦ πνεύματος« κατείλεκται μετὰ ἀγάπης καὶ χαρᾶς καὶ μακροθυμίας καὶ τῶν λοιπῶν καὶ ἡ ἐγκράτεια, καρποφορητέον μᾶλλον τὴν ἐγκράτειαν καὶ τὸ δεδομένον ἀπὸ θεοῦ σῶμα ἄρρεν τηρητέον, ἤπερ ἄλλο τι τολμητέον, ἵνα καὶ παραβαίνῃ τις τὸ καὶ ὡς πρὸς τὸ ῥητὸν χρηςίμως λέγον· »οὐ φθερεῖς τὴν ὄψιν τοῦ πώγωνός σου«. χρήσιμον εἰς ἀποτροπὴν θερμῶν μὲν τῇ <δὲ> πίστει νεωτέρων, οἷς ὁμολογεῖν χρὴ ὅτι ἔρωτα σωφροςύνης ἔχουσιν »ἀλλ’ οὐ κατ’ ἐπίγνωσιν«, καὶ τὸ »ἐὰν δὲ μάχωνται ἄνθρωποι ἐπὶ τὸ αὐτό, ἄνθρωπος μετὰ τοῦ ἀδεκφοῦ ἑαυτοῦ« καὶ τὰ ἑξῆς, ἕως τοῦ »οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ’ αὐτῇ«. εἰ γὰρ ἀποκόπτεται χεὶρ ἐπιλαβομένη διδύμων ἀνδρός, πῶς οὐχὶ καὶ ὁ ἑαυτὸν δι’ ἄγνοιαν ὁδοῦ φερούσης ἐπὶ σωφροσύνην τοιαύτῃ περιστάσει ἐπιδεδωκώς; ἐπιλογισάσθω οὖν ὁ μέλλων τὸ τοιοῦτον τολμᾶν, ἃ πείσεται ὑπὸ τῶν ὀνειδιζόντων καὶ συγχρωμένων τῷ »οὐκ εἰσελεύσεται θλαδίας καὶ ἀποκεκομμένος εἰς ἐκκλησίαν κυρίου«, συναριθμούντων αὐτὸν τοῖς ἀποκεκομμένοις τὸν ἄνδρα. οὕπω λέγω καὶ ἃ πάθοι ἄν τις παρὰ καιρὸν ἐμποδισθέντων τῶν (ὡς ἰατρῶν παῖδές φασιν) ἀπὸ κεφαλῆς καταβαινόντων ἐπὶ τοὺς ἄρρενας τόπους σπερμάτων καὶ ἐν τῷ καταβαίνειν διά τινων περὶ τὰς παρειὰς φλεβῶν τῇ φυσικῇ τῶν καταβαινόντων θερμότητι τρίχας ποιούντων φύειν τοὺς ἄνδρας περὶ τὰ γένεια· ὧν τριχῶν στέρονται καὶ οἱ νομίζοντες ἑαυτοὺς δεῖν σωματικῶς εὐνουχίζειν διὰ τὴν τῶν οὐρανῶν βασιλείαν. τίνα δ’ ἂν πάθοιεν, ἢ καρηβαρίας ἢ σκοτώσεις ἔσθ’ ὅτε φθανούσας καὶ ἐπὶ τὸ ἡγεμονικὸν καὶ ταραττούσας τὸ φανταστικὸν ἀλλόκοτα φαντασιούμενον ἀπὸ τῆς τοιᾶσδε ὕλης; πρὶν δὲ ἔλθω ἐπὶ τὴν διήγησιν τῶν κατὰ τὸν τόπον, λεκτέον ὅτι, εἴπερ τι ἀκόλουθον ἑαυτῷ ὁ Μαρκίων πεποίηκε φάσκων μὴ δεῖν ἀλληγορεῖν τὴν γραφήν, καὶ τοὺς τόπους τούτους ἠθέτησεν ὡς οὐχ ὑπὸ τοῦ σωτῆρος εἰρημένους, νομίσας δεῖν ἤτιο παραδέξασθαι (μετὰ τοῦ φάσκειν τὸν σωτῆρα ταῦτα εἰρηκέναι) τὸ καὶ ἐπὶ τὰ τοιαῦτα τολμᾶν ἑαυτὸν παραδιδόναι πεισόμενον τὸν παπιστευκότα, ἢ μὴ

ἂν εὐλόγως τολμήσαντα τὰ τηλικαῦτα, ἐσόμενα εἰς δυσφημίαν τὴν κατὰ τοῦ λόγου, μηδὲ πιστεύειν εἶναι τοῦ σωτῆρος τοὺς λόγους, εἴ γε μὴ ἀλληροροῦνται.

Ἡμεῖς δὲ οἱ βουλόμενοι τὴν ἀκολουθίαν σῴζειν τῶν τριῶν εὐνουχισμῶν καὶ εὐδοκοῦντες τῇ τροπολογίᾳ τοῦ τρίτου. τοιαῦτα φήσομεν καὶ περὶ τῶν προτέρων δύο. εὐνοῦχοι τροπικῶς νῦν οἱ ἀργοὶ πρὸς ἀφροδίδια λέγοιντ’ ἂν καὶ μὴ ἐπιδιδόντες ἑαυτοὺς ταῖς κατὰ ταῦτα ἀσελγείαις καὶ ἀκαθαρσίαις ἢ τοῖς παραπλησίοις αὐταὶς. εἰσὶ δὲ τῶν πρὸς ταῦτα ἀργούντων διαφοραὶ (οἷμα) τρεῖς. οἱ μὲν γὰρ ἐκ κατασκευῆς εἰσι τοιοῦτοι. περὶ ὧν λέγοιτ’ ἂν τὸ εἰσὶν εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτως. οἱ δὲ ἐκ λόγων μὲν <ἀνθρωπίνων> ἀσκοῦσι προτραπέντες τὴν τῶν ἀφροδισίων ἀποχὴν καὶ πάσης τῆς περὶ τὸν τόπον ἀκολασίας· οὐ μὴν τὸ γεννῆσαν αὐτοῖς τὴν τοιαύτην πρόθεσιν καὶ ἄσκησιν καὶ τὴν (Ἵν’ οὕτως ὀνομάσω) κατόρθωσιν λόγος γέγονε θεοῦ, ἀλλ]\α ἀνθρώπινοι λόγοι εἴτε τῶν φιλοσοφησάντων παρ’ Ἕλλησιν εἴτε »τῶν κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων« ἐν ταῖς αἱρέσεσιν· οὗτοι δή μοι δοκοῦσι δηλοῦσθαι ἐν τῷ εἰδὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. τὸ δ’ ἀποδοχῆς ἄξιον, εί τὸν λόγον τις ἀναλαβὼν τὸν εἰ τὸν λόγον τις ἀναλαβὼν τὸν ζῶντα καὶ ἐνεργῆ καὶ τομώτερον »ὑπὲρ πᾶσαν μάχαιραν δίστομον« καὶ »τὴν« (ὡς ὠνόμασεν ὁ ἀπόστολος) »μάχαιραν τοῦ πνεύματος« ἐκτέμνοι τὸ τῆς ψυχῆς παθητικὸν μὴ ἁπτόμενος τοῦ σώματος, καὶ τοῦτο ποιοῖ * * * καὶ νοήσας βασιλείαν οὐρανῶν καὶ μέγιστον συμβαλλόμενον πρὸς τὸ κληρονομῆσαι βασιλείαν οὐρανῶν τὸ ἐκτεμεῖν λόγῳ τὸ παθητικὸν τῆς ψυχῆς αὐτοῦ. τοῖς δὲ τοιούτοις ἁρμόζοι ἄν, καὶ οὐχ ὡς οἴονται οἱ σωματικῶς τὰ κατὰ τὸν τόπον ἐξειληφότες. τὸ εἰσίν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.

Μεγάλη δὲ δύναμις τὸ χωρῆσαι τὸν ἀπὸ λόγου τῆς ψυχῆς εὐνουχισμόν, ὃν οὐ πάντες χωροῦσιν, ἀλλ’ οἷς δέδοται· δέδοται· δὲ πὰσι τοῖς αἰτήσασιν ἀπὸ θεοῦ τὴν λογικὴν μάχαιραν ακὶ δεόντως αὐτῇ χρησαμένοις. ἵν’ εὐνουχίσωσιν ἑαυτοὺς διὰ τὴν τῶν οὐρανῶν βασιλείαν. εἰ δὲ χρὴ καὶ ἱστοριῶν ἐφάψασθαι τῶν κατὰ τὰς γραφὰς μετὰ τῆς ὑποφαινομένης ἡμῖν εἰς αὐτὰς ἀναγωγῆς, φήσομεν ὅτι εἰσί τινες εὐνοῦχοι τοῦ Φαραὼ ἄγονοι παντὸς καλοῦ, ἵν’ οἰκοδομήσωσι πεσοῦσαν τὴν Ἰερουσαλήμ. περὶ μὲν οὖν τῶν προτέρων ἐν τῇ Γενέσει γέγραπται· τῶν δὲ δευτέρων παράδειγμα ὁ ὅς φησι· »καὶ ἐγὼ ἤμην εὐνοῦχος τῷ βασιλεῖ. καὶ ἐγένετο ἐν μηνὶ Νισὰν ἔτους εἰκοστοῦ ἀρσαθερθᾷ βασιλεῖ« καὶ τὰ ἑξῆς, ἕως τοῦ »καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπέστειλέ με«. καὶ σὺ δὲ ἐντυγχάνων τῷ δευτέρῳ Ἔζρα εὑραήσεις ὅλα τὰ κατὰ τὸν τόπον καὶ ἐπιστήσεις διὰ τί ἄξιός ἐστιν εὐνοῦχος γενόμενος ἀρχηγὸς τοῦ ἀνοικοδομηθῆναι τὸν ναὸν τοῦ θεοῦ. φασὶ γὰρ Ἑβραίων παῖδεσ τὸν Δανιὴλ καὶ τοὺς τρεῖς σὺν αὐτῷ (Ἀνανίαν, Ἀζαρίαν, Μισαὴλ) ἐν Βαβυλῶνι εὐνουχίσθαι, πληρουμένης τῆς πρὸς τὸν Ἑζεκίαν εἰρημένης προφητείας ὑπὸ ἡσαΐου ἐν τῷ »ἀπὸ τοῦ σπέρματός σου λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλῶνος«. φασὶ δὲ ὅτι περὶ τούτων καὶ Ἡσαΐας προεφήτευσε φάσκων· »μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκείμενος κυρίῳ· ἀφοριεῖ με ἄρα κύριος ἀπὸ τοῦ λαοῦ αὐτοῦ« καὶ τὰ ἑξῆς ἕως τοῦ »κρείττονα

υἱῶν καὶ θυγατέρων«. καλὸν οὖν, ὡς πρὸς τὸν μυστικὸν τόπον. τὸ μὴ γεννᾶν ἐν Βαβυλῶνι, ἀλλὰ ἄγονον εἶναι πρὸς τὴν Βαβυλῶνα ὡς ὁ Δανιήλ, ἵνα γεννήσωμεν συλλαβόντες ἀπὸ τοῦυ θείον πνεύματος (ὡς ἐκεῖνος καὶ οἳ σὺν αὐτῷ) ὁράματα καὶ προφηττείας. δεῖ δὲ εἰδέναι ὅτι οὐκ ὀλίγας εὕροι ἂν πιθανότητας εἰς κατασκευὴν τοῦ τοὺς τρεῖς σωματικοὺς εἶναι εὐνουχισμοὺς ὁ βουλόμενος παραστῆναι τῷ λόγῳ καὶ συναγορεῦσαι καὶ τοῖς προειρημένοις καὶ <τοῖς> διὰ τῶν συγγραμμάτων τοῦτο διδάξασιν. οὐκ ἐβουλήθημεν δὲ ἐκθέσθαι αὐτάς, μὴ γυμνασίας εἵνεκεν τιθέντες τοὺς λόγους καὶ τὴν λύσιν ἑκάστου ἐκθέμενοι, πρόφασις γενώμεθα τοῖς μὴ ὡς βούλεται ὁ Ἰησοῦς χωροῦσι τὸν περὶ εὐνουχίας λόγον πρὸς τὸ ἐν ἑτέρῳ <ἢ> δεῖ <νοῖ> νοεῖν τὸ χωρεῖν, καὶ σωματικῶς αὐτὸ ὑπολαμβάνειν, δέον »πνεύματι« ζῶντα »καὶ πνεύματι« στοιχοῦντα καὶ τοὺς τρεῖς εὐνουχισμοὺς πνευματικῶς πεπεῖσθαι λελέχθαι.

Τότε προσηνέχθησαν αὐτῷ παιδία καὶ τὰ ἑξῆς ἕως τοῦ καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν (19, 13—15).

Τότε μὲν ἡ ἀναγεγραμμένη ἱστορία γέγονε τοῦ καὶ προσενηνέχθαι παιδία τῷ Ἰησοῦ; βουλομένων τῶν προσφερόντων ἐπιθεῖναι αὐτὸν τὰς χεῖτας αὐτοῖς καὶ προσεύξασθαι. ἱστέον δὲ ὅτι οὐκ ἔστιν ὅτε οὐ προσφέρεται παιδία τὴν ψυχὴν τῷ Ἰησοῦ, ἐφ’ οἷς λέγοι ἄν (ὡς παρακαταθήκην αὐτὰ ἀπὸ θεοῦ λαβὼν) τὸ »ἰδοὺ ἐγὼ καὶ τὰ παιδίαα ἅ μοι ἔδωκεν ὁ θεός«. καὶ ἀπὸ τῶν πα ιδίων γε τούτων τινὰ μὲν χρηματιζέτω νήπια ἄλλα δὲ λεγέσθω θηλάζοντα ὡς τῶν νηπίων ὑποδεέστερα, καὶ ὁ κύριος ἡμῶν »ἐνκ στόματος« ἀμφοτέρων καταρτιζέτω »αἶνον«, ἵνα ᾖσθημένοι τῆς τοιαύτης αὐτοῦ εἰς ᾖσθημένοι τῆς τοιαύτης γωμεν τὸ »ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον«. παισία δὲ λεκτέον τοὺς ἐν Χριστῷ σαρκίνους καὶ νηπίους, ὁποίους Κορινθίους ἐπιστάμενος ὁ ἀπόστολος Παῦλος .ἔλεγε· »κἀγὼ οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς ἀλλ’ ὡς σαρκίνοις, ὡς νηπίοις ἐν Χριστῷ«. τὰ τοιαῦτα δὴ παιδία προσηνέχθη χθη <καὶ> τότε καὶ ἀεὶ προσάγεται τῷ Ἰησοῦ. σημεῖον τῆς τῶν νηπίων προσαγωγῆς οἱ πολλοὶ τῆς ἐκκλησίας ἐν Χριστῷ νήπιοι καὶ θηλάζοντες, »χρείαν ἔχοντες γάλακτος. οὐ στερεᾶς τροφῆς«, πρὸς οὕς λεγοι ἄν <ὁ λέγων> (»ὡς ἄν τροφὸς θάλπουσα τὰ ἑαυτῆς τέκνα« θάλπων αὐτοὺς) τὸ »γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε, <ἀλλ’ οὐδὲ ἔτι νῦν δύνασθε«>.

Εἶτ’ ἐπεὶ οἱ μνησθέντετς εὐαγγελισταὶ τῶν κατὰ τὸν τόπον, ὅτι μὲν (ὡς ὁ Ματθαῖός φησι) προσηνέχθη παιδία τῷ Ἰησοῦ ἤ (ὡς ὁ Μᾶρκος) »προσέφερον αὐτῷ <παιδία« ἤ (ὡς ὁ Λουκᾶς) »προσέφερον δὲ αὐτῷ> καὶ βρέφη« ἀνέγραψαν, ὑπὸ τίνος δὲ προσηνέχθη ἤ τίνες προσέφερον, ἅμα <πάντες>παραλελοίπασιν, ἡμῖν καταλιπόντες ἐξετάζειν τὸ παραλελειμμένον, ἄξιον ἰδεῖν πότερον κατὰ συντυχίαν ὑπὸ τῶν τριῶν τὸ τοιοῦτον παραλέλειπται (δυναμένων ἀναγράψαι· προσηνέχθη αὐτῷ ἀπὸ τῶν γονένων ἤ ἀπὸ τῶν μητέρων, ἤ· »προσέφερον αὐτῷ βρέφη« ἤ »παιδία« αἱ μητέρες ἀὐτῶν), ἤ γνώσεως λογισμῷ καὶ σοφίᾳ τὸ τοιοῦτον πεποιήκασιν εἰς παράστασιν τοῦ ὅτι προσελθόντες ἄγγελοι τῷ Ἰησοῦ καὶ

διακονοῦντες αὐτῷ, αὐτοὶ νῷ θειοτέρῳ τὰς τῶν παιδίων ὁρῶντες διαφορὰς ἢ βρεφῶν οἴδασι τίνας προσφέρειν δεῖ τῷ Ἰησοῦ, ἵνα προσενεχθέντες αὐτῷ χειροθετηθῶσιν ὑπ’ αὐτοῦ, καὶ πότε· οἴδασι δὲ καὶ τίνας οὐ χρὴ ἤ ὅτι ἐπί τινα χρόνον οὐ χρή· οὐ γὰρ ἄτερ ἡγοῦμαι ἀγγελικῆς οἰκονομίας τὰ τοιαῦτα παιδία παροσέρχεσθαι τῷ Ἰησοῦ. τὸ δὲ βούλημα τῶν προσφερόντων τὰ παιδία ἐστὶ κατὰ μὲν τὸν Ματθαῖον ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς ὁ Ἰησοῦς καὶ προοσεύξηται, κατὰ δὲ τὸν Μᾶρκον »ἵνα ἅψηται αὐτῶν«, κατὰ δὲ τὸν εἰπόντα »βρέφη« αὐτὰ εἶναι Λουκᾶν »ἵνα αὐτῶν« ἅπτηται«. τῇ γὰρ προσευχῇ τοῦ Ἰησοῦ καὶ τῇ ἁφῇ αὐτοῦ τὰ παιδία καὶ τὰ βρίεφη, οὐ δυνάμενα ἀκούειν ἅπερ ἀκούουσιν οἱ ἤδη πνευματικοί, ἀρκεῖται εἰς βοήθειαν καὶ ἣν χωρεῖ ὠφέλειαν· ἅπτεται γὰρ αὐτῶν ἡ δύναμις Ἰησοῦ, μόνον χεῖρας ἐπιθέντος τὰς τῆς ἑαυτοῦ ἐπισκοπῆς αὐτοῖς, καὶ οὐκέτι αὐτῶν ἅπτεταί τι τῶν χειρόνων. τάχα δὲ καὶ (ὡς πρὸς τὸ ῥητὸν) τὸ βούλημα τῶν προσφερόντων αὐτῷ βρέφη καὶ παιδία τοιοῦτον ἦν, διαλαβόντων ὅτι οὐχ οἷόν τε ἦν, ἁψαμένου Ἰησοῦ βρεφῶν ἢ παιδίων καὶ δύναμιν διὰ τῆς ἁφῆς ἐναφιέτος αὐτοῖς, σύμπτωμα ἤ δαιμόνιόν [ἤ] τι ἄψασθαι οὗ φθάσας ὁ Ἰησοῦς ἥψατο.

Οἶμαι δ’ ὅτι καὶ ἐπεὶ πολλαὶ πονηραὶ δυνάμεις περὶ τὴν ἀνθρωπίνην ψυχὴν ἀρχῆθεν ἀσχολοῦνται ποικίλως αὐτῇ ἐπιβουλεύουσαι, διὰ τοῦτο ὡς ἤδη ἐκ τῶν προτέρων τὴν δύναμιν αὐτοῦ μαθόντες οἱ προσφέροντες τῷ σωτῆρι τὰ <παιδία ἤ τὰ> βρέφη τοῦτ’ ἐποίουν, ἵνα διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν αὐτοῦ καὶ τῆς περὶ τῶν παιδίων καὶ τῶν βρεφῶν εὐχῆς <καὶ> διὰ τῆς ἁφῆσ ἀπελαύνηται μὲν τὰ χείρονα, δύναμις δὲ ἐγγινομένη διαφέρουσα καὶ πρὸς τὰ ἐξῆς διαρκῇ ὡς κωλυτικὴ τυγχάνουσα ἐπαφῆς τῶν ἐναντίων. καὶ ὁ σωτὴρ οὖν οὐχ <ὡς> ἁπλοῦν τι καὶ ἄκαιρον ἐπιστάμενος τὸ τοιοῦτον, ἀλλὰ σωτήριον τοῖς ὑπ’ αὐτοῦ χειροθετουμένοις ὧν ἥπτετο, φησὶ τοῖς ἐπιτιμῶσι μαθηταῖς καὶ διὰ τοῦ ἐπιτιμᾶν κωλύουσιν αὐτῷ προσφέρεσθαι τὰ παιδία <ἤ τὰ βρέφη> τὸ ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με. εἰ μὲν οὖν ἔχει λόγον τὰ ἀποδεδομένα περὶ τοῦ ὑπὸ τίνων προσηνέχθη ἤ τίνες προσέφερον, ἀκολούθως ἄν ἐκείνοις μαθηταί τινες ἐξαίρετοι νοοῖντο τοῦ Ἰησοῦ δυνάμεις ἅγιαι μεμαθητευμέναι τῷ υἱῷ τοῦ· φθάνειν γὰρ καὶ ἐπὶ τοιαύτας τὸ τῶν μαθητῶν Ἰησοῦ ὄνομα εὔλογον, ἵνα μὴ μόνον οἱ ἄνθρωποι αὐτῷ μαθητεύωνται, ἀλλὰ καὶ ἄγγελοι, οἷς ὤφθη, καὶ εἴτις αὐτῷ πιστεύειν βούλεται ἀπὸ »παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι«. εἰ μέντοι τὸ τοιοῦτόν τις βίαιον νομίζοι, θέλων μὴ ἐπ’ ἄλλων τάσσεσθαι ἤ ἀνθρώπων τὸ τῶν μαθητῶν ὄνομα, ἐπιτιμώντων τοῖς προσφέρουσι τῷ Ἰησοῦ τὰ βρέφη καὶ τὰ παιδία, εἶεν ἄν οἱ τῶν διδάσκειν τὸν λόγον ἐπιχειρούντων ἁπλούστεροι καὶ μέχρι παισδίων λόγον ἔχοντες, γάλακτι ἐοικότα ποτίζοντι τοὺ γάλακτος χρῄζοντας, προσφέροντες τῷ Ἰησοῦ βρέφη καὶ παιδία· οὐ γὰρ δύνανται λόγῳ πνευματικωτέρῳ τῆς τούτων καταστάσεως *** πείθεν *** ὡς ὁ δυνάμενος λέγειν· »Ἕλλησί τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις ὀφειλέτης εἰμέ«. τούτων δὴ προσφερόντων τῷ Ἰησοῦ βρέφη καὶ παιδία <τοιαῦτα, τουτέστι νηπίους πίστεως καὶ ἧττον ἔτι μεμαθητευμένους, οἱ> λογικώτεροι νομιζόμενοι εἶναι τῶν διδασκόντων <ἐκείνων τῶν ἁπλουστέρων> καὶ διὰ τοῦτο

μαθηταὶ χρηματίζοντες Ἰησοῦ, πρὶν μάθωσι τὰ περὶ τῶν βρεφῶν καὶ τῶν παιδίων <τοιούτων>, ἐπιτιμῶσι τοῖς ἁπλούστερον διδάσκουσι καὶ παιδία <καὶ βρέφη τῷ Ἰησοῦ> προσφέρουσι.

Σαφῶς δὲ τὸ τοιοῦτον νοήσεις, ἐπιστήσας τῷ »βλέπετε γὰρ τὴν κλῆσιν ὑμπων, ἀδελφοί, ὅτι οὐπολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεὶς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο9 ὁ θεὸς « <«τὰ ἀσθενῆ« καὶ »τὰ ἀγενῆ« καὶ> »τὰ μὴ ὄντα, ἵνα τὰ ὄντι καταργήσῃ«. βλεπέτω τις οὖν τινα τῶν ἐπαγγελλομένων κατήχησιν ἐκκλησιαστικὴν καὶ διδασκαλίαν προσφέροντα »τὰ μωρὰ τοῦ κόσμου«, καὶ »τὰ ἐξουδενωμένα« »καὶ τὰ ἀγενῆ«*** καὶδιὰ τοῦτο λεχθηςόμενα ἂν καὶ παιδία <καὶ βρέφη>, καὶ βλέπων ἐπιτιμάτω (ὡς ἀκρίτως ποιοῦντι) τῷ προσφέροντι τηλικαῦτα τῷ σωτῆρι καὶ διδασκάλῳ βρέφηυ καὶ παιδία. καὶ πρόσχες εἰ μὴ ἁρμόζει ἀναφέρειν τὰ νῦν ἐξεταζόμενα ἐπὶ τὰ τοιαῦτα, τῶν μὲν προσφερόντων παιδία, ἵνα τὰς χεῖρας αὐτοῖς ἐπιθῇ Ἰησοῦς καὶ προσεύξηται, τῶν δὲ μαθητῶν ἐπιτιμώντων αὐτοῖς. εἴποι δ’ἂν πρὸς τοὺς ἐπιτιμῶντας ἐπὶ παιδίοις προσαγομένοις τῷ Ἰησοῦ <ὁ> διδάσκαλος καὶ σωτὴρ καὶ κύριος· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με. εἶτα προτρέπων τοὺς μαθητὰς <αὐτοῦ ἤδη> ὄντας ἄνδρας συγκαταβαίνειν τῇ ὠφελείᾳ τῶν παιδίων (ὅπως γένωνται τοῖς παιδίοις <ὡς> παιδία, ἵνα τὰ παιδία κερδήσωσι) λεγέτω ὁ σωτὴρ τὸ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· καὶ γὰρ αὐτὸς »ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ«, γέγονε παιδίον, ὥστε λελέχθαι τοῖς μάγοις ὑπὸ τοῦ Ἡρώδου περὶ αὐτοῦ· »πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου«, καὶ ὑπὶ τοῦ Ματθαίου ὅτι »ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς ἕως οὗ ἐλθὼν ἐστάθη οὗ ἦν τὸ παιδίον«· καὶ μετ’ ὀλίγα »ἐλθόντες (φησίν) εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ«. καὶ ὁ φανεὶς δὲ τῷ Ἰωσὴφ ἄγγελος παιδίον ἐκάλεσε τὸν <τοιοῦτον καὶ> τηλικοῦτον ἡμῶν σωτῆρα εἰπών· »ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον«. πάλιν τε αὖ τελευτήσαντος τοῦ Ἡρώδου ἄγγελος κυρίου κατ’ ὄναρ φαίνεται τῷ Ἰωςὴφ ἐν Αἰγύπτῳ λέων · ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ«. καὶ ὁ Ἰησοῦς οὖν οὐ μόνον κατὰ τὴν ἱστορίαν, ἀλλὰ καὶ κατὰ τὴν ἀναγωγὴν ἐταπείνωσεν »ἑαυτὸν ὡς παιδίον«, ὥστ’ ἂν εἰπεῖν ὡς τὸ »μάθετε ἀπ’ ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ«, οὕτῶς καὶ τὸ »μάθετε ἀπ’ ἐμοῦ« γενομένου ὡς παιδίον, πῶς λέγω τὸ *** τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, τοιούτων ὁποῖά ἐστι τὰ παιδία, περὶ ὧν οὐκ ἐπιτρέπει τοὺς μαθητὰς ἐπιτιμᾶν τοῖς προσφέρουσιν αὐτά. καὶ Παῦλος δὲ ὡς ἐπιστάμενος τὸ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, δυνάμενος »ἐν βάρει εἶναι ὡς Χριστοῦ« ἀπόστολος, ἐγένετο νήπιος καὶ παραπλήσιος τροφῷ θαλπούσῃ τὸ ἑαυτῆς παιδίον καὶ λαλούσῃ λόγους ὡς παιδίον διὰ τὸ παιδίον.

Τόυτων δὲ ἐπιμελῶς ἀκουστέον, ἵνα μὴ φανταςίᾳ σοφίας καὶ τοῦ διαβεβηκέναι καταφρονῶμεν ὡς μεγάλοι τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν ἀλλ’ εἰδότες πῶς εἴρηται τὸ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν τοιοῦτοι γενώμεθα, ἵνακαὶ δι’ ἡμῶν σώζηται τὰ παιδία. οὐ μόνον δὲ [οὐκ] ἀφιέντες τὰ παιδία προσφέρεσθαι

τῷ Ἰησοῦ οὐδὲ μόνον μὴ κωλύοντες αὐτὰ προσφέρεσθαι αὐτῷ, ἀλλὰ καὶ αὐτοὶ μετὰ τῶν παιδίων γενόμενοι παιδία <ἐν ταπεινότητι> τὸ βούλημα τοῦ σωτῆρος ποιήσωμεν, ἵνα σῳζομένων καὶ δι’ ἡμᾶς τοιούτους γενομένους τῶν παιδίων, ὡς ταπεινώσαντες ἑαυτοὺς ὑπὸ τοῦ θεοῦ ὑψωθῶμεν· καὶ τοιοῦτον γάρ τι δύναται νοεῖσθαι εἰς τὸ »πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται«, μάλιστα ἐπεὶ ἐν τοῖς ἀνωτέρω γέγραπται τὸ »ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὐτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν«. καὶ ταῦτα μὲν ἔστω χρήσιμα πρὸς τοὺς ἐπιτιμῶντας μαθητὰς παιδίων προσφεομένων τῷ Ἰησοῦ τοῖς προσφέρουσιν. ἵστω δὲ τὰ παιδία, κἂν μὴ πᾶσιν (ὡς παιδία) παρακολουθεῖν δύνηται τοῖς λεγομένοις, ὅτι ἐπέθηκε μὲν τοῖς παιδίοις ὁ Ἰησοῦς τὰς χεῖρας, ἐπιθεὶς δὲ ἐπορεύθη ἐκεῖθεν. καὶ δύναμιν ἐναφεὶς τοῖς παιδίοις διὰ τῆς ἁφῆς ἐπορεύθη ἀπὸ τῶν παιδίων, *** μὴ δυνηθέντων ὁμοίως τοῖς *** μαθηταῖς ἀκολουθεῖν τῷ Ἰησοῦ. Εἴπερ δὲ »λόγια κυρίου« ἐστὶ καὶ τὰ εὐαγγελικά, καὶ »λόγια ἁγινὰ« καὶ »ἀργύριον πεπυρωμένον«, »δοκίμιον«, ἀπεσταλμένον «τῇ γῇ« καὶ ἀκριβῶς »κεκαθαρμένον« καὶ »ἑπταπλασίως«, ὀφείλει τις εἶναι εὔλογος αἰτία, δι’ ἣν ἐκτιθέμενος τὰ κατὰ τὸν τόπον ὁ Ματθαῖος δύο μὲν εἶπε τὰ βουλήματα τοῦ προσενηνέχθαι τῷ Ἰησοῦ τὰ παιδία, οὐκέτι δὲ πρὸς τὰ δύο τὰ ἑξῆς ἐπιφέρει. προσηνέχθη μὲν γὰρ τὰ παιδία, οὐκέτι ἵνα μόνον τὰς χεῖρας αὐτοῖς ἐπιθῇ ὁ Ἰησοῦς, ἀλλὰ πρὸς τούτῳ ἵνα καὶ προσεύξηται.

γέγραπται δὲ <μετὰ τοῦτο> ὅτι καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν, οὐ γὰρ προσέθηκε· καὶ προσευξάμενος (ἠδύνατο γὰρ λελέχθαι· καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς καὶ προσευξάμενος ἐπορεύθη ἐκεῖθεν). ὅρα οὖν εἰ δύνασαι μείζοσι μὲν τῶν παιδίων τηρε<ῖσθαι λέγε> ιν τὴν προσευχὴν τοῦ Ἰησοῦ, δυναμένοις χωρῆσαι καὶ τὴν ἐπίθεσιν τῶν χειρῶν αὐτοῦ αὐτοῦ ἐπ’αὐτοῦς, καὶ τὴν περὶ αὐτῶν πρὸς τὸν πατέρα εὐχήν, μικροτέροις δὲ παιδίοις ἀρκεῖν λέγειν τὴν ἐπίθεσιν τῶν χειρῶν αὐτοῦ. εἰς δὲ τὰ ἀποδεδομένα περὶ τοῦ τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, προτρεόμενα καὶ τὸν σοφώτατον μὴ ὑπερηφανεῖν τοὺς ἐν τῇ ἐκκλησίᾳ μικροὺς μηδὲ καταφρονεῖν τῶν παιδίων καὶ νηπίων ἐν Χριστῷ, χρήσιμον παραλαβεῖν ἀπὸ τοῦ κατὰ Λουκᾶν τὸ »ἀμὴν λέγω ὑμῖν, ὅς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον«, ὁ οὐ παιδίον μὲν ὢν ἀλλὰ ἀνὴρ »τὰ τοῦ νηπίου« καταργήσας, γινόμενος δὲ τοῖς παιδίοις <»ὡς> παιδίον«, καὶ λέγων αὐτοῖς· »οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς ἀλλ’ ὡς σαρκίνοις, ὡς νηπίις ἐν Χριστῷ. γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα«. ὅλη γοῦν ἡ σύμφρασις τοῦ κατὰ Λουκᾶν τοιαύτη ἐστίν· »προσέφερον δὲ αὐτῷ καὶ βρέφη, ἵνα αὐτῶν ἅπτηται» καὶ τὰ ἑξῆς, ἕως τοῦ »ὅς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλῃ εἰς αὐτήν«. σχεδὸν δὲ ταῖς αὐταῖς λέξεσι καὶ ὁ Μᾶρκος μάλιστα τὰ τελευταῖα ὡσαύτως ἐξέθετο.

Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ· διδάσκαλε, τί ἀγαθὸν ποιήσω ἵνα σχῶ ζωὴν αἰώνιον; καὶ τὰ ἑξῆς, ἕως τοῦ πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι (19, 16–30).

Ἐν μὲν Ψαλμοῖς γέγραπται, ὡς δυναμένου τοῦ ἀνθρώπου ποιεῖν ἀγαθόν, ὅτι »ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; παῦσον τὴν γλῶσσάν σου ἀπὸ ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν«. ἐνταῦθα δὲ ὁ σωτὴρ πρὸς τὸν εἰπόντα· τί ἀγαθὸν ποιήσω, ἵνα ζωὴν αἰώνιον καληρονομήσω; εἶπεν, ὡς τοῦ κυρίως ἀγαθοῦ ἐπὶ μηδὲνα ἀναφερομένου ἢ τὸν θεόν, τὸ τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθός. χρὴ δὲ εἰδέναι, ὅτι ἐνταῦθα μὲν κυρίως τὸ ἀγαθὸν ἐπὶ τοῦ θεοῦ τέτακται μόνου, ἐν ἄλλοις δὲ καταχρηστικῶς καὶ ἐπὶ ἔργων ἀγαθῶν καὶ ἐπὶ ἀνθρώπου ἀγαθοῦ καὶ ἐπὶ δένδρου ἀγαθοῦ, καὶ σὺ δ’ ἄν εὕροις καὶ ἐπ’ ἄλλων πλειόνων τασσόμενον τὸ ἀγαθόν· οὐ νομιστέον οὖν μάχεσθαι τὸ »ποίησον ἀγαθὸν« πρὸς τὸ τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθὸς λελεγμένον πρὸς τὸν πυθόμενον καὶ εἰπόντα διδάσκαλε, τί ἀγαθὸν ποιήσω; ὁ μὲν οὖν Ματθαῖος, ὡς περὶ ἀγαθοῦ ἔργου ἐρωτηθέντος τοῦ σωτῆρος ἔν τῷ τί ἀγαθὸν ποιήσω; ἀνέγραψεν. ὁ δὲ Μᾶρκος καὶ Λουκᾶς φασι τὸν σωτῆρα εἰρηκέναι· »τί με λέγεις ἀγαθόν; οὐλεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ θεός«, ὡς τὸ τεταγμένον »ἀγαθὸς« ὄνομα ἐπὶ τοῦ θεοῦ μὴ ἄν ταχθῆναι καὶ ἐφ’ ἑτέρου τινός· οὐ γὰρ ᾗ ἀγαθὸς ὁ θεός. ταύτῃ λέγοιτ’ ἄν »ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ <τῆς καρδίας αὐτοῦ>« προφέρων τὰ ἀγαθά. Καὶ ὁ σωτὴρ δὲ ὡς ἔστιν »εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου«, οὕτως καὶ »τῆς ἀγαθότητος αὐτοῦ εἰκών«· καὶ <ἐπὶ> παντὸς δὲ τοῦ ὑποδεεστέρου, ᾧ ἐφαρμόζεται ἡ »ἀγαθὸς« φωνή, ἄλλο σημαινόμενον ἔχει τὸ ἐφ’ αὐτοῦ λεγόμενον, εἴπερ ὡς μὲν πρὸς τὸν πατέρα »εἰκών« ἐστιν »ἀγαθότητος«, ὡς δὲ πρὸς τὰ λοιπὰ ὅπερ ἡ τοῦ πατρὸς ἀγαθότης πρὸς αὐτόν. ἤ καὶ μᾶλλον ἔστι τινὰ ἀναλογίαν προσεχῆ ἰδεῖν ἐπὶ τὴς ἀγαθότητος τοῦ θεοῦ πρὸς τὸν σωτῆρα ὄντα εἰκόνα »τῆς ἀγαθότητος αὐτοῦ«, ἥπερ ἐπὶ τοῦ σωτῆρος ρπὸς ἀγαθὸν ἄνθρωπον καὶ ἀγαθὸν ἔργον καὶ ἀγαθὸν δένδρον. πλείων γὰρ ἡ ὑπεροχὴ πρὸς τὰ ὑποδεέσερα ἀγαθὰ ἐν τῷ σωτῆρι, καθό ἐστιν »εἰκὼν ἐν τῷ σωτῆρι, αὐτοῦ τοῦ θεοῦ, ἥπερ ἡ ὑπεροχὴ τοῦ θεοὺ ὄντος ἀγαθοῦ πρὸς τὸν εἰπόντα σωτῆρα· »ὁ πρατὴο ὁ πέμψας με μείζων μού ἐστιν«, ὄντα πρὸς ἑτέρους καὶ εἰκόνα »τῆς ἀγαθότητος« τοῦ θεοῦ. τάχα δὲ τοῦ βουλήματος ἔχεται τῶν λελεγμένων πρὸς τὸ τί ἀγαθὸν ποιήσω; (λέλεκται δὲ πρὸς αὐτό· τί με ἐρωτᾷς περὶ τοῦ ἀγαθοῦ; εἷς ἐστιν ὁ ἀγαθὸς) τὸ »ὅταν παιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, ὀφείλετε λέγειν, ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν. ὅ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν«, ἐὰν γὰρ ποιήσωμεν πάντα τὰ διαταχθέντα, οὐδ’ οὕτως (ὡς πρὸς τὰς ἐνθάδε λέξεις) ἀγαθόν τι πεποιήκαμεν· οὐκ ἄν γάρ, ἀγαθῶν ὄντων ὧν ποιοῦμεν, ἐλέλεκτο δεὶν λέγειν ἐπὶ τῷ πεποιηκέναι τὰ διαταχθέντα τὸ »δοῦλοι ἀχρεῖοί ἐσμεν«. ἔστι δὲ καταχρηστικῶς αὐτὰ εἰπεῖν εἶναι ἀγαθὰ ὁμοίως τῷ »ἔκκλινον ἐπὸ κακοῦ καὶ ποίησον ἀγαθόν«. οἶμαι δ’ ὅτι ὁ ποιῶν τὸ προστε- ταγμένον ἐν τῷ »ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν« ὡς μὲν πρὸς τὰ ὑπὸ τῶν λοιπῶν ἀνθρώπων ἐπιτελούμενα ποιεῖ ἀγαθόν, ὡς δὲ πρὸς τὸ ἀληθῶς *** ἀγαθόν. ὥσπερ <δ’> »οὐ δικαιωθήσεται ἐνώ- πιον τοῦ θεοῦ πᾶς ζῶν«, πάσης ἀν- θρωπίνης δικαιοσύνης ἀλεγχομένης ὡς οὐ δικαιοσύνης, ἐπὰν θεωρηθῇ ἡ τοῦ θεοῦ δικαιοσύνη, οὕτως οὐδὲ ἀγαθὸς χρηματίσει[εν] ἐνώπιον τοῦ ἀγαθοῦ θεοῦ πᾶς, ὅς πρὸς τὰ ὑποδεέστερα συγκρίσει ἐκείνων ἀγαθὸς ἄν λεχθείη.

Λέγοιτο δ’ ἄν ὑπό τινος, ὡς ἄρα γινώσκων ὁ σωτὴρ τὴν τοῦ πυνθανομένου ἕξιν καὶ προαίρεσιν πάνυ ἀποδέουσαν τοῦ ποιεῖν τὸ ἐφικτὸν ἀνθρώποις ἀγαθὸν εἶπεν αὐτῷ (πυνθανομένῳ· τί ἀγαθὸν ποιήσω;) τὸ τί με ἐπερωτᾷς περὶ τοῦ ἀγαθοῦ; ὡσεὶ ἔλεγε· μὴ παρεσκευασμένος ὧν πρὸς τὰ λεχθησόμενα ἄν περὶ τοῦ ἀγα- θοῦ πυνθάνῃ τί ἀγαθὸν ποιήσας ζωὴν αἰώνιον κληρονομήσεις; εἶτα διδάσκει ὅτι ἀληθῶς ἀγαθὸς εἷς ἐστι, περὶ οὗ καὶ ὁ νόμος λέγει τὸ »ἄκουε, Ἰσραήλ· κύριος ὁ θεὸς ἡμῶν κύριος <εἷς> ἐστι«· κυρίως γὰρ [ὁ] σωτὴρ καὶ κυρίως κύριος καὶ κυρίως ἀγαθὸς οὗτός ἐστιν, ὅν πείθομαι πάντα ὡς ἀγαθὸν ποιεῖν. ζητήσεις δὲ πῶς τῆς ἀγαθότητος αὐτοῦ πνεῖ καὶ τὰ μὴ νοούμενα ὑπὸ τῶν ὅσον ἐφ’ ἑαυτοῖς συκοφαν- τούντων τὸν τοῦ νόμου θεὸν καὶ κατηγορύνταων αὐτοῦ ἅ οὐδὲ περὶ ἀνθρώπου τάχα λέγειν εὔκοόν ἐστι· πείθομαι γὰρ θεοῦ ἀγαθότητος πωεῖν καὶ τὸ »ἐγὼ ἀποκτενῶ« οὐκ ἔλαταον τοῦ »καὶ ζῆν ποιήσω«, ὁμοίως δὲ καὶ τὸ »πατάξω« οὐχ ἧττον τοῦ »κἀγὼ ἰάσομαι«. εἰ δὲ καὶ »αὐτὸς ἀλγεῖν ποιεῖ«, ἰστέον ὅτι πολλάκις καὶ ἀτρὸς ἀλγεῖν ποιεῖ, ποιήσας δὲ ἀλγεῖν ὁ θεὸς »πάλιν ἀπκαθάστησιν«. οὕτω δὲ καὶ ἀπὸ ἀγαθότητος οὕς ἔπαισεν »ἔπαισεν«· »ὡς« γὰρ »υἱοῖς« τοῖς παιδευομένοις »προσφέρεται ὁ θεός· τίς γὰρ υἱὸς ὅν οὐ παιδεύει πατήρ«; ἀλλὰ καὶ »πᾶσα παιδεία πρὸς <μὲν> τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρη- νικὸν τοῖς δἰ αὐτῆς γεγυμνασμέ- νοις ἀποδίδωσι δικαιοσύνης«. διόπερ ὡς ἔπαισεν ὁ θεὸς οὕτως καὶ ἰάσατο· ἀληθὲς γὰρ τὸ »ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο«. εἰ καὶ παράδοξον δὲ τὸ λεχθησόμενον, ὅμως λεχθή- σεται· ἀγαθοῦ θεοῦ <ἐστιν καὶ ἀυτὸς ὁ> ἀνομαζόμενος θυμὸς (<αὐτοῦ, ὅς> ἔργον σωτήριον ποιεῖ ἐλέγχων) καὶ ἡ λεγομένη ὀργὴ αὐτοῦ (ἐπεί ἐστιν ἀγαθοῦ θεοῦ) παιδεύει, <ἵνα διορ- θοῖ>. πολλὰ δ’ ἄν λέγοιτο πρὸς τοὺς δυναμένους μὴ βλάπτε- σθαι περὶ ἀγαθότητος θεοῦ καὶ »τοῦ πλήθους τῆς χρηστότητος αὐτοῦ«, ἣν εὐλόγως ἔχρυψε »τοῖς φοβου- μένοις« αὐτόν, ἵνα μὴ »τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας« καταφρονήσαντες, κατὰ τὴν ἑαυτῶν »σκλη- ρότητα καὶ ἀμετανόηταον καρδίαν« θησαυρίσωσιν ἑαυτοῖς »ὀργὴν« πλείονα, ἣν οὐκ ἄν ἐθησαύριζον κρυπτο- μένου »τοῦ πλήθους τῆς χρηστό- τητος« τοῦ θεοῦ αὐτοῖς. περὶ μὲν οὖν τοῦ τίς ὁ ἀγαθὸς καὶ πρὸς τὸ τί ἀγαθὸν ποιήσω; λελέχθω ἅ δεδυνήμεθα εἰς τὸν τόπον ἰδεῖν.

Ἐξῆς δὲ ἔστι θεωρῆσαι πῶς εἴρηται τὸ εἰ δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. ἐν ᾧ πρόσχες ὅτι ὡς ἔξω τῆς ζωῆς ἔτι τυγχάνοντι τῷ πυνθανομένῳ περὶ τοῦ ἀγαθοῦ φησι τὸ εἰ εέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν. ἔνθα δὴ ζητῶ ποσαχῶς ἔστι νοῦσαι τὸ ἔξω τῆς ζωῆς εἶναι καὶ τὸ εἰσελθεῖν εἰς τὴν ζωήν. μήποτε οὖν καθ’ ἕνα μὲν τρόπον ἔξω τῆς ζωῆς ἐστιν ὁ ἔξω τυγχάνων τοῦ εἰπότος· »ἐγώ εἰμι ἡ ζωή«, καὶ ἀλλότριος ὤν αὐτοῦ· καθ’ ἕτερον δὲ πᾶς ὁ ἐπὶ γῆς (κἄν δικαιότατος ᾖ) δύναται μὲν εἶναι ἐν τῇ σκιᾷ τῆς ζωῆς λέγων· »πνεῦμα προσώπου ἡμῶν Χριστὸς κύριος, οὗ εἴπομεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσιν«, οὐ μὴν ἐν αὐτῇ τῇ ζωῇ, ἅτε σῶμα θανότου περικείμενος καὶ λέγων· »τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανότου τούτου;« καί· »κα- θήμενος ἐν χώρᾳ καὶ σκιᾷ θανάτου« καὶ μηδέπω ἐλθῶν ἐπὶ τὴν τῶν ζώτων γῆν. καὶ γὰρ ἡ ζωὴ οὐ μόνον τῶν φαύλων, ἀλλὰ καὶ

τοῦ ἔτι ἐπὶ γῆς Παύλου καὶ τῶν ἀποστόλων κεκρυμμένη ἦν ἐν τῷ θεῷ. φησὶ γοῦν· »ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χρι- στῷ ἐν τῷ θεῷ· ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ἡμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ«. τηρήσεις δὲ πάντα τὰ περὶ τοῦ »ἔσω« καὶ τοῦ »ἔξω«, ἵνα ἀναλέξῃ τὰ κατάλληλα τῷ εἰ θέ- λεις εἰς τὴν ζωὴν εἰσελθεῖν οἷον· »δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβόλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ«· ζητήσεις γάρ· »ἐκβάλῃ« πόθεν; καὶ εἴπερ ἐν- δάδε εἰσὶν οἱ ἐργάται ἐκβεβλημένοι εἰς τὸν θερισμὸν τοῦ κυρίου, ἔξω εἰσὶν οὗ ἐξεβλήθησαν χωρίου, καὶ τὰ τοῦ θερισμοῦ καλῶς ποιήσαντες ἔργα εἰσελεύσονται εἰς τὴν ζωήν, καθαρισθέντες μὲν »ἀπὸ νεχρῶν ἔργων« τὰ δὲ ἐναντία ἐκείνοις πράττοντες ἔργα ζῶντα, καὶ μη- κέτι μὲν νεκρὰ λαλοῦντες λέγοντες δὲ κατὰ τὸν ζῶντα λόγον »τοῦ θεοῦ« <ζῶντα> καὶ ἐνεργῆ. οὕτω δέ ἐστιν ἀνάλογον ῥήμασι <νεκροῖς καὶ ῥήμασι> ζωῆς αἰνωίου ἐναντία*** λογισμοῖς τοῖς κατηγοροῦσιν, ὅτε »τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων« ἐν ἡμέρᾳ κρίσεως, σωθήσεται μὲν ἐκεῖνος οὗ οἱ λογισμοὶ ἀπολογοῦνται, ἀπολεῖται δὲ οὗ οἱ λογισμοὶ γίνονται κατήγοροι. εἰ τοίνυν καὶ ἡμεῖς, ἀκούσωμεν τοῦ λέγοντος Ἰησοῦ· εἰ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς καὶ κατὰ τὴν ἀναλογίαν γε τῆς τῶν ἐντολῶν τηρήσεως εἰς τὴν ζωὴν εἰσελευσόμεθα, γινόμενοι αὐτῆς ἤτοι εἰς τὰ ἐνδότατα καὶ μακαριώτατα ἢ <εἰς τὰ μέσα ἢ> ὅπου ποθ᾽ ἡμᾶς φέρει τῆς ζωῆς ἡ ἐλαττόνων καὶ ἀμυδροτέρων τῶν ἐντολῶν τήρησις.

Ὁ δὲ ἀκούσας τήρησον τὰς ἐντολὰς λέγει· ποίας; ἵνα μάθωμεν ποίας μάλιστα τηρεῖν ἡμᾶς ἐντολὰς ὁ Ἰησοῦς βούλεται· εἶπε γὰρ πρὸς τὸ ποίας; τὸ οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, τίμα τὸν πατέρα καὶ τὴν μητέρα καί· ἀγαπήσεις πὸν πλησίον σου ὡς ἑαυτόν. καὶ τάχα <ταῦτ᾽> ἀρχεῖπρὸς τὸ (ἵν᾽ οὕτως ὀνομάσω) εἰς τὴν ἀρδήν τινα τῆς ζωῆς εἰσελθεῖν, οὐκ ἀρκοῦντα πρὸς <τὸ εἰσάγειντινὰ εἰς>τελιότητα ταῦτα καὶ τὰ τούτοις παραπλήσια, ὡς τὸν ἔνοχον [παραπλήσια] μιᾶς τούτων τῶν ἐντολῶν μηδὲ εἰς τὴν ἀρχὴν τῆς ζωῆς εἰσελθεῖν δύνασθαι. καθαρευτέον οὖν τῷ κἂν ἐλθεῖν βουλομένῳ εἰς τὴν <ἀρχὴν τῆς> ζωῆς ἀπὸ μοιχείας καὶ φόνου καὶ πάσης κλοπῆς. ὡς γὰρ μοιχὸς καὶ φονεὺς οὐκ εἰσελεύσεται εἰς τὴν ζωήν, οὕτως οὐδὲ ὁ κλέπτων· τῇ τοιαύτῃ δὲ ἁμαρτίᾳ πολλοὶ τῶν λεγομένων πιστεύειν τῷ Χριστῷ ἔνοχοί εἰσειν ἐλεγχόμενοι ἐν ταῖς πραγματείαις τοῦ βίου καὶ οἷς πιστεύνοται χρηματικοῖς καὶ ταῖς μέσαις τέχναις τέχναις ἃς ἐργάζονται, ὡς οὐ καθαροὶ κλοπῆς. οὐ μόνος δὲ ὁ κλέπτης οὐκ εἰσελεύσεται εἰς τὴν ζωήν, ἀλλὰ καὶ ὁ κοινωνὸς αὐτοῦ καὶ ὁ συντρέχων αὐτῷ· ἐν μὲν γὰρ τῷ Ἡσαΐᾳ γέγραπται· »κοινωνοὶ κλεπτῶν ἀγαπῶντες δῶρα«, ἐν δὲ τεσσαρακοστῷ ἐννάτῳ Ψαλμῷ κωλύεται διηγεῖσθαι »τὰ δικαιώματα« τοῦ δεοῦ« καὶ ἀναλαμβάνειν ἐπὶ χειλέων ἑαυτοῦ »τὴν διαθήκην« αὐτοῦ ὁ ἐλεγχόμενος ἐν τῷ »εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ« (ὥσπερ πρῶτον εἴρηται) καὶ τῷ »μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις«. καὶ <ὅρα ὅτι> οὔτε κλέπτην οὔτε μοιχὸν εἶπε τὸν τοιοῦτον, ἀλλὰ συντρέχοντα μὲν κλέπτῃ »μετὰ μοιχῶν« δὲ τιθέντα ἑαυτοῦ »τὴν μερίδας«. τὸν δὲ ἐλευ σόμενον εἰς τὴν ζωὴν οὐδὲ ψευδομαρτυρεῖν δεῖ, ἐκβάλλεται δὲ τῆς ζωῆς καὶ ὁ μὴ πληρῶν τὴν λέγουσαν ἐντολήν· τίμα τὸν πατέρα καὶ τὴν

μητέρα, ἀλλὰ τούτων μὲν ἴσως κρατῆαι τῶν ἐντολῶν οὐ πάνυ χαλεπόν· ἔργον δέ ἐστιν <πᾶσαιν> ὡς μεῖζον καὶ χρήσιμον τοῖς διὰ τῶν προτέρων <ἐντολῶν> εἰσαχθεῖσιν ἐν αὐτὴν τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν πληρῶαι, ἐπειδὴ καὶ κατὰ τὸν ἀπόστολον τὸ »οὐ ψονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦτια, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν«. <καὶ εἰ πᾶσα ἐντολὴ »ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν«> , τέλειος δὲ ὁ πᾶσαν πληρώσας ἐντολήν, δηλονότι τέλειος ἄν εἴη ὁ πληρώσας <καὶ> τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολήν.

Εἰ δὲ τέλειιος οὗτος, ζητήσαι τις ἂν πῶς τοῦ νεανίσκοθ εἰπόντος ταῦτα πάντα μου· τί ἔτι ὑστερῶ; ἀπεκρίνατο ὁ σωτὴρ ὡς μή- <πω> τελείου ὄντος τοῦ ταῦτα πάντα πεποιηκότος, καὶ ὡς συγκαταιθέμενος τῷ ταῦτα πάντα ἐποίησα, τὸ εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕχεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. πρόσχες οὖν, εἰ δυνάμεθα πρὸς τὴν τρόπον οὕτως ἀπαντῆσαι, ὅτι μήποτε τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ὑπονοεῖσθαι δύναται ὡς οὐχ ὑπὸ τοῦ σωτῆρος ἐνταῦθα παρειλῆφθαι, ἀλλ᾽ ὑπό τινος τὴν ἀκρίβειαν μὴ νοήσαντος τῶν λεγομένων προστεθεῖσθαι. συναγορεύσει δὲ τῇ ὑπονοήσει τοῦ προστεθεῖσθαι ἐνταῦθα τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἡ τῶν ὁμοίων παρὶ τῷ Μάρκῳ καὶ τῷ Λουκᾷ ἔκθεσις, ὧν οὐδέτερος προστέθεικε ταῖς κατὰ τὸν τόπον ὑπὸ τοῦ Ἰησοῦ παραληθείαις ἐντολαῖς τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ φήσει γε ὁ κρατύνων τὸ περὶ τοῦ προσερρίφθαι ἀκαίρως τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολὴν ὅτι, εἰ τὰ αὐτὰ διαφόροις λέξεσι παρὰ τοῖς τρισὶν ἀναγέγραπται, οὐκ ἂν τὸ »ἕν σοι ὑστερεῖ« ἢ «ἔτι ἕν σοι λείπει« εἰρήκει ὁ Ἰησοῦς τῷ ἐπαγγειλαμένῳ πεπληρωκέναι τὴν ἀγαπήεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολήν· μάλιστα εἰ κατὰ τὸν ἀπόστολον τὸ »οὐ φονεύσεις« καὶ τὰ <ἑξῆς »καὶ> εἴ τις ἑτέρα ἐντολή, ἐν τῷ λόγῳ τούτῳ ἀνακεφαλαιοῦται, τῷ· ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν«. ἀλλ᾽ ἐπεὶ καὶ κατὰ τὸν Μᾶρκον »ἐμβλέιψας« τῷ πλουσίῳ τούτῳ (εἰπόντι· »πάντα ταῦτα ἐφύλαξα ἐκ νεότητός μου«) »ἠγάπησεν αὐτόν«, ἔοικεν συγκατεθεῖσθαι τῷ <ἐπαγγειλαμένῳx003E; πεπεοιηκέναι ἃ ἐπηγγείλατο πεπληρωκέναι. ἐνατενίσας γὰρ αὐτοῦ τῇ διανοίῳ, εἶδεν ἄνθρωπον εὐσυνειδήτως ἐπαγγειλάμενον πεπληρωκέναι τὰς προκειμένας ἐντολάς, οὐκ ἂν δὲ εἰρημένου πρὸς ταῖς ἑτέραις ἐντολαῖς καὶ τοῦ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν τὴν κεφαλαιωδεστέραν καὶ διαφέρουσαν παρέλιπον ἐντολὴν ὁ Μᾶρκος καὶ ὁ Λουκᾶς, ἐὰν μὴ ἄρα τις ὅμοια μὲν φήσῃ εἶναι τὰ γεγραμμένα, οὐ περὶ τοῦ αὐτοῦ δὲ λελέχθαι. πῶς δὲ κἂν ὡς οὐδέπω τελείῳ τῷ πρὸς ἑτέροις [ἐπαγγειλαμένῳ] καὶ τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολὴν πεπληρωκότι ἔφη ὁ Ἰησοῦς τὸ εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς καὶ τὰ ἑξῆς;

Καὶ εἰ μὲν μὴ καὶ περὶ ἄλλων πολλῶν διαφωνία ἦν πρὸς ἄλληλα τῶν ἀντιγράφων, ὥστε πάντα τὰ κατὰ Ματθαῖον μὴ συνᾴδειν ἀλλήλοις, ὁμοίως δὲ καὶ τὰ λοιπὰ

εὐαγγέλια, κἂν ἀσεβής τις ἔδοξεν εἶναι ὁ ὑπονοῶν ἐνταῦθα προσερρίφθαι οὐκ εἰρημένην ὑπὸ τοῦ σωτῆρος πρὸς τὸν πλούσιον τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολήν. νυνὶ δὲ δῆλον ὅτι πολλὴ γέγονεν ἡ τῶν ἀντιγράφων διαφορά, εἴτε ἀπὸ ῥᾳθυμίας τινῶν γραφέων, εἴτε ἀπὸ τόλμης τινῶν μοχθηρᾶς <εἴτε ἀπὸ ἀμελούντων> τῆς διορθώσεως τῶν γραφομένων, εἴτε καὶ ἀπὸ τῶν τὰ ἑαυτοῖς δοκοῦντα ἐν τῇ διορθώσει <ἢ> προστιθέντων ἢ ἀφαιρούντων. τὴν μὲν οὖν ἐν τοῖς ἀντιγράφοις τῆς παλαιᾶς διδαθήκης διαφωνίαν θεοῦ διδόντος εὕρομεν ἰάσασθαι, κριτηρίῳ χρησάμενοι ταῖς λοιπαῖς ἐκδόσεσιν· τῶν γὰρ ἀμφιβαλλομένων παρὰ τοῖς Ἑβδομήκοντα διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν τὴν κρίσιν ποιησάμενοι ἀπὸ τῶν λοιπῶν ἐκδόσεων τὸ συνᾷδον ἐκείναις ἐφυλάξαμεν, καὶ τινὰ μὲν ὠβελίσαμεν <ὡς> ἐν τῷ Ἑβραϊκῷ μὴ κείμενα (οὐ τολμήσαντες αὐτὰ πάντη περιελεῖν), τινὰ δὲ μετ' ἀστερίσκων προσεθήκαμεν, ἵνα δῆλον ᾖ ὅτι μὴ κείμενα παρὰ τοῖς Ἑβδομήκοντα ἐκ τῶν λοιπῶν ἐκδόσεων συμφώνως τῷ Ἑβραϊκῷ προσεθήκαμεν, καὶ ὁ μὲν βουλόμενος προ<σ>ῆται αὐτά, ᾧ δὲ προσκόπτει τὸ τοιοῦτον ὃ βούλεται (περὶ τῆς παραδοχῆς αὐτῶν ἢ μὴ) ποιήσῃ. ὁ τοίνυν θέλων μὴ παρερρῖφθαι ἐνταῦθα τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολήν, ἀλλ' ἀληθῶς ὑπὸ τοῦ κυρίου μετὰ τὰς προτέρας εἰρῆσθαι τότε, ἐρεῖ ὅτι ἠρέμα καὶ ἀμισῶς ἐλέγξαι βουλόμενος ὁ σωτὴρ ἡμῶν τὸν πλούσιον ἐκεῖνον ὡς οὐκ ἀληθεύοντα ἐν τῷ εἰρηκέναι καὶ τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολὴν τετηρηκέναι, ἔφη αὐτῷ τὸ εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς· οὕτως γὰρ φανήσῃ ἀληθεύων περὶ τοῦ τὴν ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν ἐντολὴν τετηρηκέναι.

Ἐὰν δέ τις τῇ ἀνθρωπίνῃ ἐνορῶν ἀσθενείᾳ καὶ τῷ δυσκόλως ἄν τινα τὸν τοιοῦτον ὑπὲρ τῆς ἐν θεῷ τελειότητος ποιῆσαι καταφρονῇ μὲν τῆς λέξεως τράπηται δὲ ἐπ' ἀλληγορίας, δυσωπηθήσεται ἔκ τινων καὶ Ἑλληνικῶν ἱστοριῶν, ἐν αἷς διὰ τὴν παρ' Ἕλλησι σοφίαν ἱστοροῦνταί τινες τὸ ἐνταῦθα τῷ πλουσίῳ ὑπὸ τοῦ σωτῆρος εἰρημένον πεποιηκέναι. Κράτητα γὰρ τὸν Θηβαῖον ἑλόμενον δι' ἐλευθερίαν <τῆς ψυχῆς αὐτοῦ> καὶ παράδειγμα εὐτελοῦς βίου καὶ (ὡς ᾤετο) μακάριον ἑαυτὸν παραστῆσαι βουλόμενον τοῖς ˛Ελλησι μηδενὸς <»τοῦ κόσμου τούτου«> χρῄζοντα, φασὶν ἀποδόμενον πᾶσαν τὴν οὐσίαν τῷ Θηβαίων δήμῳ δεδωρῆσθαι, μετὰ τοῦ εἰρηκέναι ὅτι »σήμερον ὁ Κράτης Κράτητα ἐλευθεροῖ«. εἴπερ δὲ δι' Ἑλληνικὴν σοφίαν καὶ δόγματα ἐλευθεροῦντα τὴν ψυχὴν τοῦ ἀνθρώπου τὸ τοιοῦτόν τις πεποίηκε, πῶς οὐχὶ μᾶλλον δυνατὸν τὸ τοιοῦτον πρᾶξαί τινα μνώμενον <δέχεσθαι Χριστοῦ ἐν> ἑαυτῷ τὴν τελειότητα; εἰ δὲ καὶ ἀπὸ τῆς θείας γραφῆς πεισθῆναί τις βούλεται περὶ τοῦ πρᾶγμα δυνατὸν εἶναι τὸ τοιοῦτον, ἀκουςάτω τῶν ἱστορουμένων ὑπὸ τοῦ Λουκᾶ ἐν ταῖς τῶν ἀποστόλων Πράφεσι περὶ τῶν προτραπέντων ὑπὸ τῆς ἐν τοῖς ἀποστόλοις δυνάμεως πιστεύειν καὶ βιοῦν τελέιως κατὰ τὸν Ἰησοῦ λόγον. οὕτως δ´ ἔχειν τὰ ῥήματα· »πάντες δὲ οἱ πιστεύσαντες ἐπὶ τὸ αὐτὸ εἶχον ἅπαντα κοινὰ« καὶ τὰ ἑξῆς, ἕως τοῦ »αἰνοῦντες τὸν θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν«. καὶ μετ' ὀλίγα πάλιν ἐν τῇ αὐτῇ γέγραπται βίβλῳ ὅτι »τοῦ πλήθους τῶν πιστευόντων ἦν καρδία καὶ ψυχὴ μία« καὶ τὰ ἑξῆς,

ἕως του »ἤγαγε τὸ χρῆμα καὶ ἔθηκε παρὰ τοὺς ἀποστόλους«. εἶτα ἐπιφέρεται τούτοις τὰ περὶ τοῦ Ἀνανίου καὶ τῆς Σπαφείρας, ἀποδομένων μὲν »κτῆμα« ἑαυτῶν, νοσφισαμένων δὲ »ἀπὸ τῆς τιμῆς« καὶ οὐχ ὅλον ἀλλὰ μέρος ἀποθεμένων παρὰ τοῖς »τῶν ἀποστόλων« ποσί, καὶ διὰ τοῦτο ἐπὶ ἁμαρτίᾳ παθόντων τὰ ἀναγεγραμμένα. ἄξιοι γὰρ ἦσαν τοῦ ἐκ θείας ἐπισκοπῆς ἀπολαβεῖν ἐνταῦθα τὸ ἡμαρτημένον διὰ τὸν νοσφισμόν, ἵνα καθαρώτεροι ἀπαλλαγῶσιν ἀπὸ τοῦ βίου τούτου, καθρθέντες τῇ ἀπαντησάσῃ αὐτοῖς παιδεύσει ἐν κοινῷ θανάτῳ, διὰ τὸ καὶ πεπιστευκέναι καὶ »μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων« τεθεικέναι. Δοκεῖ δέ μοι ὅτι »ἀκούων Ἀνανίας τοὺς λόγους τούτους« διὰ βασανιζόμενος τοσοῦτον ἐκολάσθη ὡς καὶ ἐκψῦξαι, καθικομένων τῶν λόγων Πέτρου τῆς ψυχῆς αὐτοῦ. καὶ οὐ Πέτρον γε νομιστέον ἐνταῦθα ἀνῃρηκέναι τὸν Ἀνανίαν, ἀλλ’ ἐκεῖνον μὴ ὑπομεμενηκέναι τὴν σφοδρότητα τοῦ εἰπόντος πρὸς αὐτὸν Πέτρου· »διὰ τί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου;« καὶ τὰ ἑξῆς, ἕως τοῦ »καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας«. εἰκὸς δὲ πρὸς τὴν τοῦ Ἀνανίου ἀπόδοσιν, ἐν ᾗ περὶ τοῦ Πέτρου ἀπελογησάμεθα, ἐνστήσεσθαί τινα διὰ τὴν Σάπφειραν, ἐπεὶ αὕτη »μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθε. καὶ ἀπεκρίθη πρὸς αὐτὴν ὁ Πέτρος λέγων· εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; εἰπούσης αὐτῆς· τοσούτου, ὁ Πέτρος πρὸς αὐτήν φησι· πνεῦμα κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξοίσουσί σε«. »πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν«. ἀλλὰ λεχθείη ἂν ὅτι κἀκείνη, ἐπιπλησσομένη καὶ βαρηθεῖσα τὴν ψυχὴν (πῇ μὲν ὑπὸ τοῦ ἐπὶ τῇ ἁμαρτίᾳ ἐλέγχου, πῇ δὲ ἐπὶ τῇ τοῦ ἀνδρὸς συμφορᾷ καὶ δὲ ἐπὶ τῇ περὶ αὐτοῦ, πῇ δὲ ἐπὶ τῇ κατὰ τὸν θεὸν λύπῃ) ἐξέψυξε, προεωρακότος τοῦ Πέτρου τῷ πνεύματι τὸ ἀπαντησόμενον αὐτῇ. ταῦτα δὲ ἡμῖν ὅλα εἴρηται βουλομένοις κατασκευάσαι τὸ δυνατὸν εἶναι, βουληθέντα τινὰ τέλειον γενέσθαι πεισθῆναι τῷ Ἰησοῦ λέγοντι· ὕπαγε πώλησόν σου τὰ ὑπά ρχοντα δ΄ οἶμαι καὶ ἐχόντων τὰ χαρακτηρίζοντα τὸν ἐπίσκοπον πάντα ἔργον ἦν προτρέψασθαι τοὺς καὶ δυναμένους καὶ πειθομένους τῇ προτροπῇ καὶ διὰ τοῦ παρέχειν ἐκ τοῦ κοινοῦ αὐτοῖς τὰ ἐφόδια καὶ ἄλλους ἐπὶ τοῦτο παρακαλεῖν· ἐγένετο γὰρ ἂν εἰκών τις τοῦ κατὰ τοὺς ἀποστόλους] τῆς συμφωνίας τῶν πιστευόντων βίου.

Ζητήσαι δ΄ ἄν τις ἀκολούθως ὅτι, εἴπερ τέλειός ἐστιν ὁ πάσας ἔχων τὰς ἀρετὰς καὶ μηκέτι τι ἀπὸ κακίας πράττων, πῶς τέλειος γένοιτ’ ἂν ὁ πωλήσας ἑαυτοῦ τὰ ὑπάροντα καὶ δοὺς τοῖς πτωχοῖς. ἔστω γάρ τινα τοῦτο πεποιηκέναι, πῶς δ’ αὖ καὶ ἀόργητος γένοιτ’ ἂν ἀθρόως, εἰ τύχοι εὐέμπτωτος ὢν εἰς ὀργήν; πῶς δὲ καὶ ἄλυπος καὶ κρείττων παντὸς οὐτινοσοῦ συμβῆναι δυναμένου τοῦ τὴν λύπην προκαλουμένου; πῶς δὲ καὶ ἔξω φόβου πάντη ἔσται τοῦ περὶ πόνων ἢ θανάτου ἢ τῶν ὅσα δύναται τὴν ἔτι ἐτελεστέραν ψυχὴν φοβῆσαι; τίνα δὲ τρόπον ὁ ἀποδόμενος τὰ ὑπάρχοντα καὶ διαδοὺς πτωχοῖς ἐκτὸς ἔσται πάσης ἐπιθυμίας; λέγοι γὰρ ἄν τις ὅτι δυνατόν, παρ’ αὐτὸ τὸ ἀποδίδοσθαι πάντα τὰ ὑτάρχοντα παθόντα τι ἀνθρώπινον ὑπὸ τῆς πενίας, μετανοῆσαι μὲν ἐπὶ τῷ τετολμημένῳ ἐπιθυμῆσαι δὲ τῆς παραπλησίου κτήσεως. εἰ δὲ καὶ ἡ λεγομένη ἡδονή, ἄλογος οὖσα ἔπαρσις τῆς ψυχῆς, πάθος ἐστί, πῶς ἄν τις ἅμα τε ἀπολοῖτο πάντα τὰ ὑπάρχοντα

χοντα καὶ διαδοίη πτωχοῖς, ἅμα δὲ ἀπαλλαγείη τοῦ ἀλόγως ἐπαίρεσθαι; προσθείη δ’ ἄν τις τῇ ἐπαπορήσει ὅτι πῶς δύναται παρὰ τὸ ἀποδεδόσθαι τὰ ὑπάρχοντα καὶ πτωχοῖς [τις] διαδεδωκέναι σοφὸς γενέσθαι καὶ δέχεσθαι τὴν τοῦ θεοῦ σοφίαν, ὥστε λόγον διδόναι παντὶ τῷ ἐρωτῶντι αὐτὸν περὶ τῆς ἐν ταῖς ἱεραῖς γραφαῖς κεκρυμμέως τῶν πεπιστευμένων καὶ περὶ τῶν ἐν ταῖς ἱεραῖς γραφαῖς κεκρυμέν ως εἰρημένων; ὅρα δὲ ὅτι γενική ἐστιν ἡ ἐπαπόρησις, ἤτοι γενναία καὶ οὐκ εὔλυτος. εἴτε γὰρ παρ’ αὐτὸ τοῦτο μόνον φήσομέν τινα τέλειον γεγονέναι, κἂν μὴ ἀναλαβὼν ᾗ ἃ ἐξεθέμεθα, ἀτόπῳ περιπεσούμεθα λέγοντες εἶναί τινα καὶ τέλειον ἅμα καὶ ἁμαρτωλόν (ἁμαρτωλὸς γὰρ ὁ ὀργίλος καὶ ὁ τὴν τοῦ κόσμου λύπην λυπούμενος καὶ ὁ τὰ ἐπίπονα ἢ θάνατον φοβούμενος καὶ ὁ ἐπιθυμῶν τῶν ἀπόντων καὶ ὁ ἀλόγως ἐπαιρόμενος τὴν ψυχὴν ὡς ἐπ’ ἀγαθοῖς τοῖς οὐκ ἀγαθοῖς). εἴτε ἅμα τῷ ἀποδόσθαι τινὰ τὴν οὐσίαν καὶ διαδοῦναι πτωχοῖς φήσομεν αὐτὸν ὡσπερεὶ θεόληπτον γενόμενον πάσας τὰς ἀρετὰς ἀνειληφέναι καὶ πᾶσαν κακίαν ἀποτεθεῖσθαι, πιστῶς μὲν (ἵνα κοινότερον ὀνομάσω) ἐποῦμεν, οὐκ οἶδα δὲ εἰ ἀληθῶς· καὶ τάχα καταγελάσονται ἡμῶν, ὡς οὐ φρόνιμα λεγόντων, οἱ ἀκούσαντες τοιαύτης λύσεως προσαγομένης τῷ ἐπηπορημένῳ.

Φρονιμώτερον οὖν τις δόξαι ἂν <λέγειν>, τηρῶν τὰ τῆς λέξεως καὶ μηδαμῶς τροπολογῶν τὰ κατ’ αὐτήν, οὕτως ἁπαντῶν, ὡς πιστὸς μέν, εἰ δὲ καὶ ἀξίως τῶν κατὰ τὸν τόπον νοῶν τὰ λεγόμενα ἢ μή, καὶ αὐτὸς κρινεῖς. φήσει οὖν ὅτι, εἴπερ βοηθεῖται ὁ τοῖς πένησι μεταδιδοὺς ὑπὸ τῆς ἐκείνων εὐχῆς πρὸς τὴν ἑαυτοῦ σωτηρίαν, λαμβάνων τὸ ἐν τοῖς δεομένοις τῶν σωματικῶν ἐν πνευματικοῖς περίσσευμα εἰς τὸ ἑαυτοῦ <ἐνπνευματικοῖς> ὑστέρημα (ὡς ὑπέφηνεν ὁ ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ), τίς ἂν ἄλλος τοῦτο πάθοι καὶ μεγάλην βοήθειαν βοηθηθείη, ἐπακούοντος τοῦ θεοῦ ταῖς τῶν τοσούτων πενήτων ἀναπεπαυμένων εὐχαῖς, ἐν οἷς τάχα ἂν εἶέν τινες παραπλήσιοι τοῖς ἀποστόλοις ἢ ὀλίγῳ ὑποδεέστεροι αὐτῶν, πένητες μὲν ἐν τοῖς σωματικοῖς ὡς ἐκεῖνοι, πλουτοῦντες δὲ ἐν τοῖς πνευματικοῖς; οὗτος δὲ ὁ ἀνθυπαλλασςόμενος ἀντὶ πλούτου πενίαν ὑπὲρ τοῦ τέλειος γενέσθαι (πεισθεὶς τοῖς Ἰησοῦ λόγοις) ἀθρόως ἂν βοηθηθείη ὡς καὶ οἱ ἀπόστολοι τοῦ Χριστοῦ, πρὸς τὸ γενέσθαι σοφὸς ἐν Χριστῷ καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώωρων καὶ ἐκτὸς παντὸς πάθους. φήσει δὲ ὁ οὕτως ἀπολογούμενος ὅτι οὐκ ἀνάγκη τοῦτο νοηθῆναι αὐτῆς ἡμέρας ἁπαντῆσαι τῷ ἀποδομένῳ τὰ ὑπάρχοντα καὶ διαδόντι πτωχοῖς, ἀλλ’ ἴσως ἀπ’ ἐκείνης μὲν τῆς ἡμέρας ἄρξεται ἡ θεία ἐπισκοπὴ ἐπὶ τὰ τοιαῦτα αὐτὸν ἄγειν, λέγω δὲ τὴν ἐπαινετὴν ἀπάθειαν καὶ πᾶσαν τὴν ἀρετήν. »προβαίνων« δὲ ὡς ὁ Ἰσαὰκ διὰ τὴν ἀπὸ τοῦ θεοῦ εἰς αὐτὸν ἐν Χριστῷ βοήθειαν »μείζων« ἔσται, »ἕως οὗ« αὐξάνων »μέγας« γένηται »σφόδρα σφόδρα« ἐν πάσῃ ἀρετῇ, πάσης ἐξαφανισθείσης τῆς κακίας ἀπὸ τῆς ψυχῆς αὐτοῦ. καὶ οὐκ ἀναγκασθήσεταί γε ὁ ταύτην ἀποδεδωκὼς τὴν διήγησιν εἰπεῖν τέλειον παρ’ αὐτὸ τοῦτο γενέσθαι ἄνθρωπον <, ὅτι παρέδωκε τὰ ὑπάρχοντα τοῖς πτωχοῖς,> τὰ ἄλλα ἁμρτάνοντα.

Ἕτερος δὲ (οὐκ οἶδα μὲν εἰ ἀκμάζων τῇ πίστει <καὶ> φαντασίᾳ τοῦ διαβαίνειν ἐπὶ τὴν φρόνησιν, οὐκ οἶδα δὲ εἰ καὶ μέγεθός τε ζητήσας καὶ εὑρὼν εἰς τοὺς τόπους

νοημάτων ἀξίων τοῦ θεοῦ) καταλιπὼν τὴν λέξιν ἐπὶ τροπολογίαν ἀναβήσεται καὶ ἐρεῖ ὑπάρχοντα ἑκάστῳ εἶναι τὰ ἑπόμενα αὐτῷ μετὰ τὴν ἔξοδον, ὡς ἑπόμενα αὐτῷ μετὰ τὴν δικαίοις μὲν ἀγαθὴν ὕπαρξιν, φαύλοις δὲ τὴν ἐναντίαν. ἐνταῦθα οὖν φήσει τὸν πολλὰ ἔχοντα κτήματα πλούσιον σύμβολον εἶναι τοῦ πολλὰ κεκτημένου φαῦλα, ἐν οἷς εἶναι δύναται καὶ ἡ φιλοπλουτία καὶ ἡ φιλοδοξία καὶ ἄλλα γῆϊν πράγματα πεπληρωκότα ὐτοῦ τὴν ψυχὴν ψεκτοῦ πλούτου. ἐπεὶ οὖν δύναταί ποτε ὁ οὕτως πλούσιος ἀπέχεσθαι μέν τινων φαύλων, ὡς μοιχείας καὶ φόνου καὶ κλοπῆς καὶ ψευδομαρτυρίας, καὶ καθήκοντα δὲ ἀποδιδόναι πρὸς γονεῖς μετά τινος τιμῆς, εἶναι δέ τις καὶ φιλάνθρωπος πρὸς τὸν πλησίον οὐ μὴν καὶ τέλειος, συμβολικῶς τῷ τοιούτῳ προστάσσει ὁ σωτὴρ ἀποδόσθαι τὰ μοχθηρὰ ὑπάρχοντα <πάντα> καὶ ὡσπερεὶ παραδοῦναι αὐτὰ ταῖς ἐνεργηκυίαις αὐτὰ δυνάμεσι πτωχευούσαις παντὸς καλοῦ καὶ διὰ τοῦτο μὴ ὑφισταμέναις τὴν ἀπειλήν, κατὰ τὸ γεγραμμένον· »πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν«. ἀλλ’ εὖ οἶδ’ ὅτι σφόδρα βίαιος εἶναι δόξει ἡ τοιαύτη ἀπόδοσις, λύουσα μὲν οὐκ ἀγεννῶς τὰ περὶ τελειότητος ἠπορημένα, οὐ πάνυ δὲ πείθουσά πως τὸ ἀποθέ<μενόν τινα νοεῖ>σθαι τὴν κακίαν καὶ τὴν ἀπὸ κακίας ἀποδόσθαι ὕπαρξιν καὶ δοῦναι πτωχοῖς. <Ἐρῶ δ’ὡς> ἐν τοιούτῳ προκατειλημμένος τόπῳ· ὁ ταύτῃ παριστάμενος τῇ δόξῃ φήσει πεπληρῶσθαι τὸν ἁμαρτωλὸν πνευμάτων κατὰ τὴν ἀναλογίαν τῶν ἁμαρτημάτων· οἷον εἰ πόρνος εἴη τοῦ λεγομένου ἐν τοῖς προφήταις πνεύματος πορνείας, εἰ δὲ θυμικὸς πνεύματος θυμοῦ, οὕτω δὲ καὶ εἰ κατάλαλος πνεύματος καταλαλιᾶς. ταῦτα οὖν τις ἐκτήσατο τὰ ὑπάρχοντα φαῦλος ὢν καὶ γενόμενος τῇ μετοχῇ τῶν χειρόνων πνευμάτων Τυφῶνος πολυπλοκώτερος. ὥσπερ δ’ ἐκτήσατο αὐτὰ ὠνηςάμενος κπροαιρέσει εἰκούσῃ τοῖς φαύλοις, οὕτως ἀποδοῖτο ἂν <αὐτὰ καὶ δοίη ἂν> οἷς θέλει ὁ λόγος οὗτος πτωχοῖς διὰ τοῦ πείθεσθαι τῷ Ἰησοῦ· ὡς γὰρ »ἡ εἰρήνη« τῶν ἀποστόλων πρὸς αὐτοὺς ἀνακάμπτει, ἐὰν μὴ »υἱὸς εἰρήνης« τύχοι εἶναι ὁ ἀκούων τὸ »εἰρήνη« ὑμῖν, οὕτως ἡ πορνεία καὶ πάντα τὰ ἁμαρτήματα [πάντα] ἀνακάμψαι ἂν πρὸς τοὺς αἰτίους τῶν ἁμαρτημάτων πτωχούς, καὶ ἔστι μὴ διστάσαι περὶ τοῦ <εὐθέως> τέλειον γίνεσθαι τὸν οὕτω πωλήσαντα πάντα τὰ ἀποδεδομένα ὑπάρχοντα καὶ δόντα πτωχοῖς. εἰ δὲ χρόνῳ πολλῷ ἀποδίδοται τὰ ὑπάρχοντα καὶ πολλοῦ δεῖται χρόνου πρὸς τὸ δοῦναι αὐτὰ οἷς εἴπομεν πτωχοῖς, οὐδὲν ἂν κωλύοιτο ὁ λόγος χρόνῳ διδοὺς (κατ᾽ ἀναλογίαν ὧν ἀποδέδοται τοῖς πτωχοῖς) τέλειον γίνεσθαι τὸν ταῦτα ποιοῦντα. σαφῶς δὲ ὁ ταῦτα πράξας ἕξει θησαυρὸν ἐν οὐρανῷ καὶ αὐτὸς γινόμενος ἐπουράνιος· »οἷος« μὲν γὰρ »ὁ χοϊκὸς (ὁ πονηρὸς δηλαδή), τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος (τουτέστιν ὁ Χριστός), τοιοῦτοι καὶ οἱ ἐπουράνιοι«. ἐν τῷ οὖν αὐτοῦ μέρει οὐρανοῦ ἕξει θησαυρὸν ὁ βουληθεὶς τέλειος γενέσθαι καὶ πωλήσας πάντα τὰ ὑπάρχοντα καὶ δοὺς τοῖς πτωχοῖς. ἀλλὰ μὴ ὑπολάβῃς τὸν τηλικοῦτον δύνασθαι ἐν τοῖς κατὰ τὰ βιωτικὰ πλουσίοις εὑρεθῆναι. τίς γὰρ αὐτῶν ἀπέθετο τὴν φιλοπλουτίαν καὶ τὴν (ἵν᾽ οὕτως ὀνομάσω) φιλοκοσμίαν; τίς δὲ πάντη ἀπέθετο τὸ πνεῦμα τῆς κενοδοξίας, ἵνα χωρήσῃ ἐν τῷ ἑαυτοῦ οὐρανῷ θησαυρὸν δόξης θεοῦ καὶ πλούτου τοῦ ἐν παντὶ λόγῳ καὶ πάσῃ σοφίᾳ θεοῦ; τίς δὲ ἀπέθετο τὸ πνεῦμα τῆς ἐπιθυμίας καὶ τοῦ φόβου καὶ τῆς ἡδονῆς καὶ τῆς ὀργῆς; ἀγαπητὸν γὰρ ἐπὶ τῶν ἀποστόλων τὸ τοιοῦτον <καὶ τῶν ἐκείνοις

ὁμοίων τὸν> φιλαλήθως ἐξετάχοντα τὰ πράγματα ἀποφήνασθαι. οὗτος δὲ καὶ δύναται ἀκολουθῆσαι τῷ Ἰησοῦ, ὁ (ὡς ἀποδεδώκαμεν) πάντα ἀποδόμενος καὶ ἔχων θησαυρὸν ἐν οὐρανῷ· οὐ γὰρ περιέλκεται ὑπό τινος μοχθηροῦ κτήματος, ἵνα μὴ ἀκολουθῇ τῷ Ἰησοῦ.

Ἑξῆς δὲ τούτοις λέγεται ὅτι ἀκούσας <δὲ> τὸν λόγον ὁ νεανίσκος ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. καὶ ὄψει γε (ὡς πρὸς τὴν ἀναγωγήν), τίνα τρόπον δυσαποσπάστως ἔχομεν τοῦ φρονεῖν τὸν πλοῦτον ἀγαθὸν εἶναι ἢ τὴν κάτω δόξαν, ἀλλὰ καὶ μᾶλλον θέλομεν, ἐπεὶ ἀγαπῶμεν τὴν ἐπιθυμίαν, τυχεῖν τῶν καὶ φαύλως ἐπιθυμουμένων ἢ ἀπαλλαγῆναι τῆς ἐπιθυμίας, καὶ μᾶλλον μὴ περιπεσεῖν οἷς φανταζόμεθα φοβεροῖς ἅπερ ἀποθέσθαι τὸν ἐχθρὸν τῷ φόβῳ τοῦ θεοῦ φόβον. ἀλλ᾽ οὐδὲ πρεσβύτερός τις εἰσῆκται καθεστηκὼς οὐδὲ ἀνὴρ καταργήσας »τ]ατοῦ νηπίου«, ἀλλὰ νεανίσκος ὁ τὸν λόγον ἀκούσας καὶ ἀπελθὼν λυπούμενος. τοιοῦτος γὰρ ἦν τὴν ψυχήν, διὸ καὶ καταλιπὼν τὸν Ἰησοῦν ἀπῆλθεν (ἐπὶ ψόγῳ γὰρ εἴρηται τὸ ἀπῆλθε), καὶ ἀπῆλθε λυπούμενος λύπην τὴν »τοῦ κόσμου«, τὴν »θάνατον« κατεργαζομένην. ἦν γὰρ ἔχων κτήματα πολλὰ ἅπερ ἠγάπα, ἀγαπῶν τὸ ὀργίζεσθαι καὶ τὸ λυπεῖσθαι (διὸ ἀπῆλθε λυπούμενος) καὶ ὅσα ἀπὸ κακίας ἦν <αὐτῷ γεγεννημένα> κεκρατηκότα τῆς ψυχῆς αὐτοῦ, εἰ μέντοι ἐπὶ τῆς ἱστορίας μένοις κατά τινα τῶν προαποδεδομένων διήγησιν ἐξ ἡμισείας εὕροις ἂν ἐπαινετὸν καὶ ἐξ ἡμισείας ψεκτὸν τὸν νεανίσκον τοῦτον. ᾗ μὲν γὰρ οὐκ ἐμοίχευσεν οὐδὲ ἐφόνευσεν οὐδὲ ἔκλεψεν οὐδὲ ἐψευδομαρτύρησεν, ἀλλὰ καὶ ἤδη νεανίσκος ὢν ἐτίμησε τὸν πατέρα καὶ τὴν μητέρα καὶ ἐλυπήθη ἐπὶ τοῖς τὴν τελειότητα ὑποτιθεμένοις λόγοις τοῦ Ἰησοῦ καὶ ἐπαγγελλομένοις αὐτήν, εἰ ἀποδοῖτο τὰ ὑπάρχοντα, ἀστεῖόν τι ἦν ἐν αὐτῷ. ᾗ δὲ ἀπῆλθεν ἀπὸ τοῦ Ἰησοῦ λυπούμενος διὰ τὰ κτήματα, δέον αὐτὸν χαίρειν, ὅτι ἀντ᾽ ἐκείνων ἔμελλεν ἔχειν θησαυρὸν ἐν οὐρανῷ, καὶ ἀκολουθῶν τῷ Ἰησοῦ κατ᾽ ἴχνη βαίνειν υἱοῦ θεοῦ, ψεκτὸς ἦν.

Ἀπελθόντος δὲ αὐτοῦ, εἶπεν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐφ᾽ ᾧ παρατηρητέον ὡς τοῦ σωτῆρος ἀκριβῆ λόγον τὸν ἀναγεγραμμένον. οὐκ εἶπε μὲν γὰρ ὅτι πλούσιος οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπείπερ εἰ τὸ τοιοῦτον εἰρήκει, ἀποκεκλείκει ἄν <πάντως> τὸν πλούσιον ἀπὸ τῆς τῶν οὐρανῶν βασιλείας. φησὶ δὲ ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται· τὸ χαλεπὸν μὲν πρὸς σωτηρίαν τοῦ πλουσίου παριστὰς οὐ μὴν <τὸ> ἀδύνατον ***, ὅπερ ἐπὶ μὲν τοῦ ῥητοῦ αὐτόθεν λόγον ἔχειν φαίνεται, δυναμένων πλουσίων μετὰ δυσκολίας ἀντιστῆναι τοῖς πάθεσι καὶ ταῖς ἁμαρτίαις καὶ μὴ πάντη ὑπ᾽ αὐτῶν ἁλῶναι. εἰ δὲ τροπολογούμενος <ὁ πλούσιος> παραλαμβάνοιτο, ζητήσεις πῶς κἂν δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τὴν δὲ δυσκολίαν τῆς εἰσόδου τοῦ ἑκατέρως νοουμένου <πλουσίου εἰς σωτηρίαν> ἐμφαίνει ἡ παραβολὴ τῷ εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρύπης ῥαφίδος διελθεῖν ἢ πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν ᾗ παραβολῇ ὁ μὲν πλούσιος παραβάλλεται καμήλῳ, οὐ διὰ τὸ ἀκάθαρτον τοῦ ζῴου μόνον ὡς ὁ νόμος ἐδίδαξεν, ἀλλὰ καὶ

<διὰ> τὴν ὅλην αὐτοῦ σκολιότητα, ἡ δὲ τῶν οὐρανῶν βασιλεία τρυμαλιᾷ ῥαφίδος, εἰς παράστασιν τοῦ πάνυ στενὴν εἶναι καὶ εἰς ὑπερβολὴν τεθλιμμένην τὴν εἰς τὴν τῶν οὐρανῶν βασιλείαν εἴσοδον τῷ ἑκατέρῳ πλουσίῳ. δηλοῖ δ᾽ ὅ <ὡς> αὐτόθεν μὲν ἀδύνατον τὴν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν. <δυνατὸν δὲ ὅσον πρὸς τὸν θεόν, οὕτως καὶ τὸν πλούσιον ὅσον πρὸς αὐτὸν ἀδύνατον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν>. τῷ δὲ δυνατὰ εἶναι τῷ θεῷ πάντα καὶ τὸ τοιοῦτον αὐτῷ δυνατόν ἐστιν, ἀφάτῳ δυνάμνει <ἤ> τὴν παχύτητα τοῦ φαύλου λεπτύνοντι ἢ τὴν στενότητα τῆς εἰσόδου χωρητὴν αὐτῷ ποιοῦντι. ὅτι γὰρ τοῦ δυσκόλως εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν τὸν πλούσιον παράδειγμα ἔλαβε τὴν τρυμαλιὰν καὶ τὴν κάμηλον ἀλλ᾽ οὐ τοῦ ἀδυνάτου, δῆλον ἐκ τοῦ πρὸς τοὺς μαθητὰς εἰρῆσθαι (φήσαντας· τίς ἄρα δύναται σωθῆναι;) τὸ παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ θεῷ πάντα δυνατά. οὐκοῦν δυνατὸν καὶ τὴν κάμηλον εἰσελθεῖν διὰ τρυμαλιᾶς ῥαφίδος. ἀλλ᾽ οὐ παρὰ ἀν θρώποις δυνατόν. <παρὰ δὲ θεῷ>· οὕτως δὲ καὶ τὸν πλούσιον εἰς τὴν βασιλείαν τοῦ θεοῦ. τὰς δὲ ἐφόδους τοῦ πῶς ἄν τὰ τοιαῦτα ποιήσαι ὁ θεὸς δυνατά, αὐτὸς ἄν εἰδείη καὶ ὁ Χριστὸς αὐτοῦ καὶ ᾧ ἄν ἀποκαλύψῃ ὁ υἱὸς αὐτοῦ. Ὁ μὲν οὖν διαβεβηκὼς ἐν σοφίᾳ καὶ λόγῳ ἐπιτολμήσαι ἄν ἐπὶ πλεῖον καὶ τῇ περὶ τῆς ῥαφίδος καὶ τῆς τρυμαιᾶς αὐτῆς σδιηγήσει. ἡμεῖς δὲ τοσοῦτον παραθησόμεθα ὅτι ἐστί τινα ἐν τῷ νόμῳ γινόμενα τέχνῃ ῥαφιδευτοῦ χρήζοντος ῥαφίδος, ἵνα κατὰ σοφίαν θεοῦ ποιήσῃ τὰ ἔργα <τις> ἧς ἀνείληφε τέχνης. ὡς οὖν νοηθείη τὰ τοῦ ῥαφιδευτοῦ ἔργα κἀκείνη ἡ ῥαφίας, νοηθήσεται καὶ τὰ νοηθήσεται καὶ τὰ τῇδε λελεγμένα· ἅπερ νῦν λέγειν καὶ σαφηνίζειν τάχα μὲν καὶ ὑπὲρ ἡμᾶς ἐστι, τάχα δὲ καὶ τῷ εἰδότι πολλῆς ἄν καὶ ἀκαίρου /ρχοιτο παρεκβάσεως. δύο τὲ προκειμένων, τοῦ κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν καὶ τοῦ πλούσιον εἰς τὴνβασιλείαν τοῦ θεοῦ, εὐκοπώτερον εἶναι;φησι τὸ πρότερον. καὶ ζητήσεις γε ἐν τοῖς ἀνθρώποις ἄλλον μὲν τὸν κάμηλον <γενόμενον> εἰσερχόμενον διὰ τρυμαλιᾶς ῥαφίδος, ἄλλον δὲ τὸν πλούσιον (ἀδυνάτως <μὲν> ἀμνθρώποις δυνατῶς δὲ τῷ θεῷ) εἰσερχόμενον εἰς τὴν βασιλείαν τοῦ θεοῦ· οὕτως δὲ καὶ ἐπὶ τῆς καμήλου καὶ ἐπὶ τῆς τρυμαλιᾶς τῆς ῥαφίδος, ὁστισποτοῦν ἐᾶν εὑρεθῇ κάμηλος καὶ ἠτισοῦν ἐᾶν νοηθῇ [κάμηλος] τρυμαλιὰ ῥαφίδος, [ἤ] εἰσελεύσεται δι᾽ ἐκείνης· ὅτι ἀδύνατον μὲν ἀνθρώποις, παρὰ δὲ θεῷ καὶ τοῦτο δυνατόν. εἰ δὲ ἐμφαίνει ταῦτα καὶ παρίστησι τελικά τινα μυστήρια καὶ ἐπί <τινατ> τέλος ἄγοντα διά τινων ὁδῶν θεῷ μόνῳ δυνατῶν ἤ μή, ὁ δυνάμενος ἐξεταζέτω.

Ἐξῆς ἔστιν ἰδεῖν τὰ περὶ τοῦ τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; καὶ ταῦτα δὲ ὁ μέν τις τηρήσει κατὰ τὴν λέξιν, ὁ δέ τις ἀνασκευάσας τὸ τῆς λέξεως ὡς οὐ μεγαλοφυὲς τροπολογήσει. ὁ μὲν οὖν τῇ λέξει παριστάμενος τοιαῦτα ἐρεῖ· ὥσπερ ἐπὶ τῆς δόσεως οὐ τὸ διδόμενον, ἀλλὰ τὴν <τοῦ διδόντος> προαίρεσιν ἀποδεχόμενος ὁ θεὸς δικαιοῖ καὶ <μᾶλλον> ἀποδέχεται τὸν τὸ ἔλαττον προαιρέσει τελειοτέρᾳ δεδωκότα παρὰ τὸν τὸ πλεῖον ἐκ πλειόων καὶ διαθέσει ὑποδεεστέρᾳ (ὡς δῆλόν ἐστιν ἐκ τῶν ἀναγεγραμμένων περὶ τῆς <μεγάλης> δόσεως τῶν πλουσίων καὶ

τῶν δύο πεπτῶν, ἅτινα ἡ χήρα εἰς λόγον πενήτων ἔβαλεν εἰς τὸγαζοφυλάκιον). οὕτως καὶ ἐπὶ τῶν διὰ τὴν πρὸς τὸ θεῖον ἀγάπην καταλιπόντων ἅ κέκτηνται, ἵνα ἀπερισπάστως ἀκολουθῶσι τῷ Χριστῷ τοῦ θεοῦ πάντα πράττοντες κατὰ τὸν λόγον αὐτοῦ, οὐ πάντως μᾶλλον ἀπόδεκτος ὁ τὰ πλείονα καταλιπὼν τοῦ τὰ ἐλάττονα, καὶ μάλιστα ὅτε τύχοι ὅλῃ ψυχῇ τις καταλιπὼν τὰ ἐλάττονα, παρὰ τὸν δοκοῦντα καταπεφρονηκέναι τῶν πλειόνων. εἰ καὶ μικρὰ οὖν καὶ εὐτελῆ ὁ Πέτρος καταλέλοιπεν ἅμα τῷ ἀδελφῷ αὐτοῦ Ἀνδρέᾳ, ἡνίκα ἀκούσαντες ἀμφότεροι τὸ »δεῦτε ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων«, »εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ«, ἀλλ’ οὐ μικρὰ λελόγισται παρὰ τῷ θεῷ κατανοήσαντι ὅτι ἀπὸ ἕξεως αὐτὸ τοιαύτης πεποιήκασιν, ὡς εἰ καὶ ἐκέκτηντο πολλὰ κτήματα καὶ πλεῖστα ὑπάρχοντα, μὴ ἄν ὑπ’ αὐτῶν κατασχεθῆναι μηδὲ ἐμποδισθῆναι τὴν ὁρμὴν βουλομένων ἀκολουθῆσαι τῷ Ἰησοῦ. καὶ θαρρῶν (οἶμαι) ἐπὶ τῇ προαιρέσειμᾶλλον ἤ τῷ ὕλῃ ὧν καταλέλοιπενό Πέτρος παρρησιασάμενος εἶπε τῷ Ἰησοῦ τὸ ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;εἰκὸς δὲ νοεῖν μὴ δίκτυα μόνον αὐτὸν καταλελοιπέναι ἀλλὰ καὶ οἶκον καὶ γυναῖκα, ἧς ἡ μήτηρ ἐπιστάντος τοῦ Ἰησοῦ ἀπήλλακται τοῦ πυρετοῦ· στοχάσαιτο δ’ ἄν τις ὅτι δυνατὸν καὶ τέκνα αὐτὸν καταλελοιπέναι, οὐκ ἀδύνατον δὲ καὶ κτῆσίν τινα βραχεῖαν.

Μέγα οὖν δηλοῦται περὶ τοῦ Πέτρου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐπείπερ ἀκούσαντες τὸ »δεῦτε ἀκολουθεῖτέ μοι, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων« μηδὲν ἀναβαλλόμενοι »εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ«, οὐ μιμησάμενοι τὸν εἰπόντα· »ἀλλὰ πρῶτον ἐπίτρεψόν μοι εἰς τὸν οἶκόν μου ἀπεελθεῖν καὶ ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου«, οὐδὲ παραττλήσιόν τι ποιήσαντες τῷ λέγοντι· »ἐπίτρεψόν μοι πρῶτον ἀπελθεὶν καὶ θάψαι τὸν πατέρα μου«. καὶ πρόσχες ἐπιμελῶς ὅτι ἀξιολ ἀξιολόγως πληγέντες ὑπὸ τῆς προστάξεως τοῦ’ Ἰησοῦ καὶ τῆς ἐπαγγελίας αὐτοῦ, καὶ πιστεύσαντες ὅτι ὀλίγην ἀλισυτικ]ν καταλιπ΄ντες τὴν ἰχθώων ἀνθρώπους ἔμελλον ἀγρεύειν πρὸς σωτηρίαν, καὶ οἱονεὶ τρωθέντες ὑπότε τῆς εἰς τὸν Ἰησοῦν κὰι ἧς ἐπηγγεείλατο αὐτοῖς διακονίας φιλανθρώπου μέλλουσιν ἀνδδρώπους θηρεύειν, »εὐθέως ἀφέντες τὰ δίκτυα« καὶ ὡσπερεὶ ἐπιλαθόμενοι τῶν οἴκοι »ἠκολούθησαν αὐτῷ«, ὡς ἄξιον γεγονέανι <ἐπὶ ἐκείνῃ>ἐπ’ ἐκείῃῃ τῇ ὁρμῇ τὸν Πέτρον σεμνύνασθαι καὶ εἰρηκέναι τὸ προειρημένον. ἅμα δὲ παρατηρητέον ὅτι τοῦτο εἴρηχεν ὁ Πέτρος κατανοήσας μὲν τὴν εἰρημένην ὑπὸ τοῦ Ἰησοῦ φωνήν. εἰ θέλεις τέλειος εἶναι ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, θεασάμενος δὲ καὶ τὸν ἀκούσαντα νεανίσκον καὶ μετὰ λύπης ἀπεληλυθότα, ἐπείπερ πρροκεκρρίκει τὰ πολλὰ ἐπὶ τῆς γὴς κτήματα τοῦ τέλειος ἐν θεῷ γενέσθαι, νοήσας δὲ καὶ τὸ δύσκολον περὶ τοῦ εἰσελθεὶν ἐἰς τὴν τῶν οὐραῦνων βασιλείαν τοῦ πλουσίου, ὡσπερεὶ καὶ αὐτὸς οὐκ εὐχερὲς πρᾶγμα ποιῶν ἐν τῷ πάντα καταλελοιπέναι καὶ ἠκολουθηκέενοι τῷ σωτῆρι, εἶπε τὰ προκείμενα. διὰ καὶ παρρησισαμένῳ τῷ Πέτρῳ ἀποκρίνεται τὰ τῆς ἐπιφερομένης μεγάλης ἐπαγγελίας ὁ σωτὴρ πεερὶ τοῦ μέλλειν ἕνα τῶν κριτῶν τοῦ Ἰσραὺλ ἔσεσθαι τὸν πέτρον.

Ὁ δὲ τῆς λέζεως <ὡς> οὐχ ἱκανῆς πεῖσαι μεγαλοφυῆ ἀκροατὴν καταφρονήσας, ὡς καὶ ἄλλων λέζεων τῆς γραφῆς τὸ σεεμνὸν ἐν τῇ ἀναγωγῇ ἐχουσῶν, τοιαῦτα φήσει ὅτι αὐτό τὸ τὸ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι, δικτυδίου καταλειφθέντος καὶ πενιχρᾶς οἰκίας καὶ ἐπιπόνου ἐν πενίᾳ βίου, οὐ πάνυ τι <μέγα ἐστὶν οὐδὲ> ἀξίως λέλεεκται τοῦ τηλικούτου μαθητοῦ, ᾧ »σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψεν« ὅτι Ἰησοῦς εἴη »ὁ Χρι στὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζπωντος«, »ἀλλ’ ὁ ἐν τοῖς οὐρανοῖς πατὴρ« αὐτροῦ, καὶ ᾧ λέλεκται τὸ »σὺ εἶ ὁ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅλου οὐ κατισχύσουσιν αὐτῆς«. ἀλλὰ οὐποτε τὰ <προ-> αποδελομένα εἰς τὴν διήγησιν τοῦ· ὕπαγε πύλησόν σου τὰ ὑπάρχοντα καὶ τὰ ἐξῆς χρήσιμα <καὶ ἀληθινὰ> εἰς τὰ προκείμενά ἐστι. πέτρος γὰρ ἀφῆκε πάντα, ἐφ’ οἷς ἁμαρτωλὸς ἦν καὶ δι ἃ εἶπεν· »ἔξελθε ἀπ’ ἐμοῦ, κύριε, ὅτι ἀνὴρ ἁμαρτωλὸς ἐγώ εἰμι«, καὶ μέγας αἰτοῦ ἔπαινος ἦν τεθαρρηκότος ἐπὶ τῷ μηκέτι ἁμαφτάνειν λέγειν· ἀφήκαμεν πάντα, καὶ οὐ μόνον τὰ χείρονα καταλοίπαμεν ἀλλὰ καὶ ἡ κολουθήσαμέν σοι. τὸ δὲ σοὶ ἠκολουθήσαμεν ἴσον δύναται εἶναι τῷ· ἀπολαύψαντος ἡμῖν <κατὰ πάντα, ὡς Πέτρῳ, τοῦ> πατρὸς ὅστις εἶ, καὶ ὅτι δικαιοσύνη τρὸς ὅστις εἰ, καὶ ὅτι δικαιοσύνη εἶ, ἠκολουήσαμέν σοι καθὸ δικαιοσύνη τυγχάνεις, οὕτω δὲ καὶ καθὸ ἁγιασμὸς καὶ καθὸ σοφία καὶ καθὸ εἰρήνη καὶ καθὸ ἀλήθεια καὶ καθὸ ὁδὸς ἡ φέρουσα πρὸς θεὸν καὶ καθὸ ζωὴ ἀληθινή διάπερ ὡς ἀθλη- <τὴς νικη> τὴς μετὰ τὸν ἀγῶνα πυνθανόμενος τοῦ ἀγωνοθέτου, εἰ τύχοι μὴ ἐπιστάμενος τὰ ἐπὶ τῷ ἀγῶνι ἆθλα, πυνθάνεται τοῦ σωτῆρος λέγων μετὰ τῆς ἐπὶ τοῖς ἀνδραγαθήμασι παρρησίας τὸ τί ἄρα ἐσται ἡμῖν; καὶ ἔἶπερ βουλόμεθα τὰ πρὸς Πέτρον εἰρημένα τὰ κατὰ τὴν πεῦσιν αὐτοῦ καὶ αὐτὶ λαβεῖν, ἀφῶ μεν ὁμοίως πάντα, μηκέτι περιεχόμενοι τῆς καίας καὶ τῆς κατ’ αὐτὴν ἐνεργείας, καὶ ἀκολουθήσωμεν τῷ τοῦ θεοῦ λίγῶ, ἵνα ἡμῖν εἴπῃ καὶ πᾶσι τοῖς ἀκολουθήσασιν αὐτῷ τὰ ἐπιφερόμενα οἵτως ἔχοντα· ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ἡμεῖς οἱ ἀκολουθήσαντές μοι καὶ τὰ ἐξῆς. ἅπερ καὶ αὐτὰ καὶ ἁπλούστερον ἔχει τινὰ προτρεπτικὸν ἐπὶ τὸ καταλιπεῖν πεῖν τὰ ὑπάρχοντα νοῦν, καὶ ἕτερον παρὰ τοῦτον βαθύτερον. ὁ μὲν οὖν κατὰ τὴν λέξιν ἑρμηνεύων τὸν τόπον τοῦ εὐαγγελίου τοιαῦτα ἐρεῖ· <οὐ>πάντας εἶπεν ἀκολουθεῖν τῷ Ἰησοῦ ὁ λόγος, ἀλλὰ τοὺς μὲν τότε ἀποστόλους καὶ <τοὺς> ὁμοίως ἐκείνοις ἐπιμόνως αὐτῷ ἀκολουθήσαντας <ἀκολουθήσαντας ἑαυτῷ> ὠνόμασεν· τοὺς δὲ μεταγενεστέρους ἐδήλωσε <τῷ> καὶ πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς ἢ ἀδελφὰς καὶ τὰ ἐξῆς. ἀλλ’ ὡς βιαίως διηγγησάμενον τὸ ἀκολουθεὶν ἀνατρέψει τις λέγων περὶ πάντων εἰρῆςσθαι τὸ ἀκολου θεῖν ἐν τῷ »ὅς ἄν μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἐστι μου ἄξιος εἶναι μαθητής«.

Οἱ τοίνυν ἀκολουθήσαντες τῷ σωτῆρι καθεδοῦνται ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. καὶ ταύτην λήψονται τὴν ἐξουσίαν ἐν τῇ ἀνα στάσει τῶν νεκρῶν· αὕτη γάρ ἐστιν ἡ παλιγγενεσία καινή τις γένεσις οὖσα, ὅτε οὐρανὸς καινή τις γένεσις οὖσα, ὅτε οὐρανὸς καινὸς καὶ [ἡ] γῆ καινὴ τοῖς ἑαυτοῦς ἀνακαινώσασι κατίζεται καὶ καινὴ διαθήκη παραδίδοται καὶ τὸ ποτήριον αὐτῆς.

ἐκείνης δὲ τῆς παλιγγενεσίας παλιγγενεσίας προοίμιόν ἐστι τὸ καλούμενον παρὰ τῷ Παύλῳ λουτρὸν παλιγγενεσίας, καὶ ἐκείνης τῆς καινότητος <μυστήριόν ἐστι> τὸ ἐπιφερόμενον τῷ λουτρῷ τῆς παλιγγενεσίας ἐν τῷ »ἀνακαινώσεως πανεύματος«. τάχα δὲ καὶ κατὰ μὲν τὴν γένεσιν »οὐδείς ἐστι καθαρὸς ἀπὸ ῥύπου, οὐδ' εἰ μία ἡμέρα εἴη ἡ ζωὴ αὐτοῦ« διὰ τὸ περὶ τῆς γενέσεως μυστήριον, ἐφ'ᾗ τὸ ὑπὸ τοῦ Δαυΐδ ἐν πεντηκοστῷ ψαλμῷ λελεγμένον ἕκαστος ἂν τῶν εἰς γένεσιν ἐληλυθότων λέγοι, ἔχον οὕτως ὅτι »ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου«. κατὰ δὲ τὴν ἐκ λουτροῦ παλιγγενεσίαν πᾶς μὲν »καθαρὸς ἀπὸ ῥύπου« ὁ γεννηθεὶς »ἄνωθεν« »ἐξ ὕδατος καὶ πνεύματος«, ἵνα <δὲ> τολμήσας εἴπω καθαρὸς »δι' ἐσόπτρου« καὶ »ἐν αἰνίγματι. κατὰ δὲ τὴν ἄλλην παλιγγενεσίαν, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, πᾶς ὁ εἰς τὴν ἐν Χριστῷ παλιγγενεσίαν ἐκείνης φθάσας καθαρώτατός ἐστιν »ἀπὸ ῥ΄φπον« <καὶβλέπει>»πρόσωπον πρὸς πρόσωπον«, καὶ αὐτὸς »διὰ λουτροῦ παλιγγενεσίας« φθάνων ἐπ' σύνες πῶς Ἰωάννης, ὁ »ἐν ὕδατι« βαπίζων »εἰς μετάνοιαν« λέγει περὶ τοῦ σωτῆρος τὸ »αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί«.

Ἐν μὲν οὖν τῇ διὰ λουτροῦ παλιγγενεσίᾳ συνετάφημεν τῷ Χριστῷ. »συνετάφημεν γὰρ αὐτῷ (κατὰ τὸν ἀπόστολον) διὰ τοῦ βαπτίσματος«. ἐν δὲ τῇ τοῦ διὰ πυρὸς καὶ πνεύματος λουτροῦ παλιγγενεσίᾳ σύμμορφοι γινόμεθα »τῷ σώματι τῆς δόξης« τοῦ Χριστοῦ καθεφμένου ἐπὶ θρόνου δόξης αὐτοῦ καὶ αὐτοὶ καθεζόμενοι ἐπὶ δώδεκα θρόνους, εἰ καὶ ἀφέντες πάντα (ὁποτερωσοῦν *** μᾶλλον δὲ κατὰ τὸ δεύτερον) ἠκολουθήσαμεν Χριστῷ. τότε δὲ ὅταν καθίςῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, πληροῦται ἡ λέγουσα προφητεία.»εἶπεν ὁ κύριος τῷ κυρίῳ μου. κάθου.ἐκ δεξιῶν μου ἕως ἂν θῶτοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου«. καὶ τό<τε> »δεῖ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ«, ἕως οὗ »ὁ ἔσχατος ἔχθρὸς θάνατος« καταργηθῇ, οὗ καταργηθέντος Οὐκέτι ἔσται πρὸ προσώπου τῶν σωζομένων θάνταος ἀλλὰ μόνη ζωὴ ἡ πιστευομένη. θανάτου μὲν γὰρ ὄντος πρὸ προσώπου <ἀνθρώπων> δι' ἐκεῖνον ἀπιστεῖται ὑπὸ τῶν κρατουμένων ὑπ'αὐτοῦ ζωή· καταργηθέντος δὲ θανάτου πιστεύεται ὑπὸ πάντων ἡ ζωή. ἐν δὲ τῷ νόμῳ εὑρήσεις καὶ τὸ »τέθεικα τὴν ζωήν καὶ τὸν θάνατον πρὸ προσώπου σου« καὶ τὸ »ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλκρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν« καί. »οὐ μὴ πιστεύσητε τῇ ζωῇ ὑμῶν«. καθέζεται δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, οὐδενὸς ἀτίμου καὶ ἀδόξου ἐνν θεῷ βασιλευομένου ὑπ'αὐτοῦ. πάντες γὰρ τότε οἱ μὴ »δόξαν παρὰ ἀνθρώπων« λαμβάνοντες μηδέ <τι> ποιοῦντες πρὸς τὸ δοξασθῆναι »ὑπὸ τῶν ἀνθρώπων«, ἀλλὰ τὴν δόξαν τὴν ἀπὸ »τοῦ μόνου« ζητοῦντες, βασιλευθήσονται ὑπὸ τοῦ καθημένου ἐπὶ θρόνου δόξης αὐτοῦ. τότε δὲ καὶ ἀποδίδοται τὰ τῆς εὐχῆς τῷ σωτῆρι εὐξαμένῳ καὶ εἰπόντι. »πάτερ, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ κόσμον εἶναι«.

Εἰ δὲ δύνασαι νοῆσαι τὸν λόγον ἀποκαταστάντα μὲν μετὰ τὸ γεγονέναι αὐτὸν σάρκα καὶ ὅσα γέγονε τοῖς γεννητοῖς, γινόμενος αὐτοῖς ὅπερ ἕκαστος αὐτὸν

<ἑαυτῷ> ἔχρῃζε γενέσθαι, ἵνα τοὺς πάντας κερδήσῃ, καὶ ἀποκαταστάντα, ἵνα γένηται ὁποῖος »ἦν ἐν ἀρχῇ τὸν θεόν«, (θεὸς λόγος ὢν) ἐν τῇ ἰδίᾳ δόξῃ, ὡς λόγου τοιούτου δόξῃ. ὄψει αὐτὸν καθεζόμενον ἐπὶ θρονου νου δόξης αυτοῦ, καὶ οὐχ ἕτερον αὐτοῦ τὸν υἱὸν τοῦφ ἀνθρώπου, τὸν κατὰ τὸν Ἰησοῦν ἄνθρωπον νοούμενον· ἓν γὰρ οὗτος τῷ λόγῳ γίνεται, παντὸς μᾶλλον τῶν διὰ τὸ κολλᾶσθαι »τῷ κυρίῳ« γινομένων »ἓν πνεῦμα« πρὸς αὐτόν. τότε δέ, ἡνίκα ἂν ταῦτα ἐν τῇ ἀποκαταστάσει τοῦ σωτῆρος γένηται, καὶ οἱ ἀφέντες πάντα καὶ ἀκολουθήσαντες αὐτῷ καθεδοῦνται, ὡς σύμμορφοι γενόμενοι »τῷ σώματι« καὶ τῷ θρόνῳ τῆς δόξης τοῦ Χριστοῦ, ἐπὶ θρόνους δώδεκα κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. ὁ γὰρ ὅλος βίος τῶν δικαίων κρινεῖ τὰς μὴ πεπιστευκυίας δώδεκα φυλὰς τοῦ Ἰσραήλ, καὶ κρινοῦσί γε οἱ ἀπόστολοι καὶ οἱ τὸν ἀποστολικὸν ἐζηλωκότες βίον καὶ κατωρθωκότες τοὺς εὐγενεῖς μὲν (διὰ τὸ εἶναι αὐτοὺς Ἰσραηλίτας) οὐ τὰ ἄξια δὲ τῆς εὐγενείας πεποιηκότας. τάχα δὲ τὸ μὲν »ἐν ὑμῖν κρίνεται ὁ κόσμος« πρὸς Κορινθίους λελεγμένον λέγεται πρὸς τοὺς ἀπὸ τῶν ἐθνῶν, τὸ δὲ καθίσεσθε καὶ αὐτοὶ ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοὺ Ἰσραὴλ πρὸς τοὺς ἀποστόλους καὶ τοὺς τὸν ἀποστολικὸν βίον ἐζηλωκότας, κρινοῦντας τοὺς εὐγενεστέρους τοὺ ὅλου κόσμου ὄντας τὸν Ἰσραήλ. ἀλλὰ νόησον ἐν τούτοις ἀξίως τῆς μεγαλονοίας τοῦ εὐαγγελίου τὸν Ἰσραὴλ εὐγενῆ μὲν καὶ πεφυκότα κρειττόνως, οὐ πεπιστευκότα δέ. ἀνάγειν δὲ μετὰ τὸν περὶ τοῦ Ἰσραὴλ καὶ τὸν περὶ τῶν δώδεκα φυλῶν λόγον (ὥστε δώδεκα τάγματα εἰπεῖν γενικὰ ψυχῶν καὶ εὐγενεστέρων, ὧν αἱ μὲν διαφέρουσαι ἐν ὑπεροχῇ εἰσιν αἱ δὲ καθ᾽ ἕνδεκα μοίρας τεταγμέναι λοιπαὶ <ἐν> τάξει δευτέρᾳ), ὑπὲρ ἡμᾶς ἐστι μὴ τηλικαῦτα θεωροῦντας, ὡς δυνηθῆναι παραστῆσαι πῶς δώδεκά εἰσιν αστέρες οἱ πατέρες τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ, ὥσπερ ἐδήλου τὸ προφητικὸν (ἵν᾽ οὕτως ονομάσω) ὄναρ τοῦ Ἰωσήφ. οἱονεὶ δὲ καὶ ἕκαστος τῶν κρινομένων Ἰσραηλιτῶν ὑπό τινος ἢ συνωνύμου ἄστρου ἢ ἄστρῳ παραπλησίου ἀποστόλου καὶ τοῦ τὸν ἀποστολικὸν βίον βιώσαντος κριθήσεται.

Εἰ μὲν οὖν τις πάντα ἀφῆκε καὶ ἠκολούθησε τῷ Ἰησοῦ, τῶν εἰρημένων πρὸς τὸν Πέτρον κατὰ τὴν πεῦσιν αὐτοῦ τεύξεται· εἰ δὲ οὐ πάντα μὲν τὰ δὲ ἐπιφερόμεαν, ὁ τοιοῦτος πολλαπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. τίνα δὲ οὐ πάντα ἀλλ᾽ εἰδικῶς λελεγμένα, κατανοητέον ἐκ τοῦ καὶ πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺς ἢ ἀδελφὰς καὶ τὰ ἑξῆς. καὶ τοῦτο δὲ ὅτι μὲν ἔχει οὐκ εὐκαταφρόνητον λόγον καὶ κατὰ τὸ ἁπλοῦν τῆς ἐκδοχῆς καὶ προτρεπτικὸν τῆς ἐκδοχῆς καὶ προτρεπτικὸν ἐπὶ τὸ πάσης σαρκικῆς συγγενείας καταφρονεῖν καὶ πάσης τῆς κτήσεως. πᾶς ὁστισοῦν ὁμολογήσει. εἰ δὲ καὶ τοῦτο ἐκιδέχεται ἀναγωγήν, ὁ μέν τις διστάσει ὁ δὲ καὶ ἀποφανεῖται ὅ τι ἔχει. καὶ σαφές γε κατὰ τὸ ῥητὸν ὅτι πολλοὶ τῶν πιστευσάντων εἰς τὸν σωτῆρα ἡμῶν ἐμισήθησαν ὑπὸ συγγενῶν καὶ εἵλαντο τούτους καὶ πᾶσαν κτῆσιν καταλιπεῖν ὑπὲρ τοῦ πεισθέντες ὅτι πᾶς ὅστις ἀφῆκε τοὺς κατὰ σάρκα ἀδελφοὺς καὶ τὰς συγγενεῖς μόνῳ τῷ σώματι ἀδελφὰς καὶ γονεῖς τῶν σωμάτων καὶ τὰ τέκνα τῆς σαρκὸς καὶ τοὺς ἐν τῇ ἐπικαταράτῳ γῇ ἀγροὺς καὶ τὰς ἐν αὐτῇ οἰκίας, ἄλλο τι ἀλλ᾽ ἕνεκεν τοῦ ὀνόματος Ἰησοῦ, πολλαπλασίονα

λήψεται· πολλαπλασίονα γὰρ καὶ (εἰ δεῖ οὕτως ὀνομάσαι) ἀπειροπλασίονα οὐκ ἐν προσκαίρῳ ζωῇ, ἀλλ' ἐν αἰωνίῳ γενόμενος, κληρονομήσει αὐτά. πολλαπλασίονας μὲν γὰρ ἀδελφοὺς καὶ ἀδελφὰς ὧν τις ἀφῆκε διὰ τὸν τοῦ θεοῦ λόγον, εὐχερὲς διηγήσασθαι· καὶ γὰρ ἐν τῷ κόσμῳ τούτῳ πολλαπλασίους οἱ κατὰ τὴν πίστιν ἀδελφοὶ τῶν δι' ἀπιστίαν καταλελειμμένων ὑπὸ τῶν πιστευσάντων. οὕτω δὲ καὶ γονεῖς πάντας τοὺς ἀνεπιλήπτους ἐπισκόπους καὶ τοὺς ἀνεγκλήτους πρεσβυτέρους λαμβάνει τις, ἀνθ' ὧν καταλέλοιπε δού· ὁμοίως δὲ καὶ τέκνα πάντας τοὺς ἡλικίαν ἔχοντας τέκνων. πῶς δὲ πολλαπλασίονας ἀγροὺς ἢ οἰκίας ὧν τις καταλέλοιπε κληρονομεῖ, οὐκέτι ὁμοίως ἀποδοῦναι δύναται, ἂν μὴ ἄρα τις βιασάμενος ἐπ' ὀλίγων τὸ τοιοῦτον παραστήσῃ, ὅπερ οὐκ εὔλογον· ἅπαξ δὲ ἀλληγορῶν τοὺς ἀγροὺς καὶ τὰς οἰκίας ἀναγκασθήσεται κατὰ τὸ ἀκόλουθον καὶ τὰ ἀνωτέρω τούτων ἀπόδοῦναι.

Εἰσὶν οὖν (οἶμαι) ἐν ταῖςμακαρίαις ἁγίαις καὶ μακαρίαις δυνάμεσιν ἀδελφοὶ οἱ »εἰς ἄνδρα τέλειον« κατηντηκότες τῶν τὸ »μέτρον τῆς ἡλικίας τοῦ χριστοῦ« κεχωρηκότων καὶ ἀδελφαὶ πάντες οἱ παρθένος ἁγνὴ παραστησάμενοι Χριστῷ οὐκ ἀπ^' ἀνθρώπων (οἶμαι) μόνον, ἀλλὰ καὶ τῶν λοιῶν δυνάμεων. γονεῖς δὲ τοιοῦτοι εἶεν ἂν τίνες ἢ περὶ ὧν εἴρηται πρὸς τὸν Ἀβράμ· »σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, τραφεὶς ἐν γήρᾳ καλῷ«; εἰ δὲ γίνονταί ποτε οὗτοι (ἀνάλογον ἐκείνοις τοῖς πατράσιν) ἑτέρων πατέρες, τοῖς πατράσιν) ἑτέρων πατέρες„ πολλοαπλάσιον καὶ τέκνα λήψονται ὁμοίως τῷ Ἀβραάμ. καὶ τοὺς ἀγροὺς δὲ καὶ τὰς οἰκίας πολλαπλασίονας τῶν καταλειπομένων νόει μοι ἐν τῇ ἀναπαύσει τοῦ θείου παραδείσου καὶ τῇ πόλει τοῦ θεοῦ, περὶ ἧς »δεδοξασμένα ἐλαλήθη«. ἧς »ὁ θεὸς ἐν ταῖς βάρεσι γινώσκεται, ὅταν ἀντιλαμβάνηται λαμβάνηταί αὐτῆς«, ἧς »ὁ θεὸς ἐν πρὸς τοὺς τὰς ἐκεῖ οἰκίας κληρονομοῦντας· »καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν«, περὶ ἧς λέγεται· »καταδιέλεσθε τὰς βάρεις αὐτῆς«. ἐπὶ τοιούτοις δὴ κληρονομεῖν τὴν αἰώνιον ζωὴν μακάριον, τοσούτους ἔχοντας κληρονομ <ίαν αγρ>οὺς καὶ τοσαῦτα δένδρα ὑπὰθεοῦ γεωργούμενα καὶ οἰκίας ἐκ θεοῦ γεωργούμενα καὶ οὐκίας ἐκδοχῆς λίθων ζώντων, ἐν αἷς ἀναπαύσεται πᾶς ὅστις ἀφῆκεν ἀδελφοὺςἢ ἀδελφὰς καὶ τὰ λοιπά.

Μετὰ τοῦτό ἐστι τὸ πολλοὶ δὲ ἔσονται πρῶτοι 30 ἔσχατοι καὶ ἔσχατοι πρῶτοι. καὶ τοῦτο δὲ ἔχει μέν τινα καὶ κατὰ τὸν ἁπλούστερον νοῦν προτρέψασθαι δυνάμενα τοὺς ἄρτι προσερχομένους τῷ θείῳ λόγῳ ἐπὶ τὸ ἀναβῆναι παρὰ πολλοὺς τῶν νομιζομένων ἐγγεγηρακέναι τῇ πίστει ἐπὶ τὸν ὑπὲρ αὐτοὺς βίον καἰ λόγον, ὡς οὐκ ἐμποδίζοντος οὔτε χρόνου τοῖς ὕστερον πιστεύουσιν οὔτε γονέων μοχθηρῶν τοῖς αὐτοὺς ἀνεγκλήτως ἀγωνιζομένους παραστήσασιν. ἀγὼν δέ ἐστι καὶ καθελεῖν οἴημα διὰ τὸ ἐκ πατέρων <Χριστιανῶν> ἀνατετράφθαι ἐν Χριστιανισμῷ μέγα φρονούντων, καὶ μάλιστα ἐπὰν τύχῃ πατράσιν ἐπαυχεῖν καὶ προγόνοις προεδρίας ἠξιωμένοις ἐν τῇ ἐκκλησίᾳ, ἐπισκοπικοῦ θρόνου ἢ πρεσβυτερίου τιμῆς ἢ διακονίας εἰς τὸν λαὸν τοῦ θεοῦ· ἀμφότεροι γὰρ διδαχθέντες τὸ πολλοὶ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι ὠπομνησθήσονται μέτε ἐπὶ τῷ νομίζειν εἶναι πρῶτοι

μέγα φρονεῖν μήτε συστέλλεσθαι καὶ ταπεινοῦσθαι, ὡς ἔλαττόν <τι> ἔχοντες τῶν προτέρων διὰ τὸ ἔσχατοι ἐκείνων τὰ τοῦ Χριστιανισμοῦ παρειληφέναι δόγματα.

Ἔχει δ’ οἶμαι τὸ ῥητὸν <καὶ ἕτερον> λόγον ἀθρόως ἡμᾶς ἐπιστῆσαι δυνάμενον τοῖς πολλοῖς πρὸ ἡμῶν πρώτοις χρηματίσασιν ἀπὸ τοῦ Ἰσραὴλ γενομένοις διὰ τὴν εἰς τὸν Ἰησοῦν ἀπιστίαν καὶ προδοσίαν ἐσχάτοις, καὶ ἡμῖν τοῖς ἐσχάτοις τὰ πρωτεῖα δυναμέηοις λαβεῖν, ἐὰν ἐπιμένωμεν τῇ πάστει »μὴ ὑμηλο- Φρονοῦντες ἀλλὰ τοῖς ταπεινοῖς συν- Σαντες τῇ ῥίζῃ τῶν πατριαρχῶν Καὶ τῇ ἀπὸ τοῦ λόγου τῶν πατέρων 15 πιότητι συμφυεῖς γενώμεθα τῷ βου- Λήματι τοῦ πνευματικοῦ νόμου καὶ Τῶν ἀνάλογον αὐτῷ νοουμένων προ- Φητῶν, ἡμεῖς οἱ ἔσχατοι ἐσόμεθα πρῶτοι, Κἀκεῖνοι οἱ πρῶτοι, διὰ τὴν ἀπι- Στίαν ἐκκοπέντες ἀπὸ τῆς καλλιε- Λαίου Λεγόνασιν ἔσχατοι· καὶ γὰρ διὰ τὴν Χριστοῦ ἐπιδημίαν »εἰς κρίμα« τῷ κόσμῳ ἐπιδημή- Σαντος, ἵνα (τὰ ἔθνη) »οἱ μὴ βλέ- Ποντες βλψωσι καὶ οἱ βλέποντες (Ἰσραὴλ) τυφλοὶ μένωνται« διὰ τὴν ἀπιστίαν, »ὁ«μὲν» πρῶτοι, ὁ δὲ πρὸ ἡμῶν Ἰσραὴλ ὁ πρῶτος γέγονεν ἔσχατος καὶ »κάτω κάτω«. Οὕτω δὲ δύναται νοεῖσθαι καὶ τὸ »εἴ τις δέλει πρῶτος Εἶναι, ἔσται πάντων ἔσχατος«, ὡς Εἰ ἔλεγεν· ἐπεὶ νῦν τὰ πρωτεῖα Λαμβάνουσιν οἱ ἀπὸ τῶν ἐθνῶν εἰς ἐμὲ πιστεύοντες ἔσχατοι νομιζόμενοι ἐν τῷ Ἰσραήλ, ἔσχατοι δὲ κρίνονται Παρὰ τῷ θεῷ ὅλος ὁ λαὸς Τῶν ἀπιστηςάντων ἐν Ἰσραήλ, Κἂν νομίζωνται »διὰ τὸν χρόνον« εἶναι πρῶτοι. Εἴ τις <οὖν> βούλεται τὸ ἀληθινὸν πρῶτον ἀναλαβεῖν, γενέσθω ἐν τοῖς ὑπὸ τοῦ νῦν Ἰσραὴλ ἐσχάτοις εἶναι νενομισμένοις· ὃς ἂν γὰρ θέλῃ ἐν τοῖς οἰομένοις εἶναι πρώτοις, τῶν μὲν πρωτείων ἐπὶ τὰ ἔθην μεταβε- Βηκότων ἀποπεσεῖται, ἐν δὲ ἐσχάτοις ἀριθμηθήσεται· καὶ γὰρ οἱ μὲν ἀπὸ τῶν ἐθνῶν κεφαλὴ διὰ τὴν πίστιν γίνονται, ὁ Δὲ ἄπιστος Ἰσραὴλ διὰ τὴν ἀπιστίαν Οὐρά. Κατὰ τοῦτον τὸν λόγον πολλοὶ μὲν (οὐ πάντες δὲ) ἔσονται ἐκ πρώ- Των ἔσχατοι καὶ πάλιν πολλοὶ Μὲν τῶν ἐσχάτων ἔσονται πρῶτοι. Οὐ μὴν εἴ τις ἔσχατος προσελήλυθε, Τοῖς ἀπὸ τῶν ἐθνῶν πιστεύουσι Συναριθμεῖσθαι δοκῶν, οὗτος ἐν Πρώτοις λογισθήσεται. Εἰσὶ γὰρ καὶ πρῶτοι < γενόμενοι καὶ Οὐδὲν ἧττον διαμένοντες> πρῶτοι, ὡς οἱ τοῦ Χριστοῦ ἀπόστο- Λοι, Ἰσραηλῖται τυγχάνοντες καὶ ἀκ σπέρματος Ἀβραάμ. Καὶ εἰσὶν ἔσχατοι <οὐδὲν ἧττον διαμένοντες> ἔσχατοι, οἱ πολλῷ ὑποδεέστερον βιοῦντες τῶν ἀπὸ τῆς ἐκκλησίας χρηματιζόντων ***.

Μετὰ ταῦτα ἐπίστησον εἰ δύνασαι τὸ τῶν ἀγγέλων γένος πρῶ- Τον ὡς τιμι <ώτερ> ον λέγειν εἶναι Τοῦ τῶν ἀνθρώπων γένο <υς νομι- Σο> μένων ἐσχάτων. καὶ γὰρ ὡς ἐν τῷ Ἰὼβ γέγραπται· »ὅτε ἐγεννήθησαν ἄστρα, ᾔνεσαν Τὸν θεὸν πάντες οἱ ἄγγελοι αὐτοῦ«, ὡς πρεσβύτεροι καὶ τιμιώτεροι οὐ μόνον τοῦ ἀνθρώπου, ἀλλὰ καὶ πάσης τῆς μετ’ αὐτοὺς κοσμοποιίας. <καὶ οὕτως ἄν τις> τολμήσαι ἀποφήνασθαι ὅτι πολλοὶ μὲν ἀγγέλων οἳ πρῶτοι ἦσαν ἀν- 30θρώπων γίνονταί τινων ἀνθρώπων ἔσχατοι, πολλοὶ δὲ καὶ τῶν ἀνΘρώπων οἳ ἔσχατοι τῇ φύσει τυγχάνουσι τῶν ἀγγέλων γίνονται διὰ τὸν βίον καὶ τὸν τοῦ θεοῦ λόγον τινῶν ἀγγέλων (ἐν πρώτοις μὲν τεταγμένων, γενομένων δὲ ἔκ τινων αἰτιῶν ἐσχάτων) πρῶτοι. παραλαβὼν δὲ εἰς τοῦτο ἀπό τε τῆς <Πέτρου> πρώτης ἐπιστολῆς καὶ τῆς Παύλου πρὸς Κορινθίους προτέρας ῥητὰ προσαχθήσῃ ὡς ὑγιῶς εἰρημένῳ

τῷ λόγῳ. λέγει γὰρ ὁ μὲν Πέτρος· »εἰς ὃν ἄρτι μὴ ὁρῶντες (δηλονότι Ἰησοῦν Χριστὸν) πιστεύοντες δὲ ἀγαλλιᾶτε« καὶ τὰ ἑξῆς ἕως τοῦ »εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι«· ὁ δὲ Παῦλος· »ἢ οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν, μήτι γε βιωτικά«; ὅρα οὖν εἰ μὴ οὗτοι μέν, ὅσον ἐτήρουν »τὴν ἑαυτῶν ἀρχὴν« καὶ οὐκ ἀπέλιπον »τὸ ἴδιον οἰκητήριον«, πολλῷ ἀνθρώπων διέφερον καὶ ἦσαν αὐτῶν πρῶτοι, ὧν ἀνθρώπων »ἑταπεινώθη εἰς χοῦν ἡ ψυχὴ« γενομένων εν τῳ τῆς ταπεινωσεως σωματι καὶ μόγις ποτέ λεγόντων τὸ »ταλαίπωρος ἐγὼ ἐγὼ ἄνθωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου« οἱ δέ ἄνθρωποι, ὅσον εἰς σύγκρισιν ἀγγέλων ἔσχατοι τυγχάνοντες, γίνονται ἀγγέλων πρῶτοι τῶν μὴ τηρησάντων »τὴν ἑαυτῶν ἀρχήν« ἀλλὰ ἀπολιπόντων »τὸ ἴδιον οἰκητήριον«, λαμβάνοντες τὴν ἀρχὴν κατὰ τὸ »ἴσθι ἐξουσίαν ἔχων ἐπάνων δέκα πόλεων« ἢ »ἴσθι ἐξουσίαν ἔχων ἐπάνω πέντε πόλεων«. γενόμενοι δὲ ἐν οἰκητηρίῳ ἀγγέλων τινὲς ἀπολελοίπασιν ποσιν οὐτό, γίνονται δέ πρῶτοι ἄνθρωποι,> ἐπὰν ποιήσωσι αὐτοῖς τῆς τῶν οὐρανῶν βασιλείας τὰ ἀνάγοντα αὐτοὺς ἐπ αὐτήν · καὶ γὰρ οἱ μέν ἐν γῇ τῶν οὐρανίων ἔσχατοι, οἱ δέ ἐν οὐρανῷ τῶν ἐν γῇ πρῶτοι. καὶ γίνονται πολλοὶ μὲν τῶν οὐρανίων καὶ πρώτων ἔσχατοι, »εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ἐν ζόφῳ« τηρούμενοι· πολλοὶ δὲ τῶν ἐσχάτων καὶ ἐπὶ γῆς γένεσιν ἀνειληφότων ἀναβαίνοντες, ὥστε τεθαρρηκότως λέγειν· ἡμῶν δέ τὸ πολίτευμα ἐν ουρανοις υπαρχει«, πρῶτοι γίνονται. καὶ αὐτός γε ὁ ὡς ἀστραπὴ »ἐκ τοῦ οὐρανοῦ« πεσὼν πρῶτος ἦν, ἡνίκα περιεπάτει »ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ« ἄμωμος, ἕως εὑρέθη ἀνομία ἐν αὐτῷ καὶ γέγονεν ἔσχατος εἰς ᾅδου καταβάς, ὡς τοὺς ἰδόνοτας αὐτὸν θαυμάζειν ἐπ’ αὐτῷ, καὶ λέγειν· »καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου«. οὕτω δέ καὶ ἔσχατος ἦν πᾶς καὶ ἀνόητος καὶ ἀπειθής, δουλεύων »ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ« διάγων, στυγητὸς καὶ μισῶν, ἀλλὰ γέγονε πρῶτος, »ὅτε ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ« »διὰ λουτροῦ παλιγγενεσίας κοὶ ἀνακαινώσεως πνεύματος ἁγίου«, κοὶ ἐδέξατο τὸν εἰπόντα· »ὁ δεχόμενος ἐμὲ δέχεται τὸν ἀποστείλαντά με«.

Ἀλλὰ κατὰ μὲν ταῦτα πρώτους ἀποδεδώκαμεν τοὺς σωθησομένους, ἐσχάτους δέ τοὺς μὴ ἀξίους τῆς τοιαύτης τῶν σωθησομένων τάξεως ἀλλὰ κολάσεως καὶ τοῦ ἐγκαταλειφθῆναι, ἤτοι ἕως »τὸ πλήρωμα τῶν Μνῶν εἰσέλθῃ« ἢ ἕως ἐκπληρώσωσι τὰ περὶ τῶν ἰδίων ἁμαρτημάτων. ἡ μέντοι ἐπιφερομένη τῷ πολλοὶ δέ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι παραβολὴ σῴζεσθαι μέν ἐπαγγέλλεται καὶ τοὺς <ἐσχάτους> τῆς παραβολῆς, μέν ἐργασαμένους, ἐσχάτους δὲ λαμβάνοντας τὸν μισθὸν κοὶ διὰ τοῦτο πρώτους ὄντας καὶ εἰς ἐσχάτους λελογισμένους. διαφέρειν δὲ αὐτῶν λέγει τοὺς ἐσχάτους μέν ἐπὶ τὰ ἔργα κεκλημένους, ἀπολάβόντας δὲ τὸν μισθὸν οὐ μόνον πρώτους ἀλλὰ καὶ ἴσον τοῖς γογγύσασι κατὰ τοῦ οἰκοδεσπότου καί εἰρηκόσιν· οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους αὐτοὺς ἐποίησας ἡμῖν τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα« καὶ πρῶτοί γε οἱ ἔσχατοι κληθέντες ἐπὶ τὸ ἔργον λέγονται παρὰ

τὸ πρώτους αὐτοὺς εἰληφέναι τὸν μισθόν. θεῷ δὲ εὐξάμενοι καὶ ἀπικαλεσάμενοι »τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ <Χριστοῦ> « ἐκθώμεθα τὴν παραβολὴν καὶ ἴδωμεν, τίνα ἡμῖν ἐξετάσαι καὶ εἰπεῖν εἰς αὐτὴν ἢ καὶ ὑπαγορεῦσαι δοθήσεται· ἔχει δέ οὕτω. Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα μισθώσασθαι ἐργάτας καὶ τὰ ἐξῆς ἕως τοῦ πολλοὶ γάρ εἰσι κλητοὶ ὀλίγοι δὲ ἐκλεκτοί. (20, 1—16)

Δύναται μέν οὖν ἡ πᾶσα παραβολὴ διὰ τοῦτο παρειλῆφθαι, εἰς τὸ μαθεῖν ἡμᾶς πῶς οἱ ἔσχατοι ἐλθόντες εἰς τὸ ἔργον ὡσεὶ πρῶτοι κληθέντες θέντες τὸν μισθὸν ἔλαβον πρῶτοι, καὶ τίνα τρόπον οἱ πρῶτοι κληθέντες ἐν ἐσχάτῃ χώρᾳ παρὰ τῷ οἰκοδεσπότῃ ἐτάχθησαν, διὸ καὶ τελευταῖοι τὸν μισθὸν ἀπειλήφασι. χρὴ δὲ εἰδέναι ὅτι, ὡς Ἰησοῦ παραβολὴ »ἐν ᾧ οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεώς εἰσιν ἀπόκρυφοι«) ἐξεταζομένη, τοσαῦτα δόγματα τῆς ἐν μυστηρίῳ ἀποκεκρυμμένης σοφίας εὑρεθήσεται τοῖς τὰ τοιαῦτα εὑρίσκειν δυναμένοις αἰνισσομένη, ὥστε εὐλόγως ἂν ἐπὶ ταύτῃ μάλιστα εἰπεῖν τῇ παραβολῇ τὸν σωτῆρα τὸ »ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ᾽ ἀρχῆς« κοὶ »ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς«. ἀναγκαῖον γὰρ ἰδεῖν τὸν μέλλοντα νοῆσαι τὴν παραβολὴν τὴν ἐν οὐτῇ δηλουμένην ἡμέραν καὶ τὰς ἐν αὐτῇ ὥρας, καὶ ὅτι οὐ κατὰ ἀποκλήρωσιν ὁ οἰκοδεσπότης πέντε τάγμασιν ἐργατῶν παραδίδωσι τὰ ἔργα τοῦ ἀμπελῶνος, ἐξετάσει δέ ὁ δυνάμενος τὴν αἰτίαν τοῦ πρω ἳ μισθώσασθαί τινας ἀργάτας εἰς τὸν αμπελῶνα, καὶ μετὰ τοῦτο οὐ περὶ δευτέραν μέν περὶ τρίτην δέ ὥραν ἄλλους, καὶ ἐξῆς ταύτῃ οὐ περὶ τετάρτην ἢ πέμπτην ἀλλὰ περὶ ἕκτην, εἶτα μετὰ τοῦτο □οὐ περὶ ἑβδόμην ἢ ὀγδόην, ἀλλὰ περὶ ἐννάτην, την, εἶτα ἐπὶ τέλει οὐ περὶ δεκάτην, ἀλλὰ> περὶ τὴν ἐνδεκάτην. ὀφείλει γάρ τις λόγος εἶναι ἄξιος Ἰησοῦ <τοῦ> τὸν μετὰ τὸν ἐωθινὸν καιρὸν τρία ἴσα διαστήματα τρίτης καὶ ἕκτης καὶ ἐννάτης ὥρας, καὶ μετ᾽ αὐτὸν ἔλαττον διάστημα τῶν περὶ τὴν ἐνδεκάτην ἑστώτων, ὁπόσον ἦν διάστημα ἀπὸ τοῦ ἅμα πρω ἳ ἐπὶ τὴν τρίτην. οὐ παρέργως δὲ προσεκτέον καὶ τῷ συμπεφωνηκέναι μέν τὸν οἰκοδεσπότην τοῖς ἅμα τῇ ἕῳ παραληφθεῖσι τὸ ἀνὰ δηνάριον, οὓς ἀπέστειλεν εἰς τὸν ἀμπελῶνα αὐτοῦ, τοῖς δὲ περὶ τὴν τρίτην κληθεῖσιν οὐ τεταγμένως τὸν μισθὸν ὠνομακέναι, ἀλλὰ τό ὃ ἂν ᾖ δίκαιον δώσω ὑμῖν. προσεκτέον δὲ ὅτι ὡσαύτως ἐποίησε τοῖς περὶ τὴν ἕκτην καὶ ἐννάτην ὥραν κληθεῖσι, κοὶ ὅτι τοῖς περὶ τὴν ἐνδεκάτην εἶπεν ἀπολογησαμένοις περὶ τῆς δι᾽ ὅλης ἡμέρας ἀργίας τὸ ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, ἀλλὰ καὶ <ὅτι> ὡς τοῦ ἀμπελῶνος γενόμενος καὶ εὑρὼν ἐκεῖ τοὺς ἐργάτας; τοὺς μὲν πρώτους ἀποστέλλει εἰς τὸν ἀμπελῶνα, τοῖς δέ δευτέροις φησίν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, ὁμοίως δὲ τὴν αὐτὴν λέξιν καὶ τοῖς <περὶ> ἐνδεκάτην κεκλημένοις· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα. ὁ δὲ δυνάμενος κατανοησάτω τίς ἡ ἀγορά, ἐν ᾗ ἑστῶτας τοὺς ἀργοὺς εὗρε τοὺς δευτέρους ἐξελθὼν ὁ οἰκοδεσπότης. οὕτω δέ καὶ ἐξετασθήτω τίνες οἱ εὑρεθέντες ἑστῶτες περὶ τὴν ἐν - δεκάτην, οἷς λέγει ὁ οἰκοδεσπότης τὸ τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; ἐπιστησάτω <δέ> τις καὶ τῇ ἀπολογίᾳ τῶν ὅλην τὴν ἡμέραν ἑστώτων ἀργῶν καὶ τὸν πόνον τοῦ ἑστηκέναι τῶν τὸ ἀργοὶ ἑστηκέναι> δι᾽

ὅλης ἡμέρας μετὰ παρρησίας εἰπόντων ὅτι πρόθυμοι μέν ἦσαν τοῦ ἐργάσασθαι, οὐδεὶς δὲ αὐτοὺς ἐμισθώσατο, ὡς πολλῶν ὄντων τῶν μισθωσαμένων μέν ἂν οὐ μισθωσαμένων δέ.

Μὴ παρέργως δὲ ἐπιστησάτω τις καὶ τῷ ὀνίας <γενομένης> λέγειν τὸν τοῦ ἀμπελῶνος κυριον τῳ επιτροπῳ αυτου· κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος τὸν μισθόν, ἀθξάμενος μενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. τί δέ κεκίνηκε τὸν κύριον τοῦ ἀμπελῶνος, ὥστε κελεῦσαι τῷ ἐπιτρόπῳ καλέσαι τοὺς ἐργάτας καὶ ἀποδοῦναι τὸν μισθὸν ἀρξάμενον ἀπὸ τῶν ἐσχάτων, καὶ οὕτως ἀναβαβίνειν ἕως τῶν πρώτων, ἵνα πρῶτοι μὲν ἀπολάβωσιν οἱ τὴν ἐνδεκάτην, δεύτεροι δέ οἱ τὴν ἐννάτην καὶ τρίτοι οἱ τὴν ἕκτην καὶ μετὰ τούτους <τέταρτοι> οἱ τὴν τρίτην, καὶ τελευταῖοι οἱ πρωΐ; τοῦτο γὰρ σαφῶς δηλοῦται ἀπὸ τοῦ ἀπόδος τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. τίς δὲ παρὰ τὸν κύριον τοῦ ἀμπλῶνος ὁ τοῦ κυρίου ἐπίτροπος, διδοὺς τὸν μισθὸν κατὰ τὸ τοῦ κυρίου πρόσταγμα; ἀλλὰ καὶ εἴπερ οἱ ἐν τῇ ἐννάτῃ κληθέντες ὥρᾳ οὐκ ἐβάστασαν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα, δηλονότι οὐκ οὗτοι ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου λέγοντες ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. ἀλλ᾽ οὐδὲ οἱ τῇ ἕκτῃ κληθέντες τὸ βάρος ἐβάστασαν τῆς ἡμέρας, ἀλλ᾽ εἰ ἄρα τοῦ ἡμίσους τῆς ἡμέρας. καὶ οἱ τῇ τρίτῃ δὲ κληθέντες οὐ τῆς ὅλης ἐβάστασαν ἡμέρας τὸ βάρος, ἀλλ᾽ (εἰ δεῖ ἀκριβῶς ἰνομάσαι) τοῦ ἡμίσους καὶ τοῦ τετάρτου τῆς ἡμέρας. μόνοι δὲ οἱ ἀπὸ τῆς ἕω μεμισθωμένοι τὸ βάρος ἐβάστασαν τῆς ἡμέρας καὶ τὸν καύσωνα ὅλον μὲν [οἱ ἀπὸ τῆς ἕω μεμισθωμένοι], οἱ δὲ λοιποὶ παρὰ τοὺς τελευταίους ἀνάλογον τῷ καιρῷ ᾧ ἐν τῷ ἀμπελῶνι πεποιήκασιν <ἐβάστασαν>

Ἐπεὶ δὲ διάφοροί εἰσι παραβολαὶ ὀνομάζουσαι ἀμπελῶνα, ζητηθείη ἂν πότερον κατὰ διαφόρων πραγμάτων καθ᾽ ἕκαστον ὁ ἀμπελῶν παραλαμβάνεται ἢ κατὰ τοῦ αὐτοῦ Πράγματος. ἐγὼ νομί(ω δεῖν ἐξετάσαι <καὶ> διὰ τί οὐ πρὸς πάντας τοὺς ἐλθόντος πρώτους καὶ νομίζοντας ὅτι πλέον λήψονται καὶ γογγ;σαντας κατὰ τοῦ οἰκοδεσπότου ἀπεκρίνατο ὁ οἰκοδεσπότης, ἀλλ᾽ ἑνὶ μόνῳ εἶπεν αὐτῶν τὸ ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοί; καί· θέλω τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. ὅτι μέν οὖν ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἐπιδέχεταί ἡ ἐκκειμένη παραβολὴ ἃ ζητήσαι τις ἂν εἰς αὐτήν, διαβεβαιωσαίμην ἄν· ὅτι δὲ οὐκ ἔστιν κατ᾽ ἀξίαν εἰπεῖν εἰς τὴν παραβολὴν ἄλλον ἢ τὸν φήσαντα ἂν μετὰ τοῦ ἀληθεύειν τὸ ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν«, καὶ τοῦτο θαρρῶν ἀποφανοῦμαι. »τίς« οὖν ἄρα »ἔγων« τὸν ἐν τῇ παραβολῇ ταύτῃ »νοῦν Χριστοῦ« ἢ ὁ ἐμπαρασχὼν ἑαυτὸν τῷ παρακλήτῳ, περὶ οὗ φησιν ὁ σωτὴρ ὅτι »ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ὅσα εἶπον ὑμῖν«; μὴ διδάσκοντος γὰρ τοῦ παρακλήτου πάντα ἃ εἶπεν ὁ Ἰησοῦς κοὶ ταύτην τὴν παραβολήν, οὐκ ἂν λέγοιτό τι ἄξιον Ἰησοῦ εἰς αὐτήν. καὶ εἰ τοιαῦτά γε ἐζήτουν κατὰ τὴν Ἰησοῦ φωνὴν ἀπὸ τοῦ παρακλήτου πάντες οἱ τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἀναγινώσκοντες, οὐκ ἂν προσέσχον τινέ·ς ὡς παρακλήτῳ »πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει φευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν«,

ὥστε τὰ τῆς πλάνης πνεύματα καὶ τὰ δαιμόνια ἀναγορεῦσαι τῷ μεγάλῳ τοῦ παρακλήτου ὀνόματι, ὅπερ ὁ σωτὴρ τοῖς ἀποστόλοις κοὶ εἴ τις τοῖς ἀποστόλοις παραπλήσιός ἐστιν ἐπηγγείλατο. καὶ πείθομαί γε ὅτι ὁ Ματθαῖος ᾔδει μέν τὰ κατὰ τὴν παραβολὴν ταύτην μυστήρια, ὡς καὶ τὰ κατὰ τὴν τοῦ σπόρου καὶ τῶν ἐπεσπαρμένων τῷ σίτῳ ζιζανίων, οὐκ ἔκρινε δὲ εὔλογον εἶναι ὁμοίως ταῖς περὶ ἐκείνων διηγήσεσι καὶ τὴν περὶ ταύτης ἀναγράψαι, μὴ πιστεύσας γράμμασι κἂν τὴν ἐπὶ ποσὸν τῆς παραβολῆς ταύτης σαφήνειαν, ὥσπερ ἐκείνων ἐξ ὅλων τὴν διήγησιν ἀνέγραψεν. εἰ δὲ εὐλόγως ὁ ματθαῖος τὴν περὶ τῆς

παραβολῆς διήγησιν ἀπεσιώπησε, δηλονότι κἂν ἐκ μέρους τις αὐτὴν νοῆσαι δυνηθῇ, τάχα μὲν εὐλόγως ἂν αἰνίξαιτό <τι> τῆς φαινομένης διηγήσεως, οὐ μὴν πάντα τὰ ἀποκαλυπτόμενα αὐτῷ σαφηνίζων καὶ γραφῇ πιστεύων ἔξω κινδύνου τοῦ περὶ τῆς ἐκθέσεως τῶν μυστηριων εσται.

Φέρε οὖν ἡμεῖς, οἱ σφόδρα ἀπολειπόμενοι τοῦ κατὰ τὴν παραβολὴν βάθους τῶν πραγμάτων καὶ σφόδρα ὀλίγα εἰς αὐτὴν φανταζόμενοι, πῇ μέν μετ’ εὐχῆς τινα ἐκ μέρους ἀποδῶμεν, τινὰ δὲ ἐπ’ ὀλίγον καὶ τῶν φαινομένων δείξαντες οὕτω παρέλθωμεν μετὰ τὸ εἰπεῖν καθηκόντως εἰς τὴν παραβολὴν καὶ ἐπὶ τὰ ἑξῆς αὐτῆς. <καὶ> πρῶτον τοίνυν ἴδωμεν περὶ τῆς ἐν τῇ ζητουμένῃ παραβολῇ ἡμέρας. καὶ ὅρα εἰ δυνάμεθα τὸν ὅλον ἐνεστῶτα αἰῶνα ἡμέραν τινὰ εἰΠεῖν, μεγάλην μὲν ὡς Πρὸς ἡμᾶς, μικρὰν δέ τινα καὶ ἀλιγοχρόνιον ὡς πρὸς τὴν τοῦ θεοῦ καὶ τοῦ Χριστοῦ καὶ τοῦ ἁγίου πνεύματος ζωήν. ταχα γαρ και τινων τῶν μακαρίων δυνάμεων καὶ ἐπαναβεβηκυιῶν, συγκρίσει τῶν πολλῶν γένους τῶν ὑποκάτω τῆς ἀρχικῆς τριάδος. <τοῦτον γὰρ τὸν> ἔχει ὅλος ὁ ἐνεστὼς αἰὼν ὡς πρὸς τὴν ζωὴν αὐτῶν, ὅν λόγον ἔχει ἡ παρ’ ἀνθρώποις ἡμέρα πρὸς ὅλον τὸν δυνατὸν ἀνθρώπῳ ζῆν χρόνον. εἰ δὲ τοιοῦτόν τι μυστήριον ἐν Δευτερονομίῳ δηλοῦται κατὰ τὴν ᾠδὴν ἐν ᾗ γέγραπται · »μνήσθητε ἡμέρας αἰῶνος« ἢ μή ζητήσει ὁ δυνάμενος. εἶτα εἰ τοιαῦται αἱ ἡμέραι αἰῶνός εἰσιν, ἀκόλουθον ἂν εἴη τὴν παραπλήσιον ἐκδοχὴν ἐννοεῖν εἰς τὸ »ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα · νυκτὸς μετὰ τῆς καρδίας μου ἠδοδέσχουν, καὶ ἔσκαλλεν τὸ πνεῦμά μου. κοὶ εἶπα· μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος;« καὶ τάχα ἵνα τολμηρότερον εἴπω) εἰς μὲν »τοὺς αἰῶνας« οὐκ »ἀπώσεται κύριος« πολὺ γὰρ καὶ εἰς ἕνα αἰῶνα ἀπώσασθαι κύριον), ἀπώσεται δὲ τάχα καὶ εἰς δεύτερον αἰῶνα, ὅτε οὐκ ἀφίεται ἡ τοιάδε ἁμαρτία »οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι«.

Τίς οὖν ἄρα ἱκανὸς τὰς ἓξ ἡμέρας καὶ τὴν τῆς ἀναπαύσεως ἑβδόμην ἐπὶ τοιαύτας ἀναγαγεῖν ἡμέρας καὶ μετὰ τὰ σάββατα τὰς νουμηνίας καὶ τὰς ἐν τῷ πρώτῳ μηνὶ ἑορτὰς καὶ <τὸν ἐν> τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς ἡμέρᾳ πάσχα καὶ ταῖς ἑξῆς τῶν ἀξύμων; οὕτω δέ ἀνάλογον εἰς ἔβυσσόν τις ἐμπεσεῖται νοημάτων καὶ τὰς λοιπὰς ἑορτὰς ἐν τοιαύταις φανταζόμενος ἡμέροις καὶ ὅλον τὸν ἑβδομαδικὸν ἐνιαυτόν, ἐν ἐν ᾧ πτωχοῖς καὶ προσηλύτοις καὶ τοῖς θηρίοις τῆς γῆς χαρίζεται ὁ θεὸς τοὺς ἐκ προτέρας γεωργίας ἀνατέλλοντας καρποὺς ἐν καιρῷ μὴ γεωργουμένης τῆς <τῆς γῆς>. τις δὲ δύναται ἀναβῆναι ἐπὶ τὸν ἀριθμὸν

τῶν τῆς ἀβύσσου ἐν τῇ πεντηκονταετηρίδι ἡμερῶν ἀβύσσου δέ λέγω διὰ τὸ βάθος τῶν δογμάτων), ἕνα τις ἀναβῇ καὶ ἴδῃ τὸν πεντηκοστὸν ἐνιαυτὸν καὶ τὰ ἐν αὐτῷ νενομοθετημένα πληρούμενα ; ἀλλὰ γὰρ ζητοῦντες τὴν μίαν τῆς ἐκκειμένης παραβολῆς ἡμέραν καὶ νομίσαντες αὐτὴν ὅλον τὸν ἐνεστῶτα αἰῶνα, ἐλάθομεν ἐμβάντες εἰς βάθη θεοῦ, δεόμενοι πνεύματος τοῦ »πάντα« ἐρευνῶντος, »καὶ τὰ βάθη τοῦ θεοῦ«. ἐγὼ δ’ οἶμαι ὅτι, ὥσπερ ἐπ ἐξόδῳ συντελείας τοῦ ἐνιαυτοῦ εἴρηταί τινα δεῖν γίνεσθαι, οὕτως οἱονεὶ) <καὶ> »ἐπὶ« πλειόνων »αἰώνων εἴτε ἐνιαυτόν τινα συμπληρούντων εἴτε ὅ τι δήποτε, »εἰς ἀθέτησιν ἁμαρτίας ἐφανερώθη« ὁ Ἰησοῦς ἡμῶν, ἵνα μετὰ τὴν ὡς <ἑνὸς> ἐνιαυτοῦ ἡμερῶν συντέλειαν τῶν αἰώνων πόλιν ἄλλη ἀρχὴ διαδέξηται, καὶ »ἀνδείξηται ὁ θεὸς ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ« εἰς οὓς αὐτὸς οἶδε δεῖν ἐνδείξασθαι. κοὶ ταῦτα μέν διὰ τὴν ἐν τῇ <ἐκκειμένῃ> παραβολῇ λελέχθω ἡμέραν, ἅτινα δύνασαι κατασκευάσαι καὶ ἐκ τῆς Ἰωάννου ἐπιστολῆς φάσκοντος· παιδία, ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς ἠκούσατε ὅτι ἀντέχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν«. ἐσχάτη γὰρ ὥρα μετὰ τὴν ἑν - δεκάτην τῆς προκειμένης παραβολῆς, ἐπεὶ περὶ τὴν ἑνδεκάτην ὁ κατὰ τὴν παραβολὴν οἰκοδεσπότης ἄνθρωπος ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας, κοὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί;

Μετὰ δὲ τοῦτο ζητοῦμεν, πῶς οὐ κατὰ ἀποκλήρωσιν ὁ οἰκοδεσπότης πέντε τάγμασιν ἐργατῶν παραδίδωσι τὰ ἔργa τοῦ ἀμπελῶνος· πρώτῳ μέν ὅτε ἐξῆλθεν ἅμα ποωῖ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα, δευτέρῳ δέ ὅτε ἐξελθῶν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, τρίτῳ δέ καὶ τετάρτῳ ὅτε Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐν - νάτην ὥραν ἐποίησεν ὡσαύτως, πέμπτῳ δὲ τῷ περὶ τὴν ἑνδε- κάτην, ἡνίκα ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας, καὶ λέγει αὐτοῖς· τί ὧδε εστηκατε ολην την ημεραν ἀργοί; καὶ ὅρα εἰ δύνασαι πρῶτον μέν τάγμα εἰπεῖν τὸ κατὰ τὸν Ἀδὰμ ἅμα τῇ κασμοποιίᾳ· ἐξῆλθε γὰρ ἅμα πρωῖ ὁ οἰκοδεσπότης καὶ ἵν’ οὕτως ὀνομάσω) τὸν Ἀδὰμ καὶ τὴν Εὔαν ἐμισθώσατο, ἵν’ ἐργάσωνται τὸν ἀμπελῶνα τῆς θεοσεβείας βείας · δεύτερον δὲ τάγμα τὸ κατὰ τὸν Νῶε καὶ τὴν πρὸς αὐτὸν διαθήκην, κοὶ τρίτον τὸ κατὰ τὸν Ἀβραὰμ ᾧ συνεξακούεται τὰ κατὰ τοὺς πατέρας μέχρι Μωσέως συμπαρειλῆφθαι, τέταρτον δέ τὸ κατὰ τὸν Μωσέα κοὶ πᾶσαν τὴν Αἰγύπτου οἰκονομίαν κοὶ τὴν ἐν τῇ ἐρήμῳ νομοθεσίαν, τελευταῖον δέ τάγμα τὸ κατὰ τὴν παρουσίαν ἐστὶ Χριστοῦ Ἰησοῦ τὸ περὶ τὴν ἑνδεκάτην. πλὴν εἷς ἄνθρωπος οἰκοδεσπότης (ὅσον ἐπὶ τῇ προκειμένῃ πεντάκις ἐξελήλυθε καὶ ἐπὶ τὰ τῇδε ἐλήλυθε πράγματα, ἵν ἐργάτας ἀνεπαισχύντους, ὀρθοτομοῦντας »τὸν λόγον τῆς ἀληθείας« ἐξαποστείλῃ ἐπὶ τὸν ἀμπελῶνα, τους εργασομενους αυτου τα εργα. εἷς γὰρ Κριστὸς ὁ ἀνθρώποις συγκαταβὰς πλεονάκις) τὰ τῆς κλήσεως τῶν ἐργατῶν ἀεὶ ᾠκονό- μησεν.

Εἰ δέ καὶ ἀπὸ τοῦ αἰσθητοῦ κόσμου καὶ ἀπὸ τῶν ἀπὸ αἰσθήσεως ἀρξαμένων τὰ ἔργα ποιεῖν σύμβολόν τι ἔχουσιν αἱ πέντε τῶν ἐρυ<ατ> ῶν παραλήψεις, ὁ δυνάμενος ἐπιστησάτω. γεγυμνάσθω δὲ κἂν μὴ βούληταί τις εἰς δόγματα παραδέξασθαι καὶ τὰ λεχθησόμενα. ἐρεῖ γάρ τις ὅτι ἀφὴ μέν ἐστι κατὰ τὴν

πρώτην κλῆσιν—διὸ »εἶπεν ἡ γυνὴ τῷ ὄφει« <τι> »εἶπεν ὁ θεός οὐ φάγητε ἀπ’ αὐτοῦ οὐδ’ οὐ μὴ ἅψησθε αὐτοῦ«, ὄσφρησις δέ κατὰ τὴν δευτέραν — ὅθεν ἐπὶ τοῦ Νῶε »καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας«, γεῦσις δέ κατὰ τὸν Ἀβραάμ —διὸ καὶ ἑστιῶν τοὺς ἀγγέλους παρατίθησιν αὐτοῖς ἐγκρυφίας ἀπὸ σεμιδάλεως καὶ τὸν ἁπαλὸν μόσχον, ἀκοὴ δέ ἐπὶ Μωσέως —ὅτε ἐκ τοῦ οὐρανοῦ ἀκουστὴ γέγονεν ἡ φωνὴ τοῦ θεοῦ, ὅρασις δέ ἡ πασῶν τῶν αἰσθήσεων τιμιωτέρα κατὰ τὴν Χριστοῦ ἐπιδημίαν — ὅτε ἑωράκασι τὸν Χριστὸν τοῖς μακαρίοις ἀφθαλμοῖς. λελέχθω δέ καὶ ταῦτα, εἴτε γυμνασίας χάριν λογικῆς εἴτε βού- λεταί τις καὶ δογματικῆς, διὰ τὰς πέντε κλήσεις.

Οἶμαι δ’ ὅτι καὶ ἔργα τοῦ ἀμπελῶνος ἦν δεόμενα καθ’ ὥραν ἐργατῶν. ἔδει γὰρ ἅμα τῇ ἕῳ ἔργα γίνεσθαι ἐν τῷ ἀμπελῶνι, καὶ εἶδεν ὁ καλῶν οἰκοδεσπότης τοὺς ἐργάτας, γάτας, τίνες ἦσαν ἐπιτήδειοι πρὸς τὰ ἀπὸ τῆς ἕω ἔργα. ἄλλο δὲ ἔργον περὶ τὴν τρίτην ὥραν ἦν τὸ ἐπὶ τοῦ Νῶε, ὅτε ἔστησεν αὐτῷ ὁ θεὸς διαθήκην. εἶτα οἱ δέκα ἀπὸ τοῦ Νῶε ἐπὶ τὸν Ἀβραὰμ γενεαὶ καταλήγουσαι ἐπὶ τὸν Ἀβραάμ, ἀρχὴν ἄλλης ὑπερβαλλούσης κλήσεως · καὶ ἦν ἐργάτης τοῦ ἀμπελῶνος τότε ἀρξάμενος ὁ Ἀβραάμ. καὶ μετ’ αὐτὸν Μωσῆς μετὰ τῶν σὺν αὐτῷ παρελήφθη εἰς τὸν ἀμπελῶνα. ἔλειπε δέ τι τελευταῖον ἔργον τῷ ἀμπελῶνι, ὅπερ ἔχρῃζε νεαρᾶς κλή- σεως καὶ καινῆς, ἀκμαίως κοὶ ἀθρόως ἐν βραχεῖτὸ λεῖπον ἐν τῷ ἀμπελῶνι ἐργαζομένης· τοῦτο δὲ ἦν τὸ τῆς καινῆς διαθήκης. ἴσα μὲν οὖν διαστήματα τῶν περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην κληθέντων· ἀνάλογον δέ τῷ ἀπὸ τῆς ἀρχῆς ἐπὶ τὴν τρίτην ὥραν τὸ ἀπὸ τῆς ἀννάτης Μωσέως ὥρας ἐπὶ τὴν ἐνδεκάτην τῆς Χριστοῦ Ἰησοῦ ἐν σαρκὶ ἐπιδημίας <διάστημα> . συμπεφώνηκε δὲ ὁ οἰκοδεσπότης τοῖς ἅμα τῇ ἕῳ παραληφθεῖσι — δηνάριον· τοῦτο δ’ οἶμαι) ἐστὶ τὸ τῆς σωτηρίας νόμισμα, οὐ συνεξεταζομένων αὐτῇ τῶν κατὰ τὴν δόξαν. σωτηρίας γὰρ ὄνομα οἶμαι) τὸ δηνάριον, δόξης δέ τὸ ὑπὲρ τὸ δηνάριον, εἴ που ὠνομάσθη νομίσματα τοῦ πενταπλασιάσαντος τὴν δεδομένην μνᾶν ἢ δεκαπλασιάσαντος. ὁ δὲ λέγων τοῖς περὶ τὴν τρίτην παραληφθεῖσιν· ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν, προετρέψατο μέν τοὺς τῆς τρίτης ὥρας ἐργάτας ἐπὶ τὸ πᾶν ὅ τί ποτε δύνανται ἐργάσασθαι· ἑαυτῷ δὲ τετήρηκε τὸ κρίναι τὸν δίκαιον Πρὸς τὸ γενόμενον ἔργον μισθόν. ἐπεὶ δὲ ὡσαύτως ἐποίησε τοῖς περὶ τὴν ἕκτην καὶ ἐννάτην ὥραν, δηλονότι καὶ αὐτοῖς εἶπεν· ὁ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. καὶ δύνανταί γε <ἴσον> ἔργον τῷ ἀμπελῶνι πεποιηκέναι τοῖς ἅμα τῇ ἕῳ ἐργασαμένοις οἱ ἐν ὀλιγωτέρῳ χρόνῳ ἐπιτείνειν βουλόμενοι τὴν εἰς τὸ ἔργον δύναμιν κοὶ ἐνέργειαν οὐ προκαμόντες, ὅπερ συμβέβηκε τοῖς ἅμα τῇ ἕῳ κεκλημένοις. ἀλλὰ ζητήσει τις, πῶς οὐ μόνον ἀργοῖς ὑπάρχουσιν ἀλλὰ καὶ ἑστηκόσιν ὅλην τὴν ἡμέραν, τουτέστι παρὰ πάντα τὸν πρὸ τῆς ἐνδεκάτης ὥρας καιρόν, φησὶν ὁ οἰκοδεσπότης ἐξελθὼν περὶ τὴν ἐνδεκάτην ὥραν· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; ἐγὼ δέ ὑπονοῶ τὸν περὶ ψυχῆς ἀπόρρητον κοὶ ἐν τούτοις κεκρύφθαι λόγον, ὅτε ἤργουν ὅλην τὴν ἡμέραν μέχρι τῆς ἐνδεκάτης ὥρας, θέλοντες μέν ἐργάσασθαι, οὐ παραλαμβανόμενοι δέ εἰς τὸν ἀμπελῶνα οἱ τεθαρρηκότως ἀπολογούμενοι καὶ λέγοντες· οὐδεὶς ἡμᾶς ἐμισθώσατο. ἡμεῖς μέν οὖν ἐπολμήσαμεν τοιαῦτά τινα, καὶ ἐκ πολλῶν μὲν φαντασθέντες γραφῶν καὶ ἐκ

τῆς προκειμένης δέ παραβολῆς, εἰπεῖν εἰς τὸ καταστῆσαι πῶς ὅλην τὴν ἡμέραν ἑστήκασιν ἀργοὶ παρὰ τὸ μηδένα αὐτοὺς μεμισθῶσθαι οἱ περὶ τὴν ἑνδεκάτην ὥραν κεκλη- μένοι.

Οἱ δέ μὴ ἀρεσκόμενοι τοῖς τοιούτοις δόγμασι λεγέτωσαν ἡμῖν τὴν ὅλην ἡμέραν καὶ τοὺς ἑστῶτας ὅλην τὴν ἡμέραν ἀργοὺς θέλοντας <μὲν> ἐργάσασθαι, μὴ <δὲ> εἰς τὸν ἀμπελῶνα παρρησιαζομένους ἐν τῷ οὐδεὶς ἡμᾶς ἐμισθώσατο. εἰ γὰρ συνεσπάρη ἡ ψυχὴ τῷ σώματι, πῶς ὅλην τὴν ἡμέραν εἱστήκεισαν ἀργοί; ἢ λεγέτωσαν ἡμῖν, τίς ἡ ὅλη ἡμέρα καὶ αἱ ἐν αὐτῇ διάφοροι κατὰ τὰς διαφόρους ὥρας κλήσεις τῶν ἐργατῶν. πότερον δέ μακάριοι μὲν οἱ ὑπὸ τοῦ κατὰ τὴν παραβολὴν οἰκοδεσπότυ μεμισθωμένοι ἦσαν δὲ καὶ ἄλλοι μεμισθωμένοι ἐργάται ἤτοι ὑπὸ ἑτέρων οἰκοδεσποτῶν ἢ τοῦ αὐτοῦ) καὶ ἤτοι οὐ μακάριοι ἢ οὐχ οὕτως μακάριοι, ὑπέρ ἡμᾶς ἐστι κατ ἀξίαν τὸ τοιοῦτον νοῆσαι ἢ καὶ ὡς νοοῦμεν γραφῇ τὰ νοούμενα παστεῦσαι. ἐγὼ ζητῶ καὶ τὰ ἔξω τοῦ ἀμπελῶνος, ὅπου <καὶ> οἱ ἐργάται ὑπὸ τοῦ ἐξελθόντος αὐτοὺς μισθώσασθαι, καὶ ἐπισκοπῶ μήποτε ἡ χώρα τῶν πρὸ τοῦ σώματος φυχῶν ἐστιν ὁ ἔξω τοῦ ἀμπελῶνος τόπος, ἀμπελὼν δέ οὐ μόνον τὰ τῇδε, ἀλλὰ καὶ τὰ ἔξω τοῦ σώματος, ἔνθα οἶμαι) ἐργάζονται οἱ ἐργάται· οὐ γὰρ ἐν ἀργίᾳ εἰσὶν αἱ ἀπαλλαγεῖσαι τοῦ σώματος ἐργατῶν παραληφθέντων εἰς τὸ χωρίον τοῦ οἰκοδεσπότου ψυχαί. καὶ Σαμουὴλ γοῦν ἔξω σώματος εἰργάσατο προφητεύων καὶ Ἰερεμίας εὐχόμενος »ὑπὲρ τοῦ λαοῦ«. φιλοτιμώμεθα οὖν καὶ ἐργαζώμεθα τὸν ἀμπελῶνα »εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες« ληψόμενοι ὁ ἐὰν ᾖ δίκαιον. καὶ οὐδείς γε ὅσον ἐπὶ τῇ παραβολῇ) μὴ ἐργασόμενος τὰ τοῦ ἀμπελῶνος ἔργα ἐξαποστέλλεται εἰς αὐτόν· οὐδένα γὰρ ὡς ἐλλιπέστερον τὸ ἔργον πεποιηκότα ὁ οἰκοδεσπότης ἐμέμψατο, εἰ καὶ ἐπὶ τῷ πλείονα καὶ μείζονα ἐλπίσαι μισθὸν ἐμέμψατο. καὶ τάχα ὁ ἔξω τοῦ ἀμπελῶνος τόπος ἐστὶν ἡ ἀγορά, ἔνθα ἦσαν οἱ ἑστῶτες ἀργοί. μεγάλη δὴ ἀπολογία πρὸς τὸ ἀξίους αὐτοὺς γενέσθαι τοῦ τῆς ὅλης ἡμέρας μισθοῦ τοῖς εἰποῦσι λέλεκται ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο· διόπερ αὐτοῦς ἐμισθώσατο καὶ (ἵν᾽ οὕτως εἴπω) ἀποδέδωκεν αὐτοῖς μισθὸν τοῦ μακροθύμως ἑστηκέναι ὅλην τὴν ἡμέραν καὶ περιμένειν μέχρι ἑσπέρας τὸν μισθωσόμενον. Μετὰ ταῦτα ὀψίας γενομένης, τουτέστι τῆς συντελείας τῆς τοῦ αἰπωνος καὶ τῆς κατὰ τὴν παραβολὴν ἡμέρας, λέγει τῷ ἐπιτρόπῳ ἑαυτοῦ ὁ κύριος, εἴτε τινὶ ἀγγέλῳ τῷ ἐπὶ τῶν μισθῶν εἴτε καὶ ἑνὶ ἐκ πολλῶν ἐπιτροπευσάντων ἐπιτρόπῳ, καθὸ λέλεκται »ὑπὸ ἐπιτρόπους καὶ οἰκονόμους« εἶναι τὸν κληρονόμον παρὰ τὸν χρόνον ὃν »νήπιός ἐστι«. κατὰ τὸ πρόσταγμα τοίνυν τοῦ οἰκοδεσπότου καλοῦνται οἱ ἐργάται ὑπὸ τοῦ ἐπιτρόπου, ἵνα ὁ μισθὸς τοῖς ἐσχότοις πρώτοις δοθῇ· οἱ γὰρ πρότεροι ἐργάται »μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν τοῦ θεοῦ, περὶ ἡμῶν κρεῖττόν τι προβλεψα- μένου« <τοῦ οἰκοδεσπότου> (τῶν ἐν τῇ ἑνδεκάτῃ ὥρᾳ κεκλημένων), »ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι«. καὶ ἐλεήθημέν γε ἐπὶ τῷ ὅλην τὴν ἡμέραν στῆναι καὶ βεβουλῆσθαι ἥκειν ἡμῖν τὸν μισθωσόμενον, ἠργηκέναι δὲ καὶ μετὰ ἀπολογίας ἠξιῶσθαι τοῦ ἔργου, καὶ ἐλεηθέντες πρῶτοι τὸν μισθὸν ἀπολήψεσθαι προσδοκῶμεν οἱ Χριστοῦ γνώριμοι. εἶτ᾽ ἐπαναβαίνων δώσει τὸν μισθὸν τοῖς πρὸ ἡμῶν ἐργασαμένοις,

εἶτα τοῖς πρὸ ἐκείνων καὶ οὕτως μέχρι τῶν πρώτων. ἰδὼν δέ τις τὸν τόπον ἔνθα διέτρβε Σαμουὴλ καὶ ἀκολούθως σκοπήσας περὶ τῶν <πρὸ> τῆς ἐνδεκάτης κληθέντων ἐργατῶν ὄψεται, τίνα τρόπον ἐβάστασαν τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οἱ πρότεροι· οἱ δὲ περὶ τὴν ἐνδεκάτην κληθέντες <ἡμεῖς> ὡς ἐκεῖνοι μὲν οὐκ ἐβαστάσα<με>ν τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα, ἐβαστάσα<με>ν δὲ τὸ βάρος τοῦ ἑστηκέναι ἀργοὶ πρὸ τῆς ἐφ᾽ ἡμᾶς [οὖν] παρουσίας τοῦ <οἰκο<-δεσπότου, ὃς εἶπεν ἡμῖν· »δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμενοι, κάγὼ ἀναπαύσω ὑμᾶς«· φορτίον γὰρ ἦν <αὐτὴ> ἡ ἀργία καὶ τὸ μὴ ἀξίους πω κριθῆναι τῶν ἐν τῷ ἀμπελῶνι ἔργων. καὶ καύσωνά γε ἐβάστασαν οἱ πρὸ τῆς ἐνδεκάτης <κληθέντες> ἕκαστος κατ᾽ ἀναλογίαν τῆς κλήσεως. μὴ εἰδότες <δὲ> τὸ τοῦ οἰκοδεσπότου ἀξίωμα οἱ πρῶτοι καὶ ὅτι οὐ χρὴ γογγύζειν κατὰ τούτου, πλεῖόν τι σωτηρίας ἧς λαμβάνουσιν οἱ τελευταῖοι ᾠήθησαν λήψεσθαι καὶ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότους, φθονοῦντες ἡμῖν τοῖς ἐσχάτοις μίαν ὥραν τὴν μέχρι τῆς συντελείας πεποιηκόσι καὶ ἴσοις γεγονόσι τοῖς ἀρχῆθεν κεκλημένοις ἐπὶ τὸν θεῖον ἀμπελῶνα. ἀλλ᾽ ὁ οἰκοδεσπότης ἑνὶ αὐτῶν εἶπε (τάχα τῷ Ἀδάμ)· ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησά σοι; ἆρον τὸ σὸν καὶ ὕπαγε (σὸν γὰρ ἡ σωτηρία τὸ δηνάριον)· δέλω γὰρ καὶ τούτῳ > ἐρχάτῳ> φησὶ) δοῦναι ὡς σοί. καὶ οὐκ εἶπε· τούτοις <τοῖς ἀλλ᾽ ἔδειξέ τινα κατ᾽ ἐξοχὴν ἕνα· ὃν τολμηρότερον μέν εἰΠεῖν ὅστις ἐστίν, οὐκ ἀπιθάνως δ᾽ ἄν τις στοχάσαιτο Παῦλον μὲν εἶναι τὸν ἀπόστολον μίαν ὥραν ἐργασάμενον <καὶ> τάχα ὑπέρ πάντας τοὺς αὐτοῦ. εἰ δέ δεῖ καὶ περὶ τοῦ ἀμπελῶνός τι εἰπεῖν λαβόντα ἀφορμὴν ἀπ᾽ οὐτοῦ τοῦ ἑρμηνεύσαντος ἐν τοῖς περὶ ἄλλης παραβολῆς τὸν ἀμπελῶνα, φήσομεν ὅτι ἀμπελών ἐστιν ἡ βασιλεία τοῦ θεοῦ. οὕτως γὰρ αὐτὸς εἶπεν ἐν τῷ· »ἀρθήσεται ἀφ᾽ ὑμῶγ ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς«. Πάντες οὖν οἱ τὰ ἔργα τοῦ ἀμπελῶνος ἐργαζόμενοι, τὰ ἔργα τῆς βασιλείας τοῦ θεοῦ ἀξίως σωτηρίας ἐπιτελοῦντες, τὸ δηνάριον λήφονται.

Μετὰ τὸ ὑπαγορεῦσαι ταῦτα εἰς τὴν ἐκκειμένην ⌈ταύτην⌉ παραβολὴν καὶ ταῦτα ὑπέπεσεν ἡμῖν εἰς αὐτήν, χρήσιμα εἶναι δυνάμενα τοῖς προ[σ]κόπτουσι <ν ἐν> τῇ βαθυτέρᾳ καὶ ἀπορρητοτέρᾳ διηγήσει. φήσει γοῦν τις τὸν πάντα τῶν ἀνθρώπων βίον εἶναι τὴν κατὰ τὴν παραβολὴν ἡμέραν. δηλοῦσθαι οὖν τοὺς μὲν ἐκ παίδων καὶ πρώτης ἡλικίας κληθέντας ἐπὶ τὸ ἐργάζεσθαι τὰ τῆς βασιλείας τοῦ θεοῦ ἔργα εἶναι τοὺς ἅμα τῇ ἕῳ μισθωθέντας ὑπὸ τοῦ οἰκοδεσπότου, τοὺς δέ μετὰ τό μειράκιον ἐρχομένους ἐπὶ τὴν θεοσέβειαν τοὺς ἀπὸ τρίτης ὥρας παραγενομένους, τοὺς δέ ἤδη ἄνδρας τοὺς περὶ τὴν ἔγτην ἐξαποστελλομέ- νους ἐπὶ τὸν ἀμπελῶνα· τοὺς δέ πρεσβύτας ἐπὶ τὴν θεοσέβειαν ἀγομένους εἶναι ⌈τοὺς περὶ⌉ τὴν ἐννάτην ὥραν μετὰ τόν ἐν νεότητι καύσωνα καὶ τὸ βάρος τῶν μέχρι τῆς πρεσβυτικῆς ἡλικίας πράξεων παραληφθέντας ἐπὶ τὸν λόγον τοῦ θεοῦ, τοὺς δέ πρὸ(αὐτῇ τῇ ἐξόδῳ γέροντας > δηλοῦσθαι τοὺς <περὶ> ἑ νδεκάτην ὥραν κεκλημένους εἰς τὰ τοῦ ἀμπελῶνος ἔργα. επει τοινυν προαιρεσις και ου χρονος ἐξετάζεται, ὃν ἐν πίστει πεποίηκέ τις, διὰ τοῦτο τοῖς ἐξ οὗ κέκληνται τὰ ἐπιβάλλοντα Πεποιηκόσι πᾶσι δίδοται ὁ ἴσος τῆς σωτηρίας μισθός. ἐφ᾽ ᾧ ἀγαακτοῦσιν οἱ ἐκ παίδων πιστοὶ καὶ καμόντες

κοὶ βιασόμενοι τὴν νεότητα, εἰ μέλλουσιν ἔχειν ἴσην σωτηρίαν τοῖς ἀργοῖς ἀπὸ □νεότητος περὶ□ θεοσεβείας μέχρι γήρως γεγενημένοις καὶ <ἀργοῦσιν ἐν ἀπιστίᾳ κατ᾽> ὀλίγον καιρὸν ἐπὶ τὴν καὶ τὰ ἔργα τῆς πίστεως ἐληλυθόσιν.

Ἀμπελὼν δέ κατὰ ταύτην τὴν διήγησιν εἴη ἂν ἡ ἐκκλησία τοῦ θεοῦ, ἀγορὰ δέ καὶ τὰ ἔξω τοῦ ἀμπελῶνος τὰ ἔξω τῆς ἐκκλησίας, ὅθεν ὁ λόγος παραλαμβάνει τοὺς καλουμένους καὶ πέμπει ἐπὶ τὸν ἀμπελῶνα, τὴν ἐκκλησίαν. οὐκ ἀριθμηθεῖεν δ᾽ <ἄν> κατὰ διήγησιν ταύτην) εἰς τοὺς ἐργάτας τοῦ ἀμπελῶνος, ὅσοι ἀκλήθησαν μὲν εἰς τὴν θεοσέβειαν πρότερον, μὴ τηρήσαντες δέ τὰ τῆς πίστεως νικηθέντες ὑπὸ παθῶν ἐξῆλθον· κἂν γὰρ μετὰ τὸ ἐμφορηθῆναι τῶν ἐν ἁμαρτίαις ἡδονῶν θέλωσιν ὡς μετανοοῦντες □πόλιν ἀπ᾽ > ἐργάσασθαι τὸν ἀμπελῶνα, οὐ δύνανται λέγειν τῷ οἰκοδεσπότῃ· οὐδεὶς ἡμᾶς ἐμισθώσατο· ἐμισθώθησαν γὰρ καθ᾽ ὃν καιρὸν πρότερον ἐπὶ τὸ πιστεύειν ἐκλήθησαν. ἀλλ᾽ οὐδὲ λελέξεται αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; μάλιστα εἰ»ἀρξάμενοι πνεύματι«καὶ ὕστερον »σαρκὶ« ἐπιτελούμενοι πόλιν ἐπανέρχεσθαι βούλοιντο ἐπὶ τὸ ἐξ ὑπαρχῆς πνεύματι θέλειν ζῆν. καὶ οὔ φαμεν ταῦτα ἀποτερπόμενοι ἀνίστασθαι τοὺς πεπτωκότας ἢ <ἐμποδίζοντες> τοὺς πεπλανημένους ἢ παλινδρομεῖν ἐπὶ τὸνπατρῷον οἶκοντοὺς ἀσελγεῖς υἱοὺς τοὺς□ κατασωτευσαμένους τὴν τῆς εὐαγγελικῆς διδασκαλίας οὐσίαν. ἐχέτωσαν μέν γὰρ διὰ τὴν μετάνοιαν καὶ τὸ καταλαμβάνεσθαι ἐν ἐπεστραμμένῳ βίῳ κρείττονα τῶν καταλαμβανομένων ἐν ταῖς ἁμαρτίαις <παραμυθίαν σωτηρίας>. οὐ μὴν χρὴ ὑπολαμβάνειν περὶ αὐτῶν ὅτι ὅμοιοί εἰσι τοῖς παρὰ τοῦτο ἡμαρτηκόσιν ἐν τῇ νεότητι, παρὰ τὸ μηδὲ τὴν ἀρχὴν τὰ τῆς πίστεως μεμαθηκέναι. θέλλει οὖν ὁ οἰκοδεσπότης καὶ τοῖς ἐσχάτοις δοῦναι ὡς καὶ τοῖς πρώτοις τὸ δηνάριον, τὴν σωτηρίαν, ἐπεὶ ἔξεστι<ν αὐτῷ> ποιεῖν ὃ θέλει ἐν τοῖς ἑαυτοῦ, καὶ ἐλέγχει τὸν ἔχοντα πονηρὸν ὀφθαλμὸν ἐπὶ τῷ τὸν οἰκοδεσπότην εἶναι ἀγαθόν. ἔσονται οὖν πολλοὶ τῶν ἐσχάτων πρῶτοι καὶ τινες τῶν πρώτων κληθέντων ἔσχατοι· καὶ γὰρ οἱ κλητοὶ μὲν πολλοί, οἱ δὲ ἐκλεκτοί εἰσιν ὀλίγΟι.

Εἰκὸς μὲν οὖν, τὸν ἡμῶν σοφώτερον καὶ κριθέντα παρὰ θεῷ ἄξιον τρανοτέρου τοῦ ἐν λόγῳ σοφίας διὰ πνεύματος θεοῦ χαρίσματος καὶ πλουσιωτέρου καὶ δωρεᾶς τῆς ἐν λόγφ γνώσεως κατὰ τὸ πνεῦμα, ὑψηλότερα καὶ μείζονα [καὶ] μετὰ πάσης καταλήψεως εὑρήσειν εἰς τὴν παραβολὴν καὶ ἀποδείξεων εὐπορήσειν παραλαμβάνοντα εἰς αὐτὰς ῥητὰ μεγαλοφυέστερα. καὶ ἡμεῖς δέ, ὡς ἐχωρήσαμεν ἐκθέμενοι τὸν νοῦν τῆς παραβολῆς, αἰτοῦμεν ἀπὸ τῶν ἐντυγχανόντων συγγνώμην, εἰ καὶ μὴ κατ᾽ ἀξίαν καθικέσθαι τοῦ βουλήματος τῶν ἐνταῦθα γεγραμμένων δεδυνήμεθα· τάχα γὰρ τῆς προθυμίας καὶ τοῦ μὴ ἀπωκνηκέναι χάριν δόξομεν ἔχειν ἀποδοχῆς τι ἄξιον.

Book 16: <Ὡριγένους> τῶν εἰς τὸ Ματθαῖον εὐαγγέλιον ἐξηγητικῶν τόμος ιζ΄

Μέλλων δὲ ὁ Ἰησοῦς ἀναβαίνειν εἰς Ἱεροσόλυμα παρέλαβε τοὺς δώδεκα κατ ἰδίαν ἐν τῇ ὁδῷ καὶ εἶπεν αὐτοῖς καὶ τὰ ἑξῆς εως του· καὶ τῇ τρίτη ἡμέρᾳ ἀναστήσεται (20, 17 — 19). τὰ δὲ ἰσοδυναμοῦντα τούτοις καὶ παρὰ τῷ Μάρκῳ ἀναγέγραπται τοῦτον τὸν τρόπον· »ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς ‘Ιεροσόλυμα, καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται«. καὶ ὁ Λουκᾶς δὲ δόξει τούτοις συνᾴδειν γράψας· »παραλαβὼν δὲ τοὺς δεκαδύο εἶπε πρὸς αὐτοὺς« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα«.

Ὁ προτρεπόμενος ἡμᾶς Παῦλος μιμεῖσθαι αὐτόν, ὡς καὶ αὐτὸς Χριστὸν ἐμιμήσατο, καὶ εἰπών· »μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ«, ἰδὼν Χριστὸν ὁμόσε τοῖς προφανέσι κινδύνοις χωροῦντα καὶ προθύμως ἀναβαίνοντα εἰς Ἱεροσόλυμα μετὰ τοῦ προεγνωκέναι ὅτι παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ κατακριθήσεται θανάτῳ καὶ τὰ ἑξῆς, τὸ παραπλήσιον πεποίηκεν. ὁ μὲν γὰρ Ἄγαβος λαβὼν αὐτοῦ »τὴν ζώνην«, δήσας ἑαυτὸν χειρῶν καὶ ποδῶν ἔλεγε· »τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· τὸν ἄωδρα οὗ ἐστιν ἡ ζώνη αὕτη οὕτω δήσουσιν« ἀπελθόντα εἰς »Ἱεροσόλυμα«. μαθὼν δὲ ταῦτα ὁ Παῦλος, ὡς τὸν διδάσκαλον μιμούμενος ἀνέβαινε προθύμως εἰς τὰ Ἱεροσόλυμα. παθὸ)ν δέ τι ἀνθρώπινον ὑπὸ τῶν διὰ τὴν πρὸς αὐτὸν ἀγάπην κλαιόντων καὶ κωλυόντων »αὐτὸν ἀναβαίνειν εἰς ‘Ιεροσόλυμα« εἶπε· »τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι εἰς ‘Ιεροσόλυμα γενόμενος ἑτοίμως ἔχω, ἀλλὰ καὶ ἀποθανεῖν ὑπέρ τοῦ ὀνόματος τοῦ κυρίου μου Ἰησοῦ«. ταῦτ’ οὖν κατανοοῦντες, ἔστιν ὅτε καὶ γινώσκοντες ἐπικειμενους επιπονους πειρασμους, ομοσε αὐτοῖς ἡμεῖς αὐτοὶ> κατὰ τὸ χωρήσωμεν, λαβόντες παράδειγμα τῶν τοιούτων προηγουμένως μέν τὸν σωτῆρα, μετὰ δέ τοῦτον καὶ τὸν ἀπόστολον αὐτοῦ. μὴ νομίσῃς δὲ ἐναντιοῦσθαι ταῦτα καὶ τὰ ἐπ αὐτοῖς ὑφ’ ἡμῶν εἰρημένα τῷ »ἐὰν διώκωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν« καὶ τοῖς ἑξῆς, καὶ τῷ τὸν Ἰησοῦν ἀκούσαντα »ὅτι Ἰωάννης παρεδόθη« εἰς φυλακὴν ἀνακεχωρηκέναι. φαμὲν γὰρ ὅτι οὔτε πάντοτε

καθήκει ἐκκλίνειν τοὺς κινδύνους οὔτε ἀεὶ ὁμόσε χωρεῖν πρὸς αὐτούς · σοφοῦ δέ τινος ἐν Χριστῷ Χρεία εἰς τὸ δοκιμάζειν, ποῖος μὲν ἀπαιτεῖ καιρὸς ἀναχώρησιν, ποῖος δέ τὴν εἰς τὸν ἀγῶνα προθυμίαν χωρὶς ἀναχωρήσεως καὶ πολλῷ πλέον χωρὶς φυγῆς. καὶ ταῦτα μὲν κατὰ τὸ βούλημα τῆς ἐκκειμένης γραφῆς λελέχθω εἰς προτροπὴν τὴν περὶ τοῦ <ποτε> θανάτου κινδύνων καταφρονεῖν.

Ἐξῆς δέ παρατηρητέον ὅτι μέλλων ὁ Ἰησοῦς ἀναβαίνειν εἰς Ἱεροσόλυμα, εἴπερ παρέλαβε τοὺς δώδεκα κατ᾽ ἰδίαν, εἷς δὲ τῶν δώδεκα ἔτι ὁ Ἰούδας ἦν, καὶ τὸν Ἰούδαν παρέλαβε κατ᾽ ἰδίαν· ἔτι γὰρ γὰρ εἰκὸς) ἄξιος ἦν τοῦ μετὰ τῶν λοιπῶν ἔνδεκα παραλαμβάνεσθαι κοτ᾽ ἰδίαν. καὶ ὅτε ἐν τῇ ὁδῷ εἶπεν αὐτοῖς τὸ ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ τὰ ἑξῆς, δηλονότι καὶ τοῦτον ἔκρινεν ἕνα εἶναι τῶν ἀκουόντων ἃ πείσεται ὁ διδάσκαλος, οὐκ ἀπογινώσκων ὅτι ἔτι Ἰούδας ἠγνόει ἃ ποιήσει, ὡς ἕκαστος ἡμῶν καὶ γὰρ πᾶσιν ἡμῖν λέλεκται· »μὴ καυχῶ τὰ εἰς αὔριον, οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα«) · οὔπω γὰρ οἶμοι) βεβλήκει ὁ διάβολος »εἰς τὴν καρδίαν Ἰούδα Σίμωνος Ἰσκαριώτου, ἵνα παραδῷ« τὸν Ἰησοῦν. καὶ ἐπεὶ τὸ κατὰ Ματθαῖον πρόκειται νῦν ἐξετάζειν, ἐπιμελέστερον ὁ δυνάμενος ἀρχῆθεν τοῦ εὐαγγελίου ἐπιστῆσαι τοῖς μέχρι τῶν προκειμένων ζητησάτω μήποτε οὐδέπω Ἰούδας κατηγόρηται ὑπὸ τοῦ Ματθαίου, ἀλλὰ μόνον ἐν τῷ καταλόγῳ τῶν δώδεκα εἶπε τὸ > Ἰούδας Σίμωνος Ἰσκαριώτου, ὃς καὶ παρέδωκεν αὐτόν«. πλείονα δὲ εἰς κατασκευὴν τοῦ καὶ Ἰούδαν ὅμοιον τοῖς λοιποῖς ἀποστόλοις πρότερον γεγονέναι λέλεκται ἡμῖν, ἡνίκα ἐξητάζομεν τὸ τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων« τὰ ἀναγεγραμμένα. συγκριτέον δὴ τὰ ἐνταῦθα λελεγμένα τοῖς ἀνωτέρω παραπλησίως ἀναγεγραμμένοις · ἐπείπερ ἐκεῖ μέν ἐπὶ τοῖς τοιούτοις λόγοις προφητευομένοις ὑπὸ τοῦ σωτῆρος προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων · ἵλεώς σοι, κυριε· ου μη εσται σοι τουτο«, ἐνταῦθα δὲ οὐδὲν ἀνεγράφησαν οἱ μαθηταὶ εἰρηκότες ἢ πεποιηκότες ἐπὶ τοῖς περὶ τῶν ἀπαντησομένων σκυθρωποτέρων ἀπηγγελμένοις. καὶ οἶμαι ὅτι διὰ τοῦτο ἐσιώπησαν νῦν οἱ μαθηταί, ἐπείπερ ἐν τοῖς ἀνωτέρω, ὅτε »προσλαβόμενος« τὸν Ἰησοῦν »ὁ Πέτρος ἤρξατο αὐτῷ ἐπιτιμᾶν λέγων· ἵλεώς σοι, κύρις· οὐ μὴ ἔσται σοι τοῦτο«, »στραφεὶς« ὁ Ἰησοῦς »εἶπε τῷ Πέτρῳ· ὕπαγε ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ θεοῦ ἀλλὰ τὰ τῶν ἀνθρώπων«. εἰκὸς οὖν αὐτοὺς μεμνημένους τῶν πρὸς τὸν Πέτρον λελεγμένων πεφυλάχθαι ταὐτὰ ἢ καὶ χείρονα ἀκοῦσαι ἀπὸ τοῦ διδασκάλου.

Οὐδὲν λυπεῖ ἐκθέσθαι τὴν προτέραν καὶ παραπλησίαν τοῖς ἐκκειμένοις λέξιν οὕτως ἔχουσαν· »τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ, ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν ὁ Χριστός« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι«. ἐπὶ τούτοις γὰρ εἴρηται τὸ »καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος« καὶ τὰ ἑξῆς. ἔτι δὲ ἀνωτέρω μὲν εἴρηται »ἀποκτανθῆναι« μέλλειν τὸν σωτῆρα· ἐνταῦθα δὲ <καὶ> τὸ εἶδος τῆς ἀναιρέσεως γέγραπται, τὸ σταυρωθῆναι. ἕως μὲν οὖν Ἰησοῦς οὐ παρεδίδοτο ἐν Ἱεροσολύμοις τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσιν οὐδέ κατεκρίνετο θανάτῳ οὐδὲ ἐνεπαίζετο ἢ ἐμαστιγοῦτο ἢ ἐσταυροῦτο, Ἱεροσόλυμα συνειστήκει καὶ τό καλούμενον ἁγίασμα οὐ κατεβάλλετο. ὅτε δέ ταῦτα τῷ Ἰησοῦ ποιῆσαι

τετολμήκασι, τότε οἱ παραδόντες αὐτὸν ἐγκατελείφθησαν καὶ οἱ ἀρ- Χιερεῖς τοῦ εἶναι ἀρχιερεῖς ἐπαύσαντο ὡς μηδὲ μετ’ αὐτοὺς εἶναι ἀρχιερεῖς, τότε δὲ καὶ οἱ κατακρίναντες τὸν Ἰησοῦν θανάτῳ γραμματεῖς πωρωθέντες τὴν διάνοιαν καὶ τυφλωθέντες τὸν λογισμὸν οὐκ ἔβλεπον τὸ βούλημα τῶν ἁγίων γραμμάτων. καὶ πάντες ἐκεῖνοι <οἱ> τὸν Ἰησοῦν θανάτῳ παρεδόθησαν τῷ ἐχθρῷ Χριστοῦ θανάτῳ, καὶ ἀμπαίξαντες τῷ Ἰησοῦ εἰς ἐμπαιγμὸν γεγόνασι κυκλωθείσης »ὑπὸ στρατοπέδων Ἰερουσαλὴμ« ὅτε καὶ »ἤγγισεν ἡ ἐφήμωσις αὐτῆς«, ἀλλὰ καὶ τὸν Ἰησοῦν μαστιγώσαντες αὐτοὶ ἐμαστιγώθησαν καὶ μαστιγοῦνται ἕως »τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ«· ὁ γὰρ »βάλλων λίθον εἰς ὕφος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ βάλλει«. καὶ πάντα ταῦτα γεγένηται, ἵν’ ἐκείνων μὲν ἀποστῇ ἡ ἐπισκοπή, ἐπὶ δέ τοὺς ἀπὸ τῶν ἐθνῶν μεταστῇ, σῳζομένους ἅμα τῷ »κατ’ ἀκλογὴν« λείμματι· »εἰ μὴ« γὰρ »κύριος Σαβαὼθ ἐγκατέλιπεν« αὐτοῖς »σπέρμα, ὡς Σόδομα ἂν« ἐγενήθησαν, »καὶ ὡς Γόμορρα ἂν« ὡμοιώθησαν. ἐγὼ δ’ οἶμαι ὅτι ὥσπερ <ἡ> »ὑποδείγματι καὶ σκιᾷ« λατρεία πάλαι ἐπιτελουμένη »τῶν ἐπουρανίων« κατελύθη διὰ τὰ ἐπουράνια καὶ ἐλθόντος <τοῦ> ἀληθινοῦ ἀρχιερέως ὁ συμβολικὸς ἀρχιερεὺς ἐπαύσατο καὶ τῶν ἀληθινῶν ὑπέρ ἁμαρτιῶν θυσιῶν ἐπιτελουμένων αἱ συμβολικαὶ <θυσίαι> καθῃρέθησαν, οὕτως ὅτε ἡ ἀληθινὴ Ἰερουσαλὴμ τὸν Ἰησοῦν ἐδέξατο ἀναβάντα ἐπὶ τὸ ὑποζύγιον ἑαυτοῦ σῶμα (ἐφ’ ᾧ καὶ ἔχαιρε σφόδρα θυγάτηρ Σιὼν καὶ ἐκήρυσσεν ἡ θυγάτηρ τῆς ἄνω Ἰερουσαλήμ), τότε καθῃρέθη Ἰερουσαλὴμ ἡ σκιὰ καὶ καταπέπτωκεν ὁ ναὸς ὁ ἐκ νεκρῶν λίθων διὰ τὸν ἐκ ζώντων λίθων ναὸν <ἐγερθησόμενον> κατεσκάφη δὲ καὶ τὸ κάτω θυσιαστήριον, ἐπείπερ ἐχρημάτισε τὸ ἐπουράνιον, τὰ ἐγκαίνια αὐτοῦ Ἰησοῦ ἐν τῇ ἀληθινῇ λατρείᾳ ποιήσαντος. Εἰ δὲ κατά τι τῶν σημαινομένων οἱ ἄνθρωποι ἡ πόλις εἰσί, καὶ νῦν ἐν Ἱεροσολύμοις (οὕτω δὲ τοὺς ἔχοντας τὰς ἀλπίδας ἐπὶ τὸν ἐπὶ γῆς τόπον) Παραδίδοται ὁ Ἰησοῦς τοῖς ἐπαγγελλομένοις τὴν τοῦ θεοῦ θεραπείαν Ἰουδαίοις, καὶ > ὡσπερεὶ ἀρχιερεῖς τυγχάνοντες καὶ οἱ τὰ θεῖα γράμματα αὐχοῦντες διηγεῖσθαι γραμματεῖς κατακρίνουσι δανάτῳ τὸν Ἰησοῦν δι’ ὧν κακῶς λέγουσιν γουσιν αὐτόν, καὶ οὐκ ἔστιν ὅτε οὐ παραδιδόασι τοῖς ἔθνεσιν Ἰησοῦν ἐμπαίζοντες αὐτῷ καὶ τῇ διδασκαλίᾳ αὐτοῦ παρ’ αὐτοῖς, καὶ ἀεὶ ταῖς γλώσσαις αὐτῶν μαστιγοῦσι τὴν διὰ Ἰησοῦ Χριστοῦ θεοσέβειαν. καὶ αὐτοὶ μὲν αὐτὸν σταυροῦσι δι ὧν ἀναθεματίζουσι καὶ ἀναιρεῖν θέλουσι τὴν διδασκαλίαν αὐτοῦ. ὁ δὲ κρείττων αὐτῶν <πάντων> ἀλίγον διαλιπὼν ἐγείρεται καὶ ζῶν τοῖς ἔθνεσι τοῖς> εἰδηφόσι βλέπειν φαίνεται. νῦν γὰρ »τίς τυφλὸς ὡς ‘Ησαΐας ἐκ προσώπου τοῦ θεοῦ φησιν) <ἀλλ᾽> ἢ οἱ παῖδές μου, κοὶ τίνες κωφοὶ ἀλλ’ ἢ οἱ κυριεύοντες αὐτῶν«; φησὶ γὰρ μετὰ μεγάλου καὶ προφητικοῦ ἤθους καὶ πνεύματος· »οἱ κωφοί, ἀκούσατε, καὶ οἱ τυφλοί, ἀναβλέματε ἰδεῖν. καὶ τίς τυφλὸς ἀλλ’ ἢ οἱ παῖδές μου, καὶ τίνες κωφοὶ ἀλλ’ ἢ οἱ κυριεύοντες αὐτῶν; καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ«· ἦλθε γὰρ Ἰησοῦς »εἰς κρίμα εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες εἰσὶ δ’ οὗτοι τὰ ἔθνη) βλέπωσι καὶ οἱ βλέποντες ὁ Ἰσραὴλ) ἐκεῖνοι τυφλοὶ γένωνται«. τηλικούτου γοῦν φωτὸς ἀληθινοῦ ἀνατείλαντος καὶ δεικνύντος τοῦ λόγου αὐτὸν καὶ φάσκοντος · »ἰδοὺ ἀνήρ, Ἀνατολὴ ὄνομα αὐτῷ«, οὐκ εἶδον τὸ φῶς, ἐπεὶ ἐτύφλωσεν αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ«, καὶ παράδοξον γεγένηται τῷ λαῷ ἐκείνῳ καὶ

τοῖς ἔθνεσι. λύχνον μέν γὰρ ἕκαστον τῶν προφητῶν τυγχάνοντα ἑώρα ὁ λαός, ἀνατείλαντα δὲ τὸν τῆς δικαιοσύνης ἥλιον οὐκ ἔγνωσαν· διὸ καὶ εἴ τινα ἐδόκουν ἔχειν λύχνον, ἀφῃρέθη ἀπ' αὐτῶν. »λαὸς« δέ ὁ τῶν ἐθνῶν »ὁ καθήμενος ἐν σκότει εἶδε φῶν«, οὐχ ὁποῖον ὁ Ἰσραὴλ μικρόν μικρὸν γὰρ φῶς ἕκαστος ἦν τῶν προφητῶν), ἀλλὰ »λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα«, τὸν κύριον καὶ σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν, οὗ τὸ μέγεθος φαίνεται διατείνοντος »ἀπὸ πέρατος

γῆς εἰς τὸ πέρας αὐτῆς εὐρώστως, κοὶ διοικοῦντος« τὰς ἐκκλησίας »χρηστῶς«, ὅτε τὸ πνεῦμα αὐτοῦ πεπλήρωκε τὴν οἰκουμένην, πληρωθείσης τῆς λεγούσης προφητείας, »ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς« ἔσεσθαι »τὸ ὄρος τοῦ θεοῦ«· καὶ νῦν »πορεύονται ἐπ᾽ αὐτὸ πάντα τὰ ἔθνη«, καὶ ἔστι τοῦτο Χριστὸς Ἰησοῦς.

Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς κοὶ τὰ ἑξῆς ἕως τοῦ ἀκούσαντες δὲ οἱ δέκα ἠγα νάκτησαν περὶ τῶν δύο ἀδελφῶν (20, 20 — 24). τὸ δ᾽ ὅμοιον αὐτῷ καὶ ὁ Μᾶρκος ἀνέγραφε τοῦτον τὸν τρόπον· »καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου καὶ λέγουσιν αὐτῷ« καὶ τὰ ἑξῆς ἕως τοῦ »ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου«.

Ἄξιον ἐν τοῖς προκειμένοις ζητῆσαι νοῦν οὐκ εὐκαταφρόνητον καὶ ἀληθῶς εὐαγγελίῳ πρέποντα Ἰησοῦ Χριστοῦ. <προπαρεθέμεθα δὲ τοῦτο,> ἐπεὶ τὸ ῥητὸν τοῖς μέν ἁπλουστέροις καὶ πάντη ἀκεραίοις καὶ βάθη θεοῦ καὶ τῶν γραφῶν αὐτοῦ μὴ ἐπισταμένοις ζητεῖν ἐμφαίνει ἁπλότητα ἀξιώσεώς τινος καὶ τῆς πρὸς αὐτὴν τοῦ Ἰησοῦ ἀποκρίσεως. τοῖς δὲ κἂν ἐπὶ ποσὸν δυναμένοις βασανίζειν προβλήματα ὁ αὐτόθεν ἐμφαινόμενος νοῦς βραχύς ἐστι καὶ εὐτελὴς καὶ οὐδὲν ἔχων <μέγα>, μάλιστα ὅτε Ἰησοῦς ἀποκρίνεται ἁρμόζον αὐτοῦ τῇ μεγαλονοίᾳ. ὥσπερ γὰρ ἐπὶ κοσμικῆς βασιλείας ἐν προαγωγῇ δοκοῦσιν εἶναι οἱ συγκαθεζόμενοι τῷ βασιλεῖ ἐν τῇ βασιλικῇ ἐσθῆτι καθεζομένῳ καὶ ὁτιποτοῦν τῶν τῆς βασιλικῆς πραγμάτων διέποντι οὕτω δόξει κατὰ τὴν λέξιν) φανταζομένη ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου ἢ ὡς ὁ Μᾶρκος ἀνέγραψεν Ἰάκωβος καὶ Ἰωάννης) ἐξιοῦν ἀπὸ τοῦ σωτῆρος τὸ καθεσθῆναι τὸν μὲν ἕτερον ἐκ δεξιῶν αὐτοῦ ἐν τῇ βασιλείᾳ τυγχάνοντος, τὸν δέ λοιπὸν ἐξ ἀριστερῶν. καὶ οὐδέν μέν ἦν παράδοξον, γυναῖκα <γυναικείας> ἀπὸ καὶ ἰδιωτείας τοιαῦτα νομίζειν <δεῖν> ἀξιοῦν. δεδόσθω δέ ὅτι καὶ οἱ δύο ἀπόστολοι, ὡς ἄνθρωποι ἔτι ἀτελεῖς κοὶ μηδὲν νοοῦντες βαθύτερον περὶ τῆς βασιλείας Χριστοῦ, τοιαῦτα ὑπελάμβανον περὶ τῶν συγκαθεζομένων τῷ Ἰησοῦ· ἐπὰν δὲ κοὶ ὁ Ἰησοῦς ὡς συγκατατιθέμενος τῷ μέγα εἶναι τὸ καθεσθῆναί τινα ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων αὐτοῦ ἐπαίρῃ τὴν ἀξίωσιν κοὶ λέγη· οὐκ οἴδατε τί αἰτεῖσθε καὶ οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου, ζητήσοι τις ἂν συνετὸς δοκῶν εἶναι ἀκροατὴς τῆς γραφῆς, τί βούλεται τὸ καθέζεσθαι ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων Ἰησοῦ ἐν τῇ βασιλεία αὐτοῦ.

Καὶ πρὸς τοὺς ὑπολαμβάνοντάς γε περιεργότερον ἡμᾶς ταῦτα ζητεῖν συνακτέον τὰ περὶ καθίσεων ἀναγεγραμμένα θεοῦ ἢ τοῦ Χριστοῦ, ἵνα τῇ βασάνῳ τῶν εἰς τοῦτο συνγομένων καὶ παραθέσει αὐτῶν πρὸς ἄλληλα ἀνατεῖλαι δυνηθῇ μέγεθός τι δόγματος ἀπὸ ἁπλουστέρου παραδείγματος ληφθέντος. οἷον ἐν μὲν

τῇ τρίτη τῶν Βασιλειῶν γέγραπται ὅτι »εἶπε Μιχαίας«· »εἶδον θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, κοὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων αὖτοῦ« καὶ τὰ ἑξῆς· ἐν δέ τῇ δευτέρᾳ τῶν Παραλειπομένων ὁ αὐτὸς Μιχαίας φησὶ παραπλήσια τούτοις ἐν τῷ· »ἀκούσατε λόγον κυρίου. εἶδον κύριον καθήμενον ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ πᾶσα δύναμις τοῦ οὐρανοῦ εἱστήκει ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ ἀριστερῶν αὐτοῦ« καὶ τὰ ἑξῆς. καὶ ἐν ‘Ησαΐᾳ δέ γέγραπται· »καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν Ὀζίος ὁ βοσιλεὺς εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑφηλοῦ καὶ ἐπηρμένου« καὶ τὰ ἑξῆς. ἔτι δὲ καὶ ἐν τῷ Δανιὴλ τοιαῦτα γέγραπται· »ἐθεώρουν ἕως οὗ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο« καὶ τὰ ἑξῆς. παραπλήσια τούτοις ἔστιν εὑρεῖν καὶ ἐν τῷ Ἰεζεκιὴλ κατὰ τὴν ἀρχὴν τῆς προφητείας αὐτοῦ, ὅτε φησίν · »ὑπεράνω τοῦ στερεώματος τοῦ ὑπέρ κεφαλῆς αὐτῶν δῆλον δ’ ὅτι τῶν χερουβὶμ) ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα Πρόνου ἐπ’ αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν«. ἐν δὲ τῶ ἑκατοστῶ ἐννάτω ψαλμῷ τὸ »εἶπεν ὁ κύριος τῷ κυρίῳ μου · κάθου ἐκ δεξιῶν μου« ἐμφαίνει κάθισιν τοῦ πατρὸς καὶ ἄλλην τοῦ σωτῆρος καθεζομενου ἐκ δεξιῶν αὐτοῦ. καὶ πόλιν ἐν ἄλλῳ ψαλμῷ εὐχόμενος ὁ προφήτης φησίν· ὁ καθήμενος ἐπὶ τῶν ερουβὶμ ἐμφάνηθι«, κοὶ πάλιν · ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ« εἰ δέ κοὶ ἀπὸ τῶν εὐαγγελίων παράδειγμα βούλει λαβεῖν, ἄκουε Ματδαίου ἀναγράφοντος τίνα τρόπον ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς· »ἀμήν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀλοκουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ« καὶ τᾶ ἑξῆς καί· »ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως«]. καὶ ὁ Ματθαῖος <καὶ> ταῦτάφησιν· »ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξη

αὐτοῦ κοὶ πάντες οἱ ἄγγελοι μετ’ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ« κοὶ τὰ ἑξῆς, καὶ ἀπάρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως«. τὸ δὲ ἰσοδυναμοῦν αὐτῷ καὶ ὁ Μᾶρκος ἀνέγραψεν ἐν τῷ καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ«, καὶ ὁ Λουκᾶς δὲ τὸ ὅμοιόν φησιν ἐν τῷ »ἀπὸ γὰρ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ«.

Καὶ τέ με δεῖ ἐπὶ πλεῖον τὰ τοιαῦτα συνάγειν, βουλόμενον <μετὰ> τὴν εὐτελῆ καὶ ἁπλουστέραν καὶ ταπεινοτέραν ἐκδοχὴν περὶ τῆς ἐν τῇ βασιλείᾳ καθίσεως τοῦ Χριστοῦ καὶ τῶν ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων αὐτοῦ καθεδουμένων παραστῆσαι <καὶ> μυστικωτέραν ἶν’ ἵν’ εὐλόγως ὑπὸ τῶν ἐπὶ rd θεῖα νοήματα ἀναβαίνειν οἷων τε ὄντων ἐξετασθῆναι καὶ εὑρεθῆναί τι ἄξιον τοῦ ἀνακρίνοντος »πάντα« πνευματικοῦ καὶ »ὑπ’ οὐδενὸς« ἀνακρινομένου, ἀνάλογον τοῖς τοῦ Παύλου περὶ πνευματικῶν φωναῖς [καὶ περὶ> εὐαγγελικῶν ἐροῦντος. ὡς γὰρ Παῦλος κατὰ τὸν πενυματικὸν ἐκλαβὼν νόμον τὰ περὶ τοῦ μάννα καὶ τῆς πέτρος καὶ τοῦ ἀπ’ αὐτῆς ὕδατός φησι · καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρος, ἡ δὲ Πέτρα ἦν ὁ Χριστός«, οὕτως εἴποι ἄν ὁ ἐπὶ τὴν πέτραν ταύτην ἑστὼς πνευματικος

καὶ ἐπὶ τούτῳ εὐχαριστῶν τῷ θεῷ καὶ λέγων καὶ περὶ ἑαυτοῦ· »ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε t]a διαβήματά μου«, ὅτι πνευματική ἐστιν ἡ κάθισις θεοῦ ἐπὶ πνευματικοῦ θρόνου καὶ ἡ Χριστοῦ ὁμοίως, καὶ τὸ ἐκ δεξιῶν τῆς δυνάμεως« καθέζεσθαι τὸν Χριστὸν πνευματικόν ἐστιν. οὐδὲν γὰρ κατὰ ταῦτα δηλοῦται περὶ σωματικῆς καθίσεως, ἣν ὡρίσαντο ἑδρασμὸν εἶναι ἐπὶ τῶν ἰσχίων ἑδραζομένων ἐπί τινος ἕδρας)· καὶ γὰρ γελοῖον διὰ τὸ σωματικῶς ταῦτα ὠνομάσθαι νομίζειν θρόνους τινὰς <σωματικῶς> εἶναι δεδημιουργημένους, οὐκ οἶδα ἐκ ποίας ὕλης, δεκτικοὺς τῆς καθίσεως τοῦ θεοῦ ἢ τοῦ Χριστοῦ ἢ τῶν καθεζομένων ἐκ δεξιῶν ἢ ἐξ εὐωνύμων Χριστοῦ, οἷς ἡτοίμασε τὸ τοιοῦτον ὁ πατήρ. οὐκ οἶδα δὲ εἰ εὐαγές ἐστι σωματικὸν νομίζειν εἶναι τὸ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων« τοῦ θεοῦ ἑστηκέναι τὴν στρατιὰν τοῦ οὐρανοῦ« σωματικῶς, ἢ πόλιν οἴεσθαι τοὺς μέν σῳζομένους καὶ ἐπαινουμένους ἐν τοῖς σωματικοῖς εἰναι δεξιοῖς τοῦ βασιλέο)ς ἡμῶν Ἰησοῦ Χριστοῦ, τοὺς δέ ψεκτοῦς καὶ ἀπολουμένους ἐν τοῖς ἀνάλογον τούτοις σωματικοις ευωνυμοις.

Ἀλλὰ μήποτε τὸ μὲν ἀποκαταστῆναι ἐΠὶ τὴν βασιλείαν ἀπολαβόντα τὴν ἑαυτοῦ ἀρχὴν Χριστόν, καταργηθείσης τῆς βασιλευούσης ἐν τοῖς θνητοῖς σώμασι τῶν ἀνθρώπων ἁμαρτίας καὶ πόσης τῆς ἀρχούσης τῶν πονηρῶν ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, τοῦτ’ ἔστι τὸ καθεσθῆναι αὐτὸν ἐπὶ θρόνου δόξης αὐτοῦ«· τὸ δὲ καὶ δεξιὰ <καὶ εὐώνυμα> ποιῆσαι ποιῆσαι πάντα τῷ θεῷ, ἵνα μηκέτι ᾖ σκαιόν τι πρὸς αυτον, τοῦτ’ ἔστι τὸ ἐσόμενον ἐν τοῖς ἐκ δεξιῶν τῆς δυνάμεως« ἐσομένοις, πρὸς παράδειγμα μέλλουσι βλέπειν τὸ ἐκ δεξιῶν τῆς δυνάμεως« καθέζεσθαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτοῦ ἐν τῇ βασιλείᾳ Χριστοῦ τοῦ λόγου· οὓς ἀποκαθίστησιν ὁ θεὸς συνεργήσας αὐτοῖς καὶ ἑτοιμάσας τὸ ἐγγίζειν τῇ Χριστοῦ ὑπεροχῇ, ἵν’ ὁ μὲν προηγούμενος τῶν ἄλλων τῶν Χριστῷ> ᾖ ἐκ δεξιῶν καὶ οἷον ἁπτόμενος αὐτοῦ καὶ κολλώμενος τοῖς τοῦ λόγου δεξιοῖς, ὁ δὲ ὑποδεέστερος ἐγγὺς τῶν ἀριστερῶν αὐτοῦ. δεξιὰ δὲ ὅρα εἰ δύνασαι νοῆσαι Χριστοῦ τὰ ἀόρατα ὀνομαζόμενα κτίσματα, ἀριστερὰ δὲ τὰ ὁρατὰ κοὶ σωματικά. ἀλλὰ Χριστὸς μὲν πόντων βασιλεύει· ἤδη δέ τῶν ἐγγιζόντων αὐτῷ οἱ μέν κεκλήρωνται τὰ δεξιὰ καὶ νοητά, οἱ δέ τὰ ἀριστερὰ καὶ αἰσθητά. καὶ μήποτε ἡ ἀληθινὴ μήτηρ τῶν υἱῶν Ζεβεδαίου οὓς ἐκάλεσε Βοανεργὲς ὁ σωτήρ, ὅ ἐστιν υἱοὺ βροντῆς«), ἡ βροντὴ <αὐτή>, μεγάλα κρίνασα περὶ τῶν υἱῶν αὐτῆς Ἰακώβου καὶ Ἰωάννου καὶ γὰρ ἦσαν μεγάλοι) καὶ ὑπολαβοῦσα αὐτοὺς τὰ πρωτεῖα δύνασθαι ἔχειν πορὰ πᾶσαν γεννητὴν φύσιν ὡς χωρήσοντας τὴν μεγαλοφωνίαν αὐτῆς , προσελθοῦσα ἠξίου τὸν κύριον, ἵνα ἱδρύσῃ τὸν μὲν ἕτερον αὐτῶν ἐκ δεξιῶν, τὸν δ’ ἄλλον ἐξ εὐωνύ- μων. ὁ δὲ σωτὴρ διελέγχο)ν καὶ τὴν τηλιγαύτην μεγαλόφωνον μητέρα τοῦ Ἰακώβου καὶ Ἰωάννου ὡς ἀγνοοῦσαν, τίνες οἱ ὑπερέχοντες καὶ ὅτι ἡ τηλικαύτη δωρεὰ χάρις ἐστὶ <μόνου> τοῦ ἐπὶ πᾶσι θεοῦ συμπνέον τος κοὶ συνεργοῦντος καὶ ἱδρύοντος ἐν τῇ τοιαύτῃ ὑπεροχῇ, οὓς εἶδεν ἐπιτη- δείους, εἶπε τὸ οὐκ οἴδατε τί αἰτεῖσθε καὶ· τὸ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ’ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρος μου. ἐπιστήσει δὲ ὁ δυνάμενος τίνα μέν ὑπὸ τοῦ σωτῆρος δίδοται, τίνα δὲ ὑπὸ τοῦ πατρός, ὁρῶν ὅτι ἔστι τινὰ ἃ οὐ δοίη ἂν ὁ υἱός. ἀλλ’ αὐτὸς ὁ ποτήρ. εἰ δὲ τοιοῦτόν

τι παρίστησι καὶ τὰ εὐαγγέλια, ὅπου μὲν εἰσάγοντα τὸν σωτῆρα εὐχόμενον περί τινων δυνάμεων ἵνα αὐτῷ ὑπαρχθῇ τὰ αἰτήματα ἀπὸ τοῦ πατρός, ὅπου δὲ χωρὶς εὐχῆς ποιοῦντα ὡς ἤδη ἔχοντα ἐκεῖνα περὶ ὧν ἠξίωτο, τολμηρὸν μὲν ζητῆσαι, ὅμως δέ ὁ δυνάμενος μετὰ εὐλαβείας καὶ ταῦτα ἐξεταζέτω. παραστῆσαι δ’ οἶμαι βουλόμενος τῇ μητρὶ τῶν υἱῶν Ζεβεδαίου καὶ αὐτοῖς, ὅτι καὶ ἔλειπεν αὐτοῖς πρὸς τὸ τελειοῦσαι τὰ ἐν ἀνθρώποις ἐφικτὰ οὐ τὰ τυχόντα, ἀποκριθεὶς εἶπε μετὰ τὸ οὐκ οἴδατε τί αἰτεῖσθε τὸ δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν ἢ ὡς ὁ Μᾶρκος ἀνέγραφε · »δύνασθε τὸ ποτήριον πιεῖν ὃ ἐγὼ πίνω ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; «)

Κοὶ ἐν τούτοις δέ ζητήσει τις τί τὸ ποτήριον καὶ τί τὸ βάπτισμα, ὡς ἕτερα ἀλλήλων <ὄντα ἀμφότερα καὶ οὕτως ὠνομασμένα> κοὶ δεόμενα οὐ τῆς τυχούσης δυνάμεως τῆς τοῦ πιομένου ἢ τοῦ βαπτισθησομένου, κοὶ πιομένου οὐκλλο ποτήριον ἢ ὁ ἔμελλε πίνειν ὁ Ἰησοῦς βαπτισθησομένου τε παραπλησίως βάπτισμα, ὃ αὐτὸς ἔμελλε βαπτίζεσθαι ὁ κύριος. οἱ πολλοὶ μέν οὖν τὰ ἀμφότερα ἄγουσιν εἰς τὴν κατὰ τὸ μαρτύριον οἰκονομίαν, οὐ παριστάντες οὔτε εἰ δύο ἐπινοίας ἔχει δηλουμένας διὰ τῶν δύο ὀνομάτων ἔν τῇ ὑποστάσει τυγχανόντων, οὔτ’ εἰ δύναται καὶ δύο δηλοῦσθαι ἐν τούτοις πράγματα. ἡμεῖς δὲ οὐκ ἀποδοκιμάζομεν μέν καὶ ταύτην τὴν ἐκδοχήν, ἐφίστα- μεν δέ εἰ δύναται καὶ ἄλλο τι δηλοῦν παρὰ ταῦτα τὰ δύο ὀνόματα. κοὶ ἐπεὶ πολύ ἐστι τὸ νῦν ἀκριβῶς διαλαβεῖν περὶ αὐτῶν, ὀλίγα εἰς τὸ στῆναι τὰ ἐμφαινόμενα ἡμῖν παραστήσομεν εἰς τὸν τόπον. καὶ εἰς μὲν τὸ δηλοῦσθαι ἐν τούτοις τὸ μαρτύριον οὐ μόνῳ χρήσεταί τις τῷ »πάτερ, εἰ δυνατόν, παρένεγκε τοῦτο τὸ ποτηριον απ εμου«, ως ἐπιπόνως πινόμενον ὑπὸ τοῦ ἀναδεχομένου τοὺς ἐν τῷ μαρτυρίῳ ἀγῶνας, ἕως τις ἐκπίῃ ὑπομείνας τὰ κατὰ τὸν ἐν τῷ μαρτυρίῳ πειρασμὸν πάντα τὰ προσαγόμενα αὐτῷ, ἀλλὰ καὶ τῷ ἐν ἑκατοστῷ πεντεκαιδεκάτῳ Ψαλμῷ εἰρημένῳ · τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πόντων ὧν ἀνταπέδωκέ μοι; ποτήριον σω- τηρίου λήψομαι, καὶ τὸ ὄνομα κυ- ρίου ἐπικαλέσομαι«. τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς του λαου αυτου. «τιμιος εναντιον γυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ«. οὐδὲν γὰρ δυνάμεθα πλεῖον ἀποδοῦναι τῷ κυρίῳ ἐφ’ οἷς εὐηργετήθημεν ἢ τὸ τοῦ σωτηρίου πο- τήριον προθύμως λαβεῖν καὶ ἐπικαλέσασθαι τὸ τοῦ κυρίου ὄνομα εἰς τὸ πιεῖν αὐτό · ἐν ᾧ ἐκπινομένῳ ἀπᾴδωσί τις τὰς εὐχὰς αὐτοῦ πάσας τῷ κυρίῳ ἐναντίον πιστὸς τοῦ λαοῦ αὐτοῦ«. σαφῶς δὲ ἐδίδαξεν ἐν τούτοις ὅτι τὸ ποτήριον <τὸ μαρτύριόν> ἐστιν ὁ ἐπαγαγὼν κατὰ τὸ ποτήριον τὸ τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ«. τῇ δέ ἐπινοίᾳ τὸ μαρτύριον δύο ἐστίν, ὧν τὸ μὲν ἔν καλεῖται ποτήριον σωτηρίου«, τὸ δὲ λοι- πὸν βάπτισμα. καὶ καθὸ μὲν ὑπομένει τις τους πονους, ποτηριόν ἐστιν εκπινομενον υπο του φέροντος πάντα τὰ Προσαγόμενα εἰς εουτον, ἀναλαμβάνοντος καὶ οἱονεὶ πνίγοντος τὰς ἀλγηδόνος καὶ μὴ ἀνωθουμένου αὐτὰς μηδέ ἀποβάλλοντος ἢ ἐμοῦντος. καθὸ δέ ἄφεσιν λαμβάνει ἁμαρτημάτων ὁ ὑπομείνας, βάπτισμα ἐστιν· εἰ γὰρ τὸ βάπτισμά ἄφεσιν ἁμαρτημάτων ἐπαγγέλλεται, καθὼς παρειλήφαμεν περὶ τοῦ ἐν ὕδατι

καὶ πνεύματι βαπτίσματος, ἄφεσιν δὲ λαμβάνει ἁμαρτημάτων καὶ ὁ τὸ Ι τοῦ μαρτυρίου ὑπομείνας βάπτισμα, βάπτισμα τὸ μαρτύριον εὐ- λόγως λέγοιτ' ἂν.

Ὅτι δὲ ἄφεσις ἁμαρτημάτων γίνεται <παντὶ> τῷ τὸ μαρτύριον ὑπομείναντι, δῆλον ἐκ τοῦ »πᾶς ὃς ἐὰν ὁμολογήση ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς«. ὁμολογεῖ δὴ ἔμπροσθεν τοῦ ἐν τοῖς οὐρανοῖς Πα- τρὸς ὁ σωτὴρ πάντα τὸν ὁμολογήσαντα, κἂν τύχῃ πρὸ τῆς ὁμολογίας ὁτιποτοῦν ἁμαρτών· εἰ γὰρ τοὺς ὁτιποτοῦν ἁμαρτ<όντας ὁμολου> ήσαντας οὐχ ὁμολογήσει, οὐκ ἔσται ἀληθές τὸ »πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ« κοὶ τὰ ἑξῆς. οὐκ οἶμοι δ' ὅτι ἔμπροσθεν τοῦ ἐν οὐρανοῖς πατρὸς ὁμολογήσει ὁ σω- τὴρ τὸν ὁποιῳποτοῦν ἔνοχον ἁμαρτήματι· παρρησιαζομένουγὰρ <υἱοῦ> ἐνώπιον πατρός ἐστιν ἡ ὁμολογία ἐπὶ τῷ ὁμολογουμένῳ ὡς ἀξίῳ τῆς <Χριστοῦ> ἐπὶ τοῦ πατρὸς μὴ σαινέτω δέ ἡμᾶς εἰ ὁ σωτὴρ πορὰ τῷ Μάρκῳ καὶ τὸ ποτήριον πίνει, καὶ τὸ βάπτισμα βαπτίζεται· κοὶ γὰρ ἡνίκα ὁ Ἰωάννης ἦλθεν εἰς πᾶσαν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν«, καὶ Ἰησοῦς »παραγίνεται πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' ἀὐτοῦ« οἱονεὶ ἀπολουόμενος τὰ ἡμέτερα ἁμαρτήματα, ἵν ἡμεῖς τῷ λουτρῷ αὐτοῦ καθαρισθῶμεν. μᾶλλον δὲ ἐμφαίνεται τὸ καθαρίζεσθαι ἡμᾶς ἐπὶ τῷ μαρτυρίῳ αὐτῷ, καθὸ ἐβαπτίζετο ἀναλαβὼν ἡμῶν τὰς ἁμαρτίας, ἵνα αὐτὰς λύσῃ καὶ ἀφ' ἡμῶν καὶ ἀφ' ἑαυτοῦ· διόπερ »ὃ <ἀπέθανεν,> ἀπέθανε τῇ ἁμαρτίᾳ« ἡμῶν, ἐπεὶ αὐτὸς ἀπέθανε τῇ ἁμαρτίᾳ« οὐ τῇ ἑαυτοῦ ἀλλὰ τῇ ἡμετέρᾳ, εἴ γε ἔχειν λόγον τὸ τοιοῦτον δόξει τισί. πεπώκασι δέ <κατὰ ταῦτα, ὡς ἐμοὶ δοκεῖν, καὶ τὸ> ποτήριον καὶ τὸ βάπτισμα ἐβαπτίσθησαν οἱ τοῦ Ζεβεδαίου υἱοί, ἐΠείπερ Ἡρώδης μέν ἀπέκτεινεν »Ἰάκωβον τὸν <ἀδελφὸν> Ἰωάννου μαχαίρᾳ«, ὁ δὲ Ῥωμαίων βασιλεὺς ὡς ἡ παράδοσις διδάσκει) κατεδίκασε τὸν Ἰωάννην μαρτυροῦντα διὰ τὸν τῆς ἀληθείας λόγον εἰς Πότμον τὴν νῆσον. διδάσκει δέ τὰ περὶ τοῦ μαρτυρίου ἑαυτοῦ Ἰωάννης, μὴ λέγων τις αὐτὸν κατεδίκασε, φάσκων ἐν τῇ Ἀποκαλύψει ταῦτα· ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Ἰησοῦ, ἐγενό- μην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ διὰ τὸν λόγον τοῦ θεοῦ« καὶ τὰ ἑξῆς. καὶ ἔοικε τὴν ἀποκάλυψιν ἐν τῇ νήσῳ τεθεωρηκέναι.

Ὁ δὲ προστιθεὶς μετὰ τὴν ἀποδεδομένην διήγησιν εἰς τὸ Ποτήριον καὶ τὸ βάπτισμα τοιαῦτά φησιν· ὥσπερ ἔστι τι βρῶμα τοῦ σωτῆρος, περὶ οὗ λέγει· »ἐμὸν βρῶμά βστιν ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με κοὶ τελειώσω αὐτοῦ τὸ ἔργον«, οὕτως ἀνάλογόν ἐστι ποτήριον ἐκείνῳ τῷ βρώματι. ὁ τολμηρὸν μὲν διορίσαι ἀπὸ τοῦ βρώματος καὶ παραστῆσαι πραγματικῶς, ὅμως δὲ ὁ δυνάμενος ἐπιστησάτω μήποτε τὸ μὲν προετικόν ἐστι τὸ βρῶμα τὸ δέ θεωρητικὸν τὸ πόμα. κατὰ γὰρ τὸ ἐσυίειν τὸν Χριστόν, ἐν τῷ ποιεῖν τὸ θέλημα τοῦ πέμψαντος« αὐτὸν καὶ τελειοῦν ἐκείνου τὸ ἔργον«, τὸ κοὶ πίνειν αὐτόν ἐστι , ἐν τῷ νοεῖν> θέλημα τοῦ πέμψαντος« αὐτὸν καὶ τελειῶσαι αὐτοῦ τὴν γνῶσιν. εἰ δὲ δύναται ἢ μὴ εἰς ταύτην τὴν διαφορὰν ἀναφέρεσθαι <καὶ> τὸ ἡ σάξ ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις«, καὶ σὺ κρινεῖς. λέγοι γὰρ ἄν τις ὅτι ἀληθῶς μέν βρῶσις ἡ πρᾶξις, ἀληθῶς δὲ πόσις ἡ θεωρία, καὶ ὁ τοῦτο φάσκων ἐρεῖ ὅτι διὰ

τοῦτο πρῶτον δίδωσι τὸν »ἄρτον εὐλογήσας« καὶ κλάσας »τοῖς μαθηταῖς« — ἐπεὶ πρώτη ἐστὶν ἡ πρᾶξις, καὶ μετὰ τοῦτο »λαβὼν ποτήριον, εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες« — ἐπεὶ δεῖ τὰ τῶν πράξεων ῥυθμίσαντα καὶ τὸ πρακτικὸν κατορθώσαντα οὕτως ὁδεύειν διὰ τῶν προγνόντων καὶ ἐπὶ θεωρίαν αὐτῶν. καὶ γὰρ κατὰ τὸν προφήτην λέγεται τὸ »σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζο)ῆς«, ἵνα πρῶτον πράξωμεν τὸ δέον· καὶ μετὰ τοῦτό φησι· »φωτίσατε ἑαυτοῖς φῶς γνώσεως«, <ὡς> ὁδῷ γὰρ τις μετὰ τὸ τὰ καθᾶραι ὁδεύοι ἂν ἐπὶ τὴν γνῶσιν καὶ φωτίζοιτο ἐν αὐτῇ.

Καὶ ταῦτα δὲ παρεκβατικῶς λέλεκται διὰ τὴν περὶ τοῦ ποτηρίου βαθυτέραν ἐξέτασιν. κοὶ ἐν εἰκοστῷ δευτέρῳ Ψαλμῷ λέλεκται πρῶτον μέν τὸ »ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με«, ἐξῆς δὲ καὶ τό· ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον«. μὴ ὑπο- λαμβανέτω δ’ ἡμᾶς ὁ ἐντυγχάνων τῇδε τῇ γραφῇ κροτεῖν ὅτι ἐχρῆν Πως διηγήσασθαι τὰ περὶ τῶν ἀναγεγραμμένων καθίσεων τοῦ θεοῦ ἢ τοῦ Χριστοῦ. ἀπολογούμεθα γὰρ ὅτι δυσωπῆσαι μόνον ἀπὸ τῶν ῥητῶν προέκειτο Ta περὶ καθίσεως καὶ αποστησαι του εντυγχανοντα απο τῆς ταπεινοτέρας ἐκδοχῆς. ἄλλῳ γὰρ καιρῷ ἐχρῆν Προηγουμένην τινὰ σκέψιν ποιήσασθαι περὶ καθίσεως Λ·αὶ στάσεως καὶ περιπάτου θεοῦ ἢ τοῦ Χριοτοῦ, ὅπερ οὐκ ἀπαιτεῖ ἡ ποροῦσα διήγησις· μεγίστη γὰρ ἂν καὶ ἄκαιρος ἐγένετο ἡ παρέκβασις.

πλὴν τούτων λεχθέντων ὑπὸ τοῦ σωτῆρος πρὸς τὴν ἀξίωσιν τῆς μητρὸς Ἰωάννου καὶ Ἰακώβου ἢ αὐτῶν τῶν υἱῶν Ζεβεδαίου ἀκούσαντες (φησὶν) οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν ὡς ἀξιωσάντων προτιμηθῆναι τῶν λοιῶν. παρατήρει δ’ ὅτι καὶ Ἰούδας ἐν τοῖς ἀγανακτοῦσιν ἦν (καὶ ανέγραψε τοῦτο καὶ ὁ Μᾶρκος). εἰ δὲ ἐν τοῖς ἀγανακτοῦσιν ἦν μετὰ τῶν λοιπῶν ἐννέα, μήποτε ἔτι οὐδέ- πω βεβλήκει ὁ διόβολος εἰς τὴν καρδίαν« αὐτοῦ, ἵνα αὐτὸν« τὸν κύριον ἡμῶν »παρδῷ«, ’ ἔτι γA τῇ προαιρέσει εἷς τοῖν ποστόλων ὁ Ἰούδος ἦν. πολλὰ δέ περὶ αὐτοῦ ἐν τοῖς πρὸ τού- των εἰπόντες, νῦν οὐκ ἐποναλαμβό- νομεν περὶ τοῦ κατασκευάοοι ὅτι Ἰούδας προαιρέσεως έὸν ὁποίας Λαὶ οἱ λοιποὶ πέπτωκε κοὶ ἐνέπεσεν εἰς τὴν παγίδα τοῦ πονηροῦ, γA φιλαρ- γυρήσας καὶ προδοὺς τὸν σο)τῆρα.

Ὁ δὲ Ἰησοῦς προδκαλεσάμενος αὐτοὺς εἶπεν· οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ <τὰ> ἕως τοῦ καὶ δοῦναι τὴν Ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν (20, – 28). τούτοις τὰ ἰσοδυναμοῦντα καὶ ὁ Μᾶρκος ἀνέγραφεν. ἐτηρήσαμεν δὲ ὥνπερ ἐπ’ ἄλλων πλεόνων καὶ τὴν τάξιν τῶν ἀναγεγραμμένο)ν τη- ροῦντας Ματθαῖον καὶ Μάρκον, ἔτε θεραπειῶν ἔτε λόγων, οὕτο)ς καὶ ἐνταῦθα. ἐξῆς γὰρ τὰ ἀπὸ τοῦ »μέλλων δέ ὁ Ἰησοῦς ἀναβαίνειν εἰς Ἰεροσόλυμα κοὶ] παρέλαβε τοὺς δώδεκα κατ’ ἰδαν« μέχρι τοῦ »εὐθέως δέ ἀποστέλλει αὐτοὺς« πάντα τῇ τάξει τετήρηκε καὶ ὁ Μάρκος ἀπὸ τοῦ ἦσαν δέ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἰεροσόλυμα« μέχρι τοῦ »εὐθέως αὐτὸν ἀποστέλλει πάλιν ὧδε«. σὺ δέ πορευθεὶς τὰ εὐαγγέλια ἀλλήλοις κατὰ τοὺς τόπους τούτους καὶ συγκρίνων

αὐτοὺς εὑρήσεις τὸ λεγόμε- νοι·. καὶ ὁ Λουκᾶς μέντοι ἐκ μέρους τὸ ὅμοιον ἀνέγραφε προτάξας αὐτῶν τὸ ἐγένετο δέ φιλονεικία αὐτῶν, τὸ τίς αὐτῶν <ἂν εἴ> η μείζων«. ἐν τούτοις γὰρ ἐπιφέρει· »ὁ δέ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. ὑμεῖς δέ οὐχ οὕτως« καὶ τὰ ἑξῆς. ταῦτα μέν οὖν λελέχθω, ἵν' ἡμᾶς μὴ λανθάνῃ τὰ περὶ τῆς ἰσοδυναμίας τῶν κατὰ τὸν τόπον τετηρημένης Ματθαίῳ καὶ Μάρκῳ, καὶ ἐκ μέρους τῷ Λουκᾷ. ἤδη δὲ καὶ τὴν διάνοιαν τῶν λεγομένων ἡμῖν ἐξεταστέον. Προείρηται ὅτι τῶν παρὰ τῷ Ἰησοῦ πρωτείων ἐπεδικάζοντο Ἰάκωβος καὶ Ἰωάννης, καὶ ἠξίουν λαβεῖν τὸ καθίσαι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἢ ἡ μήτηρ αὐτῶν τοῦτο ᾔτει περὶ αὐτῶν), καὶ λέλεκται ὅτι ἐπὶ τούτοις, ὡς καὶ αὐτοὶ τῶν παρὰ τῷ Ἰησοῦ πρωτείων ἐπιδικαζόμενοι, οἱ λοιποὶ »ἠγανάκτησαν δέκα«, εἰ ὑφαρπάζειν βούλονται Ἰάκωβος κα Ἰωάννης, ὡς ὑπὲρ τοὺς λοιποὺς δέκα ὄντες, τὴν πρὸς τὸν Ἰησοῦν κατὰ τὴν δόξαν ἐγγύτητα. τούτων δὲ προειρημένων κατὰ τὸ εὔλογον ὁ Ἰησοῦς προσκαλεπιται ἤτοι τοὺς ἀγανακτήσαντας δέκα, ἢ καὶ μετὰ τῶν λοιπῶν δύο, κοὶ διδάσκει τὴν ὁδὸν καθ' ἣν μέγας καὶ πρῶτός τις ἔσται παρὰ τῷ θεῶ. τὸ δὲ λεγόμενον τοιοῦτον ἦν ὅτι οἱ μέν τῶν ἐθνῶν ἄρχοντες ἢ δοκοῦντες« αὐτῶν »ἄρχειν«) οὐκ ἀρκούμενοι τῷ κυριεύειν τῶν ὑποτεταγμένων, βιαιότερον αὐτῶν κρατεῖν θέλοντες καὶ κατακυριεύουσιν αὐτῶν. ὁμοίως δὲ καὶ οἱ ὡς κατὰ τὴν ἐν τῷ βίῳ τούτῳ ἀξίαν ἐν τοῖς ἔθνεσι μεγάλοι οὐχ ἵστανται ἐπὶ τοῦ ἐξουσιάζειν τῶν ὑπηκόων, ἀλλὰ κατεξανιστάμενοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. ἐν ὑμῖν δὲ τοῖς ἐμοῖς γνωρίμοις μὴ ἔστω ταῦτα, μηδὲ οἱ ἀρχήν τινα ἐγκεχειρισμένοι τῶν εἰς ἐμέ πιστευόντων ἢ ἐξουσίαν ἐν ἐκκλησίᾳ τοῦ πατρός μου καὶ θεοῦ ἔχειν νενομισμένοι κατακυριευέτωσαν τῶν ἰδίων ἀδελφῶν ἢ κατεξουσιαζέτωσαν τῶν ἐπὶ τὴν δι' ἐμοῦ θεοσέβειαν καταπεφευγότων. ἀλλ' εἴπερ βούλεταί τις παρὰ τῷ πατρί μου κριθῆναι μέγας καὶ συγκρίσει τῶν ἑαυτοῦ ἀδελφῶν ὑπερέχων, πᾶσι διακονείτω ὧν βούλεται εἶναι μεί(ων. εἰ δὲ καὶ τῶν παρ' ἐμοὶ πρωτείων τις ὀρέγεται, ἴστω μηδενὸς ἔσεσθαι πρῶτος, ᾧ πορὸν δουλεύειν μὴ ἐδούλευσε δουλείαν τὴν κοὶ ἐν μετριότητι καὶ τῇ ἐπαιντῇ ταπεινότητι, τόν τε δουλεύοντα ὠφελπῆσαι δυναμένην ὀνῆσαι δὲ ἢ ἀναπαῦσαι καὶ τοὺς δουλευομένους. ὁ δὲ Λουκᾶς βασιλεῖς καὶ ἐξουσιάζοντας ἐθνῶν προλαμβάνει εἰς τὸν λόγον, ἀποτρέπον τόν βουλόμενον εἶναι ἐν τοῖς ἀδελφοῖς μείζονα μιμεῖσθαι τὴν βασιλικὴν ἐξουσίαν ἢ τὴν τῶν ἐξουσιαζόντων τῆς κολακείας ἐπιθυμίαν, διδάσκων <δ᾽ > ἡμᾶς ἵν ὁ μὲν ἀληθῶς ἐν ἡμῖν »μείζων« γένη- ται ὡς ὁ νεώτερος« τουτέστιν ὡς παιδίον) ἁπλότητος κοὶ ἰσότητος χάριν, ὁ δὲ »ἡγούμενος οὕτω δὲ οἶμαι ὀνομάζειν τὸν καλούμενον ἐν τοῖς ἐκκλησίαις ἐπίσκοπον) ὡς ὁ« τοῖς ὑπηρετουμένοις διακονούμενος.

Καὶ ταῦτα μὲν ὁ τοῦ θεοῦ διδάσκει ἡμᾶς λόγος. ἡμεῖς δὲ ἤτοι μὴ νοοῦντες τό βούλημα τῆς διδασκαλίας ἐν τούτοις Ἰησοῦ ἢ καταφρονοῦντες τῶν τηλικούτων ὑποθηκῶν τοῦ σωτῆρος, τοιοῦτοί ἐσμεν ὡς ἐνίοτε κοὶ τὸν τῶν κακῶς ἀρχόντων ἐν τοῖς ἔθνεσιν ὑπερβάλλειν τῶφον καὶ μονονουχὶ ζητεῖν ὅς οἱ βασιλεῖς δορυφόρους, κοὶ φοβεροὺς ἑαυτοὺς καὶ δυσπροσίτους μάλιστα τοῖς πένησι κατασκευάζοντες,

τοιοῦτοί εσμεν προς αυτους, ἐντυγχάνοντας ἡμῖν καὶ περί τινων ἀξιοῦντας, ὡς οὐδὲ οἱ τύραννοι καὶ ὡμότεροι τῶν ἀρχόντων πρὸς τοὺς ἱκέτας. καὶ ἔστι γε ἰδεῖν ἐν πολλαῖς νομιζομέναις ἐκλησίαις, καὶ μάλιστα ταῖς τῶν μει(όνων πόλεων, τοὺς ἡγουμένους τοῦ λαοῦ τοῦ θεοῦ μηδεμίαν ἰσολογίαν I <ἔχοντας ἢ πρὸς αὐτοὺς ἔχειν> ἐπιτρέποντος, ἔσθ' ὅτε κοὶ τοῖς καλλίστοις τῶν Ἰησοῦ μαθητῶν * * * εἶναι πρὸς αὐτούς. κοὶ ὁ μὲν ἀπόστολος τοῖς κυρίοις περὶ τῶν οἰκετῶν ἐντολὴν δίδωσι λέγων· »οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ«· διδάσκει δέ καὶ ἀνιέναι τὴν ἀπειλὴν τοὺς δεσπότας κατὰ τῶν οἰκετῶν. ἔστι δέ τινας ἰδεῖν <ἐπισκόπου> ὠμῶς ἀπειλοῦντας, ὁτέ μέν προφάσει ἁμαρτίας, ὁτέ δὲ τῷ καταφρονεῖν τῶν πτωχῶν, παρὰ τὸν ἀποστολικὸν λόγον ἐν ᾧλέλεκται· »δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα. ἡμεῖς εἰς τὰ ἔθνην, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· μόνον τῶν πτωχῶν ἵνα μνημονεύω- μεν«, καὶ πόλιν τὴν πρὸς τοὺς ὑποχερίους ἰσότητα μήτε ἐννοοῦντας μήτε φανταζομένους ὅτι καθήκει ἀτυφίαν Λ·οἰ ἰσότητα μάλιστα Χριστιανοῖς ἐμπολιτεύεσθαι, κοὶ ἐξαιρέτως ἐν τοῖς ὑπεροχήν τινα ὀνόματος ἐκκλησιαστικοῦ φοροῦσι· γέγραπται γάρ· »ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν, κοὶ ἔνοντι κυρίου εὑρήσεις χάριν«. ἐχρῆν δ' ἡμᾶς εἰδέναι καὶ τὸ ἐν Παροιμίαις οὕτως εἰρημένον· πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρός, καὶ πρὸ δόξης ταπεινοῦται«, ἐκκλίνειν δέ καὶ τὸ περιπεσεῖν τῷ <μέγα> φρονῆσαι ἢ εἰπεῖν λόγον, ὃν εἶπεν ὁ »θέλων ἑαυτὸν δικαιῶσαι« πρὸς τὸν Ἰησοῦν διδάξαντα τὸ »ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν«, ὃς οὐκ ᾐδέσθη τῷ σωτῆρι εἰπεῖν· »καὶ τίς ἐντί μου πλησίον;« ἔδει δὲ καὶ ἀπὸ Παύλου ἀνεγνωκέναι τὸ »δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα«. ἐχρῆν μιμήσασθαι καὶ τὸ »ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε«;

Οἱ ἄρχοντες οὖν τῶν μὲν Μνῶν κατακυριευέτωσαν αὐτῶν, τῆς δὲ ἐκκλησίας δουλευέτωσαν αὐτῇ. ἀλλὰ καὶ οἱ μεγάλοι μέν τῶν ἐθνῶν κατεξουσιαζέτωσαν αὐτῶν, τῶν δὲ πιστῶν ἀκουέτωσαν τοῦ »μάθετε ἀπ' ἐμοῦ. ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν«. παιδευώμεθα δέ καὶ πρὸς τὸ μὴ ἀποδέχεσθαι κολακείας μηδὲ ἡδέο)ς καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφ' οἷς ἂν δόξωμεν εὖ τινας πεποιηκέναι, »ευεργεται«. οὐ ταῦτα δέ φαμεν ἀνεπιστημόνως, ταπεινοῦν ἑαυτοὺς θέλοντες ὑΠὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ« καὶ κατὰ τόν λόγον αὐτοῦ ὑπὸ τὴν ἐκκλησιαστικὴν διακονίαν · ἔστι δ' ὅτε χρὴ (κατὰ τὴν ἀποστολικὴν φ(ονὴν) τοὺς ἁμαρτάνοντος ἐνώπιον πάντων« ἐλέγχειν, ἵνα καὶ οἱ λοι- ποὶ φόβον ἔχωσιν«. ἔστι δ' ὅτε δεῖ χρησόμενον τῇ ἐξουσίᾳ »παραδοῦναί« τινα »τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου«. σπανίως δὲ τὸ τοιοῦτο ποιητέον· νουθετητέον γὰρ τοὺς ἀτάκτους« καὶ παραμυθητέον »τοὺς ὀλιγοψύχους« καὶ ἀνθεκτέον »τῶν ἀσθενῶν« καὶ πρὸς πάντας« δέ μακροθυμητέον καὶ οὐδενὶ κακὸν ἀντὶ κακοῦ« ἀποδοτέον. καὶ οὐ χρὴ ἡγεῖσθαι ἐχθρὸν εἶναι τὸν ἁμαρτάνοντα, ἀλλ' ἀκουστέον τοῦ ἀποστόλου λέγοντος· μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν«.

κοὶ ταῦτα πάντα μοι λέλεκται βουλομένῳ κατὰ τὸν λόγον προστῆσαι ὅτι οὐ μιμητέον τῷ ἄρχοντι τῆς ἐκκλησίας τὸν ἄρχοντα τῶν Μνῶν, οὐδὲ ζηλωτέον τοὺς κατακυριεύοντας κοὶ κατεξουσιάζοντος κοὶ βασιλεῖς· ἀλλ’ ὅση δύναμις καὶ ἐν τούτοις Χριστὸν μιμητέον τὸν εὐεντευκτοτατον κοὶ γυναιξὶν ὁμιλοῦντα καὶ παιδίοις ἐπιτιθέντα χεῖρας. εἰ κοὶ μείονα δὲ ἔχει λόγον τὸ Ἰησοῦν βεβληκέναι ὕδωρ εἰς νιπτῆρα« καὶ »τοὺς πόδας τῶν μαθητῶν« κεκαθαρκέναι, οὐδὲν ἧττον κοὶ κατὰ τὴν λέξιν ἀκουστέον αὐτοῦ περὶ τούτων λέγοντος· ὑμεῖς φωνεῖτέ με· ὁ διδάσκαλος καὶ ὁ κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γὰρ« καὶ τὰ ἐξῆς· διὰ τούτων γὰρ διδάσκει μιμητὰς αὐτοῦ τῆς ἐπαινετῆς ταπεινότητος γίνεσθαι τοὺς μαθητάς. τάχα δὲ καὶ ἐπεὶ κύριος ὢν ἐδούλευσεν ὑπὲρ ἀνθρώπων σωτηρίας τῷ γένει ἡμῶν, κατὰ τοῦτο λέγεται μορφὴν δούλου« ἀνειληφέναι καὶ τεταπεινωκέναι ἑαυτὸν γενόμενον ὑπήκοον μέχρι θανάτου«. καὶ εἴπερ διὰ τοῦτο ’ὁ θεὸς αὐτὸν ὑπερύψωσεν«, ὁ βουλόμενος ὑψοῦσθαι τὰ παραπλήσια ποιησάτω τῷ διὰ τόδε τινὰ ὑπερυψοῦσθαι.

Καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου <οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι· ἐπεὶ> εἰ κοὶ διηκονήθη, ἡνίκα »ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ« καὶ πόλιν διηκονήθη ὑΠὸ τῆς Μάρθας, ἀλλ’ οὐ διὰ τοῦτο ἐλήλυθε τὸ διακονηθῆναι· ἐπεδήμησε γὰρ τῷ γένει τῶν ἀνθρώπω ἵνα διακονήσῃ καὶ ἐπὶ τοσοῦτον ὁδεύσῃ διακονῶν ἡμῶν τῇ σωτηρίᾳ, ὡς δοῦναι τὴν ἑαυτοῦ Ψυχὴν λύτρον ἀντὶ πολλῶν τῶν πιστευσόντων εἰς αὐτόν. κοὶ εἰ καθ’ ὑπόθεσιν πάντες ἐπίστευον εἰς αὐτόν, δεδώκει ἂν τὴν Ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πόντων. τίνι δέ ἔδωκε τὴν Ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν; οὐ γὰρ δὴ τῷ θεῷ· μήτι οὖν τῷ πονηρῷ; οὗτος γὰρ ἐκρότει ἡμῶν, ἕως δοθῇ τὸ ὑπέρ ἡμῶν αὐτῷ λύτρον ἡ τοῦ Ἰησοῦ ψυχή, ἀπατηθέντι <δηλονότι καὶ φαντασθέντι> ὡς δυναμένῳ αὐτῆς κυριεῦσαι καὶ οὐχ ὁρῶντι ὅτι οὐ φέρει τὴν ἐπὶ τῷ κατέχειν αὐτὴν βάσανον. διὸ καὶ »θάνατος αὐτοῦ« δόξας κεκυριευκεναι »ουκετι κυριευει« γενομενου <μόνου> ἐν νεκροῖς« ἐλυθέρου καὶ ἰσχυροτέρου τῆς τοῦ θανάτου ἐξουσίος, καὶ επὶ τοσουτον ἰσχυροτέρου ὥστε καὶ πάντας τοὺς βουλομένους αὐτῷ ἀκολουθεῖν τῶν κρατουμένων ὑπὸ τοῦ θανάτου δύνασθαι ἐλευθεροῦν, οὐδὲν ἰσχύοντος κατ’ αὐτῶν ἔτι τοῦ θανάτου. πᾶς γὰρ ὁ μετὰ τοῦ Ἰησοῦ <ὢν> ἀνεπίληπτός ἐστι θανάτω. ἐν μὲν οὖν τοῖς ἐξεταζομένοις τοῦ εὐαγγελίου ῥητοῖς γέγραπται ὁ σωτὴρ ἡμῶν δεδωκέναι τὴν ἑαυτοῦ Ψυχὴν λύτρον ἀντὶ πολλῶν. παρὰ δὲ τῷ Πέτρῳ εἴρηται ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ καὶ χρυσίῳ, ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι«· καὶ ὁ ἀπόστολος δέ φησι· »τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων«. οὐκοῦν ἠγοράσθημεν μὲν τῷ τιμίῳ τοῦ Ἰησοῦ αἵματι, δέδοται δέ λύτρον ὑπέρ ἡμῶν ἡ Ψυχὴ τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οὔτε τὸ πνεῦμα αὐτοῦ πρότερον γὰρ αὐτὸ παρέθετο τῷ πατρὶ λέγων· »πάτερ, εἰς χεῖράς σου προτίθεμαι τὸ πνεῦμα μου«) οὔτε τὸ σῶμα οὐδὲν γὰρ εὕρομέν πω τοιοῦτον περὶ αὐτοῦ γεγραμμένον). καὶ ἐπεὶ δέδοται ἡ Ψυχὴ αὐτοῦ λύτρον ἀντὶ πολλῶν, οὐκ ἔμενε δὲ παρ’ ἐκείνῳ ᾧ ἐδέδοτο λύτρον ἀντὶ πολλῶν, διὰ τοῦτό φησιν ἐν πεντεκαιδεκάτῳ Ψαλμῷ τὸ οὐκ ἐγκαταλείψεις τὴν Ψυχήν μου εἰς ᾅδην«.

Γενόμενος δέ ἄπαξ κατὰ τὸν τόπον ὑπομνήσαιμ’ ἂν τοὺς φαντασίᾳ δοξολογίας τῆς Περὶ τοῦ Χριστοῦ συγχέοντας τὰ Περὶ τοῦ πρωτοτόκου πάσης κτίσεως τοῖς περὶ τῆς ψυχῆς καὶ τοῦ σώματος Ἰησοῦ, τάχα δέ κοὶ τοῦ πνεύματος αὐτοῦ, κοὶ ἔν πάντη ἀσύνθετον οἰομένους εἶναι τὸ ὀφθέν καὶ ἐπιδημῆσαν τῷ βίῳ, ὅτι μὴ ὑγιῶς λέγουσι. πυθώμεθα γὰρ αὐτῶν εἰ ἡ θειότης τῆς εἰκόνος τοῦ θεοῦ τοῦ ἀοράτου« καὶ ἡ ὑπεροχὴ τοῦ πρωτοτόκου πόσης κτίσεως«, εἰ ἐκεῖνος ἐν ᾧ »ἔκτισται τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι« λύτρον ἐδόθη ἀντὶ πολλῶν· καὶ τίνι ἐδόθη ἐκείνη λύτρον πολεμίῳ κατέχοντι ἡμᾶς αἰχμαλώτους ἕως λάβῃ τὸ λύτρον , καὶ εἰ ἐχώρει τὸ τηλικοῦτον κοὶ τοσοῦτον ἐκεῖνος λύτρον ἀντὶ τῶν αἰχμαλώτων λαβεῖν. κοὶ οὐ ταῦτά φημι ὡς καταφρονῶν τῆς Ψυχῆς Ἰησοῦ κοὶ σμικρύνων αὐτήν, ἀλλὰ βουλόμενος τάυτην μὲν κατὰ τὸ ἐνδεχόμενον λύτρον δεδόσθαι ὑπὸ τοῦ ὅλου σωτῆρος, τὴν δέ ὑπεροχὴν καὶ τὴν θεότητα ἐκείνην μηδ’ ἂν δεδυνῆσθαι λύτρον δοθῆναι. πλὴν σήμερον οὐ λύω τὸν Ἰησοῦν ἀπὸ τοῦ Χριστοῦ, ἀλλὰ πολλῷ πλέον οἶδα ἕν εἶναι Ἰησοῦν τὸν Χριστὸν καὶ τὴν Ψυχὴν αὐτοῦ πρὸς τὸν πρωτότοκον »πάσης κτίσεως« ἀλλὰ καὶ τὸ σῶμα αὐτοῦ, ὡς πλέον εἰ δεῖ οὕτως ὀνομάσαι) εἶναι ἐν ὅλον τοῦτο, ἅπερ ὁ κολλώμενος τῷ κυρίῳ ἕν πνεῦμά ἐστιν«.

Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχὼ ἠκολούθησεν αὐτῳ ὄχλος πολύς. κοὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν« κοὶ <τὰ> ἑΞῆς (20, 29- 30 [34]).

Ἔστω μέν κοὶ τὰ τῆς ἱστορίας τῶν κατὰ τὸν τόπον ἀληθῆ, καὶ ἐκπορευομένῳ ἀπὸ τῆς Ἰεριχὼ τῷ Ἰησοῦ μετὰ τῶν μαθητῶν ἠκολουθηκέναι αὐτῷ ὄχλον πολύν. καὶ τυφλοὶ δύο παρὰ τὴν ὁδὸν καθεζόμενοι τῆς ἀπὸ Ἰεριχὼ ἐξόδου ἀκούσαντες ὅτι Ἰησοῦς παρέρχεται τὸν τόπον ἐκεῖνον, κοὶ αὐτοὶ κράξαντες εἰρηκέτωσαν· ἐλέησον ἡμᾶς, κύριε, υἱὲ Δαυΐδ« καὶ συμπεφωνηκότων ἐν τῷ κεκραγότας τὸ ἀναγεγραμμένον εἰρηκέναι. καὶ διὰ τοὺς τυφλοὺς ἀξιώσαντας ἐλεηθῆναι στὰς ὁ Ἰησοῦς πεφωνηκέτω αὐτούς, ἵνα μὴ παράγων καὶ παρερχόμενος αὐτοὺς καλῇ ἀλλὰ καὶ ἑστηκώς, καὶ πυνθανόμενος εἰρηκέτω αὐτοῖς· τέ θέλετε ἵνα ποιήσω ὑμῖν; τήν τε ἀξίωσιν ἰδικώτερον ἤδη παριστάντες οἱ τυφλοὶ εἰρηκέτωσαν αὐτῷ θέλειν ἵνα ἀνοιγῶσιν ἀπὸ τοῦ Ἰησοῦ οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ὁ φιλάνθρωπος ἡμῶν καὶ συμπαθὴς σωτὴρ σπλαγχνισθεὶς ἐπὶ τοῖς τυφλοῖς, σπλαγχνισθεὶς δ’ οἶμαι) τῷ προειληφέναι ἐκείνους τὸ Προκαλούμενον τὸν ἵν’ οὕτως ὀνομάσω) ἔλεον τοῦ Ἰησοῦ, ὅπερ ἦν τὸ κεκραγότας εἰρηκέναι· ἐλέησον ἡμᾶς, κύριε, υἱέ Δαυΐδ καὶ πεπιστευκότας ἠξιωκέναι ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ αὐτῶν, ἁψάμενος αὐτά τῶν τῶν ὀφθαλμῶν <καὶ> δύναμιν διὰ τῆς ἰατικὴν ἐνιεὶς τοῖς ὀφθαλμοῖς πεποιηκέτω τοὺς τυφλοὺς ἀναβλέπειν, κἀκεῖνοι εὐχαρίστως ἠκολουθηκέτωσαν τῷ Ἰησοῦ. καὶ πιστεύσας τις τούτοις καὶ γινώσκων δὲ τὸ »ἐὰν μὴ πιστεύσητε, οὐ μὴ συνῆτε«, ἐκ τοῦ πεπιστευκέναι »κατὰ τὴν ἀναλογίαν τῆς πίστεως« τὸ συνιέναι εἰληφέτω, καὶ εἰληφὼς λεγέτω τὰ περὶ τούτων κατὰ τὸν περὶ αὐτῶν τῆς πίστεως θεμέλιον περὶ αὐτῶν ἑρμηνεύων κατὰ τὸ ἐπίστευσα, διὸ ἐλάλησα«, καὶ ἔστω ὁ τοιοῦτος οὐ μόνον πιστεύων τῷ Ἰησοῦ καὶ τοῖς κατὰ τὸν τόπον τοῦτον ἀναγεγραμμένοις, ἀλλὰ καὶ γινώσκων τὸν περὶ αὐτῶν νοῦν. ὁ γὰρ μένων ἐν τῇ τῆς πίστεως ἀληθείᾳ

κοὶ διὰ τῶν ἔργο)ν τοῦ λόγου ἐμμένων »τῷ λόγῳ« κατὰ τὴν Ἰησοῦ ἐπαγγελίαν γινώσκει τὴν ἀλήθειαν« καὶ ὑπ' αὐτῆς ἐλευθεροῦται.

Καὶ ἡμεῖς δέ, ἐπεὶ μὴ πιστεύοντες μὲν οὐ συνίεμεν τοῦ βουλήματος τῶν λεγομένων συνιέντες δέ ἐκ τοῦ πιστευειν ουνιεμεν, φέρε τὰ ὑποπίπτοντα ἡμῖν εἰς τὸν τόπου. εὐξάμενοι τῷ ῥυομένῳ ἡμᾶς ἀπὸτοῦ κεκαλύφθαι ἡμῖν τὸ εὐαγγέλιον«, καθὸ χωροῦμεν παραστήσωμεν. καὶ πρῶτόν γε κατανοήσωμεν τί τὸ ἐκπορευομένων ἀπὸ Ἰεριχὼ τῶν μαθητῶν τοῦ Ἰησοῦ μετὰ τοῦ σωτῆρος ἠκολουθηκέναι αὐτῷ πολὺν ὄχλον. ὅρα τοίνυν εἰ δύνασαι, μεμνημένος τῶν ἡμῖν ὑπαγορευθέντων εἰς τὴν ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ παραβολὴν τὴν »ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχώ, καὶ περιέπεσε λῃσταῖς«, ἐπιστήσας λέγειν μήποτε κοὶ ἐνταῦθα Ἰεριχὼ σύμβολόν ἐστι τοῦ περιγείου τόπου συνήθως καλουμένου κατὰ τὴν γραφὴν κόσμου. ὁ μὲν οὖν καταβαίνων »ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ« Ἀδὰμ (τουτέστιν ἄνθρωπος) περιπέπτωκε »λῃσταῖς«. διὰ δὲ τοὺς ἐν Ἰεριχὼ πολλοὺς πολὺς γὰρ ὄχλος ἐν Ἰεριχὼ) ὁ Ἰησοῦς ἡμῶν ἅμα τοῖς μαθηταῖς γενόμενος ἐν αὐτῇ ἐκπορευέσθω πραγματευόμενος (διὰ δὴ τοῦ εἰς τὴν Ἰεριχὼ εἰσεληλυθέναι) τὸ τοὺς βουλομένους ἕπεσθαι ὁδηγεῖν. οὐ γὰρ οἴδασιν οἱ ἐν Ἰεριχῶ ἐξελθεῖν ἀπὸ τοῦ κοσμικοῦ φρονήματος, ἐὰν μὴ θεόσδοτα οὐ μόνον τὸν Ἰησοῦν ἐκπορευόμενον ἀπὸ τῆς Ἰεριχὼ ἀλλὰ κοὶ ἰοὺς μαθητὰς αὐτοῦ. ταῦτα δέ θεωρήσαντες ἀκολουθοῦσιν αὐτῷ ὄχλος Πολύς. καὶ ἔστι κατανοοῦντα τοὺς κατὰ τὸν λόγον βιοῦν θέλοντας καὶ τοῦ κόσμου καὶτῶν περιγείων <ὅλων> καταφρονεῖν ἀκολουθοῦντας τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ καὶ κατ' ἴχνη βαίνοντας αὐτοῖς ἐκπορευομένοις ἀπὸ Ἰεριχώ, βλέΠειν τὰ κατὰ τὸν τόπον. ἀκολουθοῦσι μέντοι ὁ πολὺς ὄχλος τῷ Ἰησοῦ, ἵν' ὀπίσω αὐτοῦ βαδίζοντες καὶ αὐτῷ ὁδηγῷ χρώμενοι ἀναβῶσιν εἰς τὴν Ἰερουσαλήμ * * * .

(μετ᾽ ὀλίγα ἐπιφέρεται ὅτι ὅτε ἤγγισαν εἰς Ἰεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγὴν εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς καὶ τὰ ἑξῆς).

Εἶθ' ἑξῆς γέγραπται, οἱονεὶ δεικνύντος τοῦ λόγου τοὺς ὅσον οὐδέπω θεραπευθησομένους τυφλοὺς το καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι Παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· ἐλέησον ἡμᾶς, κύριε, υἱὲ Δαυΐδ. καὶ πρόσχες ἐν τούτοις τῷ καὶ ἰδοὺ δύο τυφλοί, εἰ μὴ δεῖξιν περιέχει τὸ ἰδού. εἴπερ οὖν δεικνύντι τῷ λόγῳ τοὺς δύο τυφλοὺς παρακολουθεῖν δυνάμεθα καὶ βλέπειν αὐτούς, φήσομεν ὅτι Ἰσραὴλ κοὶ Ἰούδας οἱ πρὸ τῆς Ἰησοῦ ἐπιδημίας τυφλοὶ ἦσαν, πλὴν καθεζόμενοι παρὰ τὴν ὁδὸν τῷ ἐν νόμῳ καὶ προφήταις ποιεῖσθαι τὰς διατριβὰς · τυ φλοὶ μὲν τῷ μὴ βλέΠεσθαι αὐτοῖς πρὸ τῆς Ἰησοῦ εἰς τὰς ψυχὰς αὐτῶν ἐπιδημίας τὸν ἐν νόμῳ καὶ τοῖς προφήταις ἀληθῆ λόγον· κεκραγότες δὲ τὸ ἐλέησον ἡμᾶς, κύριε, υἱέ Δαυΐδ παρὰ τὸ συναισθέσθαι ἑαυτῶν <τυφλῶν>, μὴ βλεπόντων τὸ βούλημα τῶν γραμμάτων καὶ βουλομένων ἀναβλέπει καὶ ἰδεῖν τὴν ἐν αὐτοῖς δόξαν. ὡς ἔτι δὲ τυφλοὶ καὶ μηδέν μέγα περὶ τοῦ Ἰησοῦ φανταζόμενοι, ἀλλὰ τὸ κατὰ σάρκα αὐτοῦ μόνον νοοῦντες, καλοῦσι τὸν γενόμενον ἐκ σπέρματος Δαυΐδ κατὰ σάρκα«, ἐπεὶ μηδέν τούτου πλέον συνιεσαν, υἱὸν Δαυΐδ καὶ πᾶσα αὐτῶν

ἡ δοκοῦσα διὰ τὴν θεοσέβειαν μεγαλοφωνία οὐδὲν πλέον ἥδει λέγειν περὶ τοῦ σωτῆρος ἢ ὅτι υἱὸς ἦν τοῦ Δαυΐδ. ἐὰν δέ λέγω δύο τυφλοὺς τὸν πρὸ τῆς Ἰησοῦ εἰς τὴν ψυχὴν αὐτῶν ἐπιδημίος Ἰσραὴλ καὶ Ἰούδαν, ἄναγε σαυτὸν ἐπὶ τὰς <δύο> βασιλείας, καὶ κατανόησον κατὰ τοὺς χρόνους Ῥοβοὰμ διαιρούμενον τὸν λαὸν Ἰσραὴλ καὶ Ἰούδαν · καὶ ἐξῆς ὅρα τοὺς προφήτας. ὁτέ μὲν τῷ Ἰσραὴλ ὁτέ δὲ Ἰούδᾳ Ἰούδᾳ προφητεύοντας, ὅΠου δέ ἅμα ἀμφοτέροις. ἰδίᾳ μὲν οὖν πῶς ἑκατέρῳ προφητεύουσιν εὕροις ἂν προσέχων τῇ ἀναγεννήσει τῶν προφητῶν, ἅμα δὲ Ἰσραὴλ καὶ Ἰούδᾳ, ἡνίκα διὰ τοῦ Ἰησοῦ ἐπαγγέλλεται ὁ θεὸς συντελέσειν ἐΠὶ τὸν οἶκον <Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον> Ἰούδα διαθήκην κοινήν, οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησεν« ὁ θεὸς τοῖς πατράσιν« ἐπιπορευομένοις ἐκ γῆς Αἰγύπτου. καὶ τυφλοὶ γε ὄντες ὁ Ἰσραὴλ Περὶ οὗ πολλάκις ἀποδεδώκαμεν ἀντιδιαστελλόμενοι αὐτὸν πρὸς τὸν κατὰ σάρκα Ἰσραὴλ) κοὶ Ἰούδα ὁμοίως ἀκούσαντες φησὶν) ὅτι Ἰησοῦς παράγει, ἔκραξαν· ἀκούσοντες φησὶν ὅτι] γὰρ (οἶμαι) τῶν κηρυσσόντων τὰ περὶ τῆς Ἰησοῦ ἐΠιδημίας καὶ ὅτι παράγει τὴν παρελευσομένην Ἰεριχὼ ἐπιδημῶν μέν <ἐν> αὐτῇ. ἐξελευσόμενος δέ ἀπ’ αὐτῆς), εὐλογοῦνται μὴ Παρέλθῃ αὐτοὺς μὴ ἐλεηθέντας · διὸ κεκράγασι πρὸς αὐτὸν λέγοντες · ἐλέησον ἡμᾶς, κύριε, υἱὸς Δαυΐδ. εὐεργετῶν δέ ὁ σωτὴρ οὐ παράγει, ἀλλ’ ἵπταται, ἵνα στάντος αὐτοῦ μὴ παραρρέῃ ἡ εὐεργεσία καὶ παρέρχηται, ἀλλ’ ὡς ἀπὸ πηγῆς ἑστώσης ἐγγένηται τοῖς εὐεργετουμενοις.

Στὰς οἶν ὁ Ἰησοῦς καὶ πληγεὶς ἀπὸ τῆς κραυγῆς αὐτῶν καὶ τῆς ἀξιώσεως καλεῖ αὐτοὺς πρὸς ἑαυτόν, τὴν ἀρχὴν τῆς εὐεργεσίας ἤδη ποιούμενος ὅτε ἐφώνησεν αὐτούς· οὐκ ἂν γὰρ κενῶς ἐφώνησε καὶ ἐπὶ τῷ μηδέν ἀνυσθῆναι ἐν τοῖς φωνηθεῖσίν. ὡς εἴθε καὶ ἡμῶν πρὸς αὐτὸν κεκραγότων κοὶ λεγόντων · ἐλέησον ἡμᾶς, κύριε, φωνήσοι ἡμᾶς ἀρχομένους ἀπὸ τοῦ υἱὸς Δαυΐδ καὶ στὰς γε φωνήσαι ἡμᾶς ὡς προσέχων ἡμῶν τῇ ἀξιώσει. εἶπεν οὖν ἐκείνοις· τί θέλετε ἵνα ποιήσω ὑμῖν; ὅπερ τοιοῦτον εἶναι νομίζω· τί θέλετε παραστήσατε, δηλώσατε, ἵνα πάντες οἱ ἐκπορευόμενοι ἀπὸ Ἰεριχὼ καὶ ἀκολουθοῦντές μοι ἀκούσωσι καὶ θεάσωνται τὸ γινόμενον. aXK ἐκεῖνοι ἀπεκρίναντο · κύριε, ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ ἡμῶν· ἤντινα ἀπόκρισιν οἱ εὐγενεῖς μέν (τῷ εἶναι Ἰσραὴλ καὶ Ἰούδα) τυφλωθέντες δέ ὑπὸ τῆς ἀγνοίας καὶ συνῃσθημένοι αὐτῆς) καὶ ἀκούσαντες τῶν λεγόντων περὶ τοῦ σωτῆρος <κεκρά> γασι Πρὸς αὐτόν, καὶ λέγουσι θέλειν ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ μάλιστα τοῦτό φασιν οἱ ἐν τῷ ἐντυγχάνειν τῇ ἱερᾷ γραφῇ μὴ ἀναισθητοῦντες ἑαυτῶν τυφλωττόντων πρὸς τὸν ἐν αὐτῇ νοῦν. οὗτοι γὰρ φασι τὸ ἐλέη - σον ἡμᾶς καὶ τὸ θέλομεν ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ ἡμῶν. ὡς εἴθε καὶ ἡμεῖς αἰσθανόμενοι, ἐν οἷς τυφλώττομεν καὶ οὐ βλέπομεν, παρ’ αὐτὴν καθεζόμενοι τῶν γραφῶν τὴν ὁδὸν <καὶ> ὅτι Ἰησοῦς Παράγει. διὰ τῆς ἡμετέρας ἀξιώσεως στήσαιμεν αὐτὸν καὶ εἴποιμεν ὅτι θέλομεν ἵνα ἀνοιγῶσιν οἱ ὀφθαλμοὶ ἡμῶν. ὅπερ ἐὰν εἴπωμεν ἀπὸ διαθέσεως ὀρεγομένης τοῦ βλέπειν ἃ χαρίζεται βλέπειν ἀλάμενος τῶν τῆς ψυχῆς ὀφθαλμῶν Ἰησοῦς, σπλαγχνισθήσεται ὁ σωτὴρ ἡμῶν, καὶ ὡς δύναμις καὶ λόγος καὶ σοφία κοὶ πάντα ὅσα ἀναγέγραπται περὶ αὐτοῦ τυγχάνων, ἄψεται τῶν πρὸ αὐτοῦ μὴ βλεπόντων ὀφθαλμῶν ἡμῶν.

καὶ ἁψαμένου αὐτοῦ φεύξεται μέν τὸ σκότος καὶ ἡ ἄγνοια, εὐθέως δὲ οὐ μόνον ἀναβλέψομεν ἀλλὰ κοὶ ἀκολουθήσομεν αὐτῷ, αὐτοῦ τοῦ ἀναβλέπειν ἡμᾶς παρ' αὐτὸν συνεργοῦντος πρὸς τὸ μὴ ἄλλο τι πρᾶξαι ἢ ἀκολουθεῖν τῷ ἀναβλέψαι ποιήσοντι, ἵνα ἀεὶ ἑπόμενοι αὐτῷ ὁδηγηθῶμεν ὑπ' αὐτοῦ πρὸς τὸν θεὸν κοὶ ὁρῶμεν τοῖς ἀναβλέψασι δι' αὐτὸν ὀφθαλμοῖς ἡμῶν τὸν θεὸν μετὰ τῶν μακαριζομένων ἐπὶ τῷ καθαρὰν ἔχειν τὴν καρδίαν. ἔχομεν οὖν τοὺς ἐκπορευομένους ἀπὸ Ἰεριχὼ καὶ ἀκολουθοῦντας τῷ Ἰησοῦ ὄντας ὄχλον πολύν, τοὺς οὐκ Ἰσραὴλ οὐδὲ Ἰούδαν· τοὺς δέ δύο τυφλοὺς ἀκούσαντας ἅτι Ἰησοῦς παράγει καὶ ἐκδότης ὅτι υἱός ἐστι Δαυῒδ καὶ συναισθομένους τῆς ἑαυτῶν τυφλότητος καὶ ἀξιοῦντας ἀνοιγῆναι τοὺς ὀφθαλμοὺς αὐτῶν, Ἰσραὴλ καὶ Ἰούδαν ἰοὺς ἀποδεδομένους, ὧν κεκλεισμένοι οἱ ὀφθαλμοὶ κοὶ συμμεμυκότες διὰ τῆς ἀφῆς ἀναβλέπουσιν Ἰησοῦ. ταῦτα μὲν κατὰ τὸν Ματθαῖον.

Ἐπεὶ δέ Μάρκος κοὶ Λουκᾶς κατὰ τινὰς μέν τὴν αὐτὴν ἱστορίαν ἐκτίθενται κατὰ δέ τινὰς ἑτέραν παραπλησίαν, ἄξιόν γε καὶ τὰ τούτων ἰδεῖν. καὶ πρῶτόν γε κατανοητέον τὴν κατὰ τὸν Μᾶρκον, οὕτως ἀναγράφοντα τὰ κατὰ τόν τόπον· καὶ ἔρχεται εἰς Ἰεριχώ. καὶ ἐκπορευομένου αὐτοῦ ἐκεῖθεν καὶ τῶν μαθητῶν αὐτοῦ κοὶ ὄχλουἱκανοῦ, ἰδοὺ ὁ υἱὸς Τιμαίου Βαρτιμαῖος τυφλὸς« καὶ τὰ ἑξῆς, ἕως τοῦ »καὶ ἠκολούθει αὐτῷ ἐν τῇ ὁδῷ«. ὁ μὲν οὖν τῇ ἱστορίᾳ Ψιλῇ παριστάμενος καὶ μὴ βουλόμενος διαφωνεῖν τοὺς εὐαγγελιστάς, ἐρεῖ οὐχ ὅμα γεγονέναι τὸ κατὰ τόν Ματθαῖον καὶ τὸν Μᾶρκον, ἀλλὰ τινὶ μὲν ἐπιδημίᾳ τῇ ἐν Ἰεριχὼ γεγονέναι τὰ κατὰ τοὺς ἀναβλέψαντας δύο τυφλούς, ἑτέρᾳ δέ τὰ κατὰ τὸν ἕνα τοῦτον υἱὸν Τιμαίου Βαρτιμαῖον, κα]]ι ἄλλῃ τὰ κατὰ τὸν Λουκᾶν. εἴπερ γὰρ ἀκριβῶς πιστεύομεν ἀναγεγράφθαι συνενοῦντος καὶ τοῦ ἁγίου πνεύματος τὰ εὐαγγέλια, καὶ μὴ ἐσφάλησαν ἐν τῷ ἀπομνημονεύειν οἱ γράψαντες αὐτό, δῆλον ὅτι, ἐπεὶ μὴ δυνατὸν ἐν μιᾷ καὶ τῇ οὐτῇ ἐπιδημίᾳ ἀληθὲς εἶναι δύο τυφλοὺς τεθεραπεῦσθαι καὶ ἕνα, ἑτέρα μέν ἐΠιδημία δεδήλωται ὑπὸ τοῦ Ματθαίου ἑτέρα δὲ ὑΠὸ τοῦ Μάρκου, ἤδη δὲ καὶ ἄλλη ὑΠὸ τοῦ Λουκᾶ, ὡς τῷ ἐπιστήσαντι ἐκ τῆς πρὸς τοὺς λοιποὺς διαφορᾶς ἔστι καὶ τοῦτο τεθαρρηκότως ἀποφήνασαι. καὶ οὐδέν θαυμαστὸν ἐπιτηρήσαντά τινα τῶν ἐν Ἰεριχὼ τὴν προτέραν θεραπείαν διὰ τῆς <αὐτῆς> λέξεως καὶ τῆς ὁμοίας ἀξιώσεως καὶ ἐν τῷ αὐτῷ τόπῳ βεβουλῆσθαι θεραπευθῆναι. εἴποι δ' δ' τις <ὅτι> οὕτω καὶ ἄλλος ἐστὶν ὁ κατὰ τὸν λουκᾶν τυφλὸς θεραπευθείς. ὁ μέντοιγε ὅλων τούτων ζητῶν βοθυτέραν διήγησιν φήσει ὅτι ἔν καὶ τό αὐτὸ πρᾶγμα διαφόροις λέξεσι παρισταται δύο μέν γὰρ τυφλοὶ εἰσιν ὡς ἀποδέδοται) Ἰσραὴλ καὶ Ἰούδας, εἷς δέ ὁ ὅλος τούτων λαός, ὅτε εἷς δηλοῦται θεραπευόμενος τυφλός. ὄχλου« οὖν »ἱκανοῦ« τοῦ ἀπὸ τῶν ἐθνῶν συνεκπορευομένου ἀπὸ τῶν κοσμικῶν τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ, Ἰσραηλιτικόν τι λεῖμμα »παρὰ τὴν ὁδὸν« καθεζόμενον <τουτέστι παρὰ τὰς προφητικὰς γραφὰς> καὶ πενόμενον τοῖς νοήμασι καὶ ἐπαιτοῦν τὰ εἰς τὴν χρείαν τῆς ψυχῆς, ἀκοῦσαν ὅτι 1 Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν«, ἄρχεται μέγα βοῶν ἀξιοῦν τὸν σωτῆρα ὡς υἱὸν Δαυῒδ ἔλεον αὐτῷ παρασχεῖν. καὶ ἐπὰν ἴδης τῶν ἀπὸ Ἰουδαίων πιστευόντων εἰς τὸν Ἰησοῦν τὴν περὶ τοῦ σωτῆρος πίστιν, ὁτὲ μὲν ἐκ Μαρίος καὶ τοῦ Ἰωσὴφ οἰομένων αὐτὸν

εἶναι ὁτέ δὲ ἐκ Μαρίας μέν μόνης καὶ τοῦ θείου πνεύματος, οὐ μὴν καὶ μετὰ τῆς περὶ αὐτοῦ θεολογίας, ὅψει πῶς οὗτος ὁ τυφλὸς λέγει τὸ υἱὸς Δαυΐδ, ἐλέησόν με«, ᾧ ἐπιτιμῶσιν οἳ »πολλοί«· πολλοὶ γὰρ οἱ ἀπὸ τῆς Ἰεριχὼ ἐκπορευόμε- νοι ἀπὸ τῶν ἐθνῶν, ἐπιτιμῶντες τῇ πτωχείᾳ τῶν ἀπὸ τῶν Ἰουδαίων πιστεύειν δολούντων. κοὶ ἀλόγων δὲ ἐπὶ τὴν εὐγενῆ Ψυχὴν τὰ τοιαῦτα πτωχεύσσσαν καὶ μέχρι ἐπαιτήσεως φθάσασαν, οὐ πόνυ τι διαμαρτήσῃ τοῦ λόγου.

Ἐπεὶ δέ ἔδοξε τῷ Μάρκῳ καὶ τὸ τοῦ πατρὸς τοῦ τυφλοῦ ὄνομα ἀναγράψαι ὅτι Τίμαιος ἦν, καὶ τὸ τοῦ τυφλοῦ ὅτι Βαρτιμαῖος ἐκαλεῖτο, ζητοῦμεν μή πη ἐνενόησέ τι ὁ Μᾶρκος βαθύτερον κατὰ τὸν τόπον. καὶ ἀναλλοίως τάχα μέν ἀπὸ τῆς ἱστορίας λοβὼν προσέθηκε τό ὄνομα, εἴποι δ' ἂν τις καὶ ποιήσας αὐτὸ ὡς χρήσιμον. καὶ εἰ μὴ δόξομεν ψυχρεύεσθαι μέχρι τῆς τῶν τοιούτων ἐξετάσεως φθάνοντες. ζητοῦμεν τὸν τῆς τιμῆς ἐπώνυμον Τίμαιον καὶ τὸν υἱὸν αὐτοῦ Βαρτιμαῖον, ὅπερ ἐστὶν υἱὸν Τιμαίου. μήποτε δὲ διὰ τὸ τίμιον τοῦ πατριάρχου Ἰακὼβ καὶ Ἰσραὴλ τροπικῶς ἐκεῖνός ἐστιν ὁ Τίμαιος · οἱ δὲ τὴν εὐγένειαν ἀπ' ἐκείνου κεκτημένοι ὁ Βαρτιμαῖος τυφλὸς διὰ τὰ προειρημένα, ὁμοίως δέ καὶ καθεζόμενος »παρὰ τὴν ὁδὸν« καὶ »ἐπαιτῶν. εἶτα ἐπείπερ λέγοντι αὐτῷ · υἱὸς Δαυΐδ, ἐλέησόν με«, ἐπετίμων οἱ πολλοὶ ἵνασιωπήσῃ«, ζητῶ εἰ δύνασαι πολλοὺς μὲν εἰπεῖν ἐπιτιμῶντος »ἵνα σιωπήσῃ« τῷ Ἐβιωναίῳ καὶ πτωχεύοντι περὶ τὴν εἰς Ἰησοῦν πίστιν τοὺς ἀπὸ τῶν ἐθνῶν, οἵτινες παρ᾽ ὀλίγους ἅπαντες πεπιστεύκασιν αὐτὸν ἐκ παρθένου γεγενῆσθαι, καὶ ἐπιτιμῶσιν »ἵνα σιωπήσῃ« τῷ οἰομένῳ αὐτὸν ἐκ σπέρματος ἀνδρὸς καὶ γυναικὸς εἶναι, κατάγοντα τὸ γένος ἀπὸ τοῦ Δαυΐδ. ἀλλὰ καίτοιγε τῶν πολλῶν ἐπιτιμώντων »πολλῷ μᾶλλον« κέκραγε, πιστεύων μὲν ἐπὶ τὸν Ἰησοῦν ἀνθρωπικώτερον δὲ πιστεύων, καὶ κεκραγὼς λέγει· »υἱὸς Δαυΐδ, ἐλέησόν με«. ἀλλ᾽ ὁ φιλάνθρωπος σωτὴρ στάς, οὐκέτι (κατὰ τὸν Ματθαῖον) αὐτὸς αὐτὸν φωνεῖ, ἀλλ᾽ εἶπεν αὐτὸν φωνηθῆναι· οἱ δὲ προσταχθέντες εἶπον αὐτῷ· »θάρσει, ἔγειραι« (καθεζομένῳ γὰρ αὐτῷ καὶ ἀναπεπτωκότι φασίν· »ἔγειραι«) καὶ λέγουσι· »φωνεῖ σε«. μετὰ ταῦτά φησιν ὁ Μᾶρκος ὅτι »ἀποβαλὼν τὸν Ἰησοῦνα. ἆρ᾽ οὖν οὐδὲν ἐννοήσας ἀνέγραψε περὶ τοῦ ἀποβαλόντα αὐτὸν τὸ ἱμάτιον ἀναπεπηδηκότα ἐληλυθέναι πρὸς τὸν την ταῦτα προσερρῖφθαι τῷ εὐαγγελίῳ; ἐγὼ μὲν οὖν ἰῶτα ἓν ἢ μίαν κεραίαν οὐ πιστεύω κενὴν εἶναι θείων μαθημάτων, τὸ δὲ ἐπιτυγχάνειν ἑρμηνεύοντα ἡγοῦμαι πολλοῦ δεῖσθαι λόγου διὰ τὸ δυσερμήνευτον τῶν πραγμάτων. μήποτ᾽ οὖν τὰ ὡς τυφλοῦ καὶ ἐπαίτου * * * ἐπιγαμβρεύματα καὶ περιβόλαια, οἷς περιβέβλητο ὁ Βαρτιμαῖος, δηλοῦται· ἄτινα ἀπέβαλεν ὁ τυφλὸς ἀκούσας· »θάρσει, ἔγειραι, φωνεῖ σε« καὶ ἀποβαλὼν τὰ τῆς ἐπαιτήσεως καλύμματα καὶ περιβόλαια »ἀνεπήδησε καὶ ἀνέστη«, ἵνα ἔλθῃ πρὸς τὸν Ἰησοῦν καὶ τυχὼν τῆς παρ' αὐτοῦ ἀποκρίσεως εἰρημένης πρὸς τὴν ἀξίωσιν τῆς »τί θέλεις ποιήσω;« καὶ αὐτὸς εἴπῃ μείζονα φωνὴν τῆς »υἱὲ Δαυΐδ, ἐλέησόν με« · μεῖζον γὰρ ἐπινενόηται τοῦ »υἱὲ Δαυΐδ« τῷ λέγοντι »Ῥαββουνὶ« καὶ τὸ εἶδος τοῦ ἐλέους παραστήσαντι διὰ τοῦ ἵνα ἀναβλέψω«. καὶ ὁ σωτήρ γε διὰ μὲν τοῦ υἱέ Δαυΐδ, ἐλέησόν με« οὐ δίδωσι τὴν εὐεργεσίαν οὐδ' ὅτε τὸ ἱμάτιον τῆς <τυφλότητος καὶ τῆς τῆς> ἐπαιτήσεως οὐδ' ὅτε ἐκαθέζετο παρὰ τὴν ὁδὸν

ἐποικῶν. διὰ δέ τὸ »Ῥαββουνί, ἵνα ἀναβλέψω« εἶπεν αὐτῷ· »ὕπαγε, η πιστις σου σεσωκε σε«. καὶ ὁ μέν σωτὴρ εἰπεν αὐτῷ· »ὕπαγε«, ὁ δὲ τοῦ προστάγματος τούτου κρεῖττον πεποίηκεν· οὐ γὰρ ἀπελήλυθεν, ἀλλὰ »ἠκολούθει« τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ«, ἐπεὶ »εὐθέως ἀνέβλεψεν«.

Ἴδωμεν δὲ καὶ τὸ τοῦ Λουκᾶ οὕτως ἔχον · ἐγένετο δέ ἐν τῷἐγγίαὐτὸν εἰς Ἰεριχὼ καὶ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν ἐπαιτῶν« καὶ τὰ ἑξῆς ἕως τοῦ »καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῶ θεῶ«. καὶ τούτου δέ τὰ μέν κοινὰ πρὸς τοὺς λοιποὺς ἤδη τῆς κατὰ τὸ φανὲν ἡμῖν διηγήσεως τετευχότα οὐκ ἐπαναληψόμεθα, τὰ δέ καίρια καὶ ἴδια κατὰ τὸ δυνατὸν ἡμῖν παραστήσομεν. καὶ πρῶτόν γε παρατήρει ὅτι Ματθαῖος μέν καὶ Μᾶρκος ἐκπορευομένου μετὰ τῶν μαθητῶν τοῦ Ἰησοῦ ἀπὸ τῆς Ἰεριχὼ ἀνέγραφεν γεγονέναι τὰ περὶ τοὺς τυφλοὺς ἢ τὸν τυφλόν · ὁ δέ Λουκᾶς φησιν · ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχώ«. οὐκοῦν κατὰ τὸν Λουκᾶν εἰσερχόμενος εἰς τὴν Ἰεριχὼ καὶ ἐγγὺς αὐτῆς γενόμενος ἐπιτελεῖ τὴν κατὰ τὸν τυφλόν οἰκονομίαν. καὶ εἴποι τις ἂν κατὰ τὸν μυστικὸν λόγον ὅτι πρῶτόν ἐστι τὸ τοῦ Λουκᾶ, δεύτερον δέ τὸ τοῦ Μάρκου, καὶ τρίτον τὸ τοῦ Ματθαίου. πρῶτον γὰρ δεῖ ἐγγίσαι τῇ Ἰεριχώ εἶτα εἰσελθεῖν εἰς αὐτήν, καὶ <μετὰ ταῦτα δὲ> ἐκπορευθῆναι ἀπ' ἀνέγραψε τοίνυν ὁ μὲν Λουκᾶς τὸ ἐγένετο ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχώ«, ὁ δὲ Μᾶρκος· » καὶ ἔρχεται εἰς Ἰεριχώ, καὶ εἰσπορευομένου αὐτοῦ ἐκεῖθεν«, ὁ δὲ Ματθαῖος οὔτε τὸ ἐγγίζειν τῇ Ἰεριχώ ἀνέγραφεν οὔτε ὅτι ἔρχεται εἰς Ἰεριχώ, ἀλλὰ μόνον ὅτι ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχώ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. δύναται οἶν τὸ μὲν κατὰ τὸν Λουκᾶν ἐγγίσας τῇ Ἰεριχώ πεποιηκέναι, τὸ δὲ κατὰ τὸν Μᾶρκον ἐλθὼν εἰς Ἰεριχώ, τὸ δέ κατὰ τὸν Ματθαῖον ἐκπορευθεὶς ἀπ' αὐτῆς. ὁρᾷς δὲ ὅτι κοὶ ὁ κατὰ τὸν Λουκᾶν τυφλὸς »ἀκούσας ὄχλου διαπορευομένου (καὶ οὐ δήπου τοῦ Ἰησοῦ) τὶ ἂν εἴη«, ὁ δὲ κατὰ τὸν Μᾶρκον »ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζαρηνός ἐστιν ἤρξατο κράζειν«, οἱ δέ κατὰ τὸν ματθαῖον δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν. καὶ οὐκ ἔστιν ὁ κατὰ τὸν Ματθαῖον παρὰ τοῖς τυφλοῖς Ἰησοῦς Ναζαρηνός, ἀλλ' ὁ παρὰ τοῖς λοιποῖς, ὧν ὁ μέν κατὰ τὸν Μᾶρκον <τυφλὸς> ἀκούει ὅτι Ἰησοῦς ὁ Ναζορηνός ἐστιν«, ὁ δέ κατὰ τὸν Λουκᾶν, ὅτε ἐπυνθάνετο παρὰ τοῦ ὄχλου »τί ἂν εἴη τοῦτο«, ἔμαθεν ἀπαγγειλάντων αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζαρηνὸς παρέρχεται.

Ἑξῆς δέ τούτοις παρατήρει ὅτι τῷ βοήσαντι τυφλῷ <καὶ> λέγοντι · υἱέ Δαυΐδ, ἐλέησόν με« οἱ προάγοντες ἐπετίμων, ἵνα σιωπήσῃ«, ὡσεὶ ἔλεγεν· οἱ πρῶτοι πιστεύσαντες ἐπετίμων τῷ λέγοντι· υἱέ »υἱὲ Δαυΐδ«, ἵνα σιγήσῃ καὶ μὴ ἀναγορεύσῃ αὐτὸν τῷ ἐλάττονι ὀνόματι. ἀλλ' οἱονεὶ λέγῃ · υἱὲ θεοῦ, ἐλέησόν με. ἀλλ' ἐκεῖνος »πολλῷ μᾶλλον ἔκρξεν· υἱέ Δαυΐδ, ἐλέησόν με«. εἶτα φησὶ) σταθεὶς ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν«. καὶ ὅρα εἰ μὴ ὡς παρατετηρήκαμεν) ὑποδεέστερός ἐστιν οὗτος ὁ τυφλός · οὔτε γὰρ ὁ Ἰησοῦς αὐτὸν ἐφώνησεν οὔτε εἶπεν αὐτὸν φωνηθῆναι, ἀλλ' ὡς μὴ χωροῦντα ταῦτα »ἐκέλευσεν αὐτὸν« <ὡς> μὴ μὴ δυνάμενον καθ' αὐτὸν αὐτὸν πρὸς αὐτὸν »ἀχθῆναι πρὸς αὐτόν«. εἶτα (φησίν) »ἐγγίσαντος αὐτοῦ ἐπηρώτησεν αὐτὸν εἰπών· τί σοι θέλεις ποιήσω;« καὶ οὐ πρότερον ἐπηρώτησεν αὐτὸν ἢ ὁ ἐρωτώμενος ἤγγισεν αὐτῷ, ἀλλ'

ἐπεὶ ἤγγισε, διὰ τοῦτο ἐρωτηθεὶς εἶπε τὸ ἵνα ἀναβλέψω, κύριε«. εἶτα φησὶν) ἀποτιθεὶς »εἶπεν αὐτῷ Ἰησοῦς · ἀνάβλεψον · ἡ πίστις σου σέσωκέ σε«. πλεῖον δέ <τι> ἔχουσιν οἱ κατὰ τὸν Ματθαῖον τυφλοί, ἐφ' ὧν γέγραπται ὅτι σπλαγχνισθεὶς Ἰησοῦς ἥψατο τῶν ὀμμάτων αὐτῶν· οὐχ ἥφατο δέ οὔτε τοῦ κατὰ τὸν Μᾶρκον οὔτε τοῦ κατὰ τὸν Λουκᾶν. ἔχει δέ πόλιν πλεονέκτημά τι ὁ κατὰ τὸν Λουκᾶν, ἐπείπερ ἡνίκα »παραχρῆμα ἀνέβλεψεν«, οὐ μόνον ἠκολούθει αὐτῷ, ἀλλὰ πλεῖόν τι εἶχε παρὰ τοὺς λοιΠούς · »ἠκολούθει« γὰρ φησὶν) »αὐτῷ δοξάζων τὸν θεόν«. καὶ ἦν τὸ τέλος τούτου, ἐν τῷ ἀκολουθεῖν καὶ δοξάζοντος τὸν θεόν, <τὸ> πάντα τὸν ὄχλον ἰδόντα δοῦναι »αἶνον τῷ θεῷ«. ταῦτα μέν ἐπὶ τοῦ πορόντος ἡμεῖς εἰς τοὺς τόπους, <εἴτε γνόντες> εἴτε λαβόντες, εἴδομεν · θεὸς δὲ δοίη ᾧ βούλεται λόγον σοφίας πλουσιώτερον καὶ λόγον ἐν φωτὶ γνώσεως τρανότερον, ἵνα ταῦτα τοῖς ἀπὶ τοιούτων χαρισμάτων συγκρινόμενα εὑρεθῇ ὡς λύχνος παρ' ἥλιον.

Κοὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθφαγὴ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν καὶ τὰ ἐξῆς ἕως τοῦ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου (Matth. 21, – 5). καὶ ὁ Μᾶρος δέ κατὰ τὸν τόπον οὗτο)ς ἀνέγραφε · καὶ ὅτε εγγίζουσιν εἰς Ἱεροσόλυμα κοὶ εἰς Βηθανίαν πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν« καὶ <τὰ> ἐξῆς ἕως τοῦ καὶ εὐθέως ἀποστελεῖ«· ὁ δὲ Λουκᾶς τοῦτον τὸν τρόπον · καὶ ταῦτα εἰπὼν ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἱεροσόλυμα« καὶ τὰ ἐξῆς, ἕως τοῦ οὕτως ἐρεῖτε · ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει«. Ἄξιόν ἐστι μάλιστα ἐπὶ τῶν τοιούτων τοῦ εὐαγγελίου ῥητῶν ἐπιστῆσαι τῷ βουλήματι τῶν ἀναγραφόντων κοὶ τῇ προαιρέσει αὐτῶν, τί σκοποῦντες ἀνέγραψαν πρὸς τοῖς τεραστίοις καὶ παραδόξοις τῶν ὑπὸ τοῦ σωτῆρος γεγενημένων καὶ τὰ μηδὲν ἐμφαίνοντα τοιοῦτον. ἔστω γὰρ περὶ τυφλῶν ἀναβλέψεως καὶ παρέτων ἰάσεως καὶ νεκρῶν ἀναστάσεως κοὶ λεπρῶν καθαρίσεως πεπραγματεῦσθαι τοὺς εὐαγγελιστὰς εἰς οἰκοδομὴν τὴν περὶ τοῦ Ἰησοῦ τοῖς ἐντευξομένοις αὐτῶν τῇ γροφῇ, τί βούλεται αὐτοῖς τὸ προκείμενον ῥητόν, καθὸ ἡνίκα τοῖς Ἱεροσολύμοις ἤγγισεν ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν καὶ ἐλήλυθεν εἰς Βηθφαγὴν πλησίον τοῦ ὄρους τῶν Ἐλαιῶν, ἀπέστειλε δύο μαθητὰς ἐντελλόμενος αὐτοῖς περὶ ὄνου καὶ πώλου ἵνα λύσαντες ἀγάγωσιν αὐτῷ, τῷ ἔσθ' ὅτε μὴ ὀκνήσαντι πλείονα ὁδὸν πεζευσαι, καὶ τοῖς ἑαυτοῦ ποσὶ τὴν ὁδοιπορίαν εκτελεσαι, ὡς ὅτε ἀπὸ Ἱεροσολύμων διήρχετο διὰ τῆς Σαμαρείας <εἰς τὴν καὶ> φθάσας ἐπὶ τὸ κοπιάσας ἐκ τῆς ὁδοιπορίας« ἐκαθέσθη παρ' αὐτῷ; τί δέ καὶ αὐτῷ τῷ Ἰησοῦ πρόκειται ὄνον δεδεμένην μετὰ πώλου λύεσθαι κελεύοντι <καὶ> προστάσσοντι λέγειν τῷ ἐπὶ τούτῳ φάσκοντι ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς; ὁ γὰρ τηλικοῦτος κύριος, χρείαν ἔχων ὄνου κοὶ πώλου τῶν πάλαι δεδεμένων, ἐμφαινέτω * * * τι ἄξιον αὐτοῦ τῆς μεγαλοπρεπείας. Ἐπιτείνει δὲ τὴν κατὰ τὸν τόπον ζήτησιν προφήτης Ζαχαρίας ὁ τοῦ Βαραχίου, προφητεύσας περὶ τούτων προφητείαν ἀξίαν ἐπιστάσεως, ἐν ᾗ αὐταῖς λέξεσι γέγραπται ταῦτα· χοῖρε »χαῖρε θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχαταί σοι δίκαιος καὶ σῴζων, αὐτὸς πραΰς καὶ ἐπιβεβηκῶς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον«. εἰ δέ βούλει ἀπὸ τοῦ προφήτου μαθεῖν πῶς ἐστι χαῖρε σφόδρα] χαρᾶς ἄξια τῇ θυγατρὶ Σι(ὸν τὰ προφητευόμενα, ἄκουε τοῦ κοὶ

ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραΐμ καὶ ἵππον ἐξ Ἰερουσαλήμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν· καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης καὶ ποταμῶν διεκβολὰς γῆς. καὶ σὺ ἐν αἵματι διαθήκης ἐπαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. καθήσεσθε ἐν ὀχυρώματι δέσμιοι τῆς συναγωγῆς, κοὶ ἀντὶ μιᾶς ἡμερας παροικίας σου διπλᾶ ἀνταποδώσω σοι«. κοὶ ἵνα μὴ μηκύνωμεν τὸν λόγον ἐπὶ πλεῖον, καταλίπωμεν τῷ βουλομένῳ συγκρῖναι τὴν προφητείαν τῇ κατὰ τὸ εὐαγγέλιον ἱστορίᾳ ὅλα τὰ κατὰ τοὺς τόπους ἐξετάσαι παρακειμένης τῆς λέξεως. ἐσημειωσάμεθα δέ ὥσπερ ἐπ’ ἄλλων ὅτι μὴ αὐτοῖς λέξεσιν ὁ Ματθαῖος καὶ ὁ Ἰωόννης ἐξέθεντο τὸ προφητικόν· οὐ γὰρ ταὐτὸν τὸ »χαῖρεσφόδρα, θύγατερ Σιών, <κήρυσσε, θύγατερ Ἰερουσαλὴμ> « τῷ· εἴπατε τῇ θυγατρὶ Σιὼν <ἢ τῷ μὴ φοβοῦ, θυγάτηρ Σιών«>, ἀλλὰ <καὶ τὰ> μετὰ τὸ ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σου) προτεταγμένα τοῦ »πραΰς« οὐκ ἐξέθετο ὁ Ματθαῖος, οὕτως ἔχοντα · δίκαιος καὶ σῳζων αὐτός«. ἔτι δέ ἀντὶ τοῦ καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου ’ »καὶ ἐιβεβηκὼς ἐπὶ ὄνον> καὶ πῶλον νέον« ἢ ὡς ἔν τισι πῶλον ὑποζυγίου«. ὁ δέ Ἰωάννης ἀντὶ τοῦ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον <καὶ πῶλον νέον>« πεποίηκε· »καθήμενος ἔρχεται ἐπὶ πῶλον ὄνου« · ὅστις ἐμφαίνων ὅτι γνώσεως δεῖται τὸ κατὰ τὸν τόπον, ἐπιφέρει τὸ »ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρότερον«.

Ζητήσαι δ’ ἂν τις πῶς εὐλόγως προστάσσεται κατὰ τὸν προφήτην χαίρειν σφόδρα θυγάτηρ Σιὼν κοὶ κηρύσσειν θυγάτηρ Ἰε. ρουσολὴμ διὰ τὸν ἐπιβεβηκότα ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον«, ὅτε μετὰ βραχὺ ἰδὼν τὴν Ἰερουσαλὴμ ἔκλαυσεν <ἐπ’ αὐτὴν« ὁ Ἰησοῦς λέγων »Ἰερουσαλὴμ Ἰερουσαλὴμ,> ἡ ἀποκτείνουσα τοὺς προφήτας« καὶ τὰ ἑξῆς. πρόσχες οὖν εἰ δύνασαι Σιὼν νῦν δὴ λεγομένην θυγατέρα τοῦ προστάσσοντος αὐτῇ χαίρειν καὶ Ἰερουσαλὴμ πόλιν θυγατέρα τοῦ κηρύσσειν αὐτῇ κελεύοντος, εἰπεῖν εἶναι <μὴ τὴν τόν κύριον σταυρώσασαν, ἀλλὰ τὴν δεομένην τὸν ἐσταυρωμένον, Σιὼν> τὴν ἐπουρανίαν, περὶ ἧς ἐν μέν τῇ πρὸς Ἑβραίους γέγραπται τὸ »ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει κοὶ πόλει θεοῦ ζῶντος, Ἰερουσαλὴμ ἐπουρανίῳ. καὶ μυριάσιν ἀγγέλων. πανηγύρει«, ἐν δὲ τῇ πρὸς Γαλάτας· ἡ δέ ἄνω Ἰερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν«. μήποτε γὰρ σύμβολά ἐστι ταῦτα τοῦ σωτῆρος λύσαντος τῶν δεσμῶν διὰ τῶν μαθητῶν τὰ ἴδια ὀχήματα, τούς τε απὸ τοῦ λαοῦ πιστεύσαντας ἐκείνου τότε καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν. δεδεμένη γὰρ ταῖς ἁμαρτίαις ἦν ἡ τότε συναγωγή, δεδεμένος δὲ καὶ ὁ πῶλος μετ’ ἐκείνης ὁ ὕστερον γενόμενος νέος ἀπὸ τῶν ἐθνῶν <πιστεύων> λαός · καὶ τούτους ἀμφοτέρους εγγίζων τῇ εἰς τὴν ἄνω Ἰερουσαλὴμ ἀνόδῳ ὁ σωτὴρ ἐκέλευσεν ὑπὸ τῶν μαθητῶν διδασκόντων λυθῆναι, δοὺς αὐτοῖς τὸ ἅγιον πνεῦμα καὶ εἰπών· »λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται«. καὶ ἀεί γε οἱ μαθηταὶ < στοῦ> οὺς »ἱκάνωσε διακόνους καινῆς διαθήκης, οὐ γράμματος ἀλλὰ πνεύματος«, λύοντες τὴν δεδεμένην ὄνον κοὶ τὸν πῶλον ἄγουσι πρὸς τὸν Ἰησοῦν βουλόμενον ὀχήμασι χρήσασθαι τοῖς ὑπὸ τῶν γνησίων αὐτοῦ μαθητῶν λελυμένοις ἀπὸ τῶν πάλαι <ἁμαρτιῶν δεσμοῦ. καὶ πρέπει γε τῷ υἱῷ τοῦ θεοῦ οὕτω χρείαν ἔχειν

φιλάνθρωπος γὰρ ἐστι) τῆς δεδεμένης ὄνου κοὶ τοῦ μετ’ αὐτῆς δεδεμένου πό)λου · χρείαν δ’ αὐτῶν ἔχει, ἵνα αὐτοῖς ἐπικαθίσας ἀναπαύσῃ μᾶλλον ἥπερ ἀναπαύσηται τοὺς οἷς ἐπικαθέζεται.

Ἀλλὰ ζητήσει τις πῶς ὁ λόγος τῶν ἐξῆς ἀκόλουθος ἔσται τοῖς ἀποδεδομένοις, οὕτο)ς ἐχόντων· των· εὐθέως δέ ἀποστελεῖ αὐτοὺς« - ἤ »καὶ καὶ εὐθέως αὐτὸν ἀποστελεῖ πόλιν ὧδε«. λύσεις δέ τὸ ἐπηπορημένον ζητήσας τὴν ἀποστολὴν ἢ τῶν κατὰ τὸν Ματθαῖον δύο ἢ τοῦ κατὰ τὸν Μᾶρκον πώλου. ὅτι δὴ κύριος οὐδεὶς ἄλλος ἦν τῶν δεδεμένο)ν <ἢ ἐκεῖνος περὶ οὗ φησιν ὁ ἀπόστολος>· »ἀλλ’ ἡμῖν εἷς κύριος Ἰησοῦς Χριστός, δι’ οὗ τὰ πάντα«, ᾧ <ὅτι> μηδαμῶς ἀντλέγειν ἔμελλε τῶν λεγόντων τις · »εἰς τί λύετε τὸν Πῶλον ;« ἢ ὁτιποτοῦν βοσκόντων, δῆλον · ὡς γὰρ μὴ ἀντερούντων αὐτῷ εἶπεν ὁ σωτὴρ τὸ καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ κύριος αὐτῶν χρείαν ἔχει ἤ· »ἐάν ἐόν τις ὑμῖν εἴπῃ· τί λύετε τὸν πῶλον; εἴποτε ὅτι ὁ κύριος αὐτοῦ χρείαν ἔχει« · καὶ κατὰ τὸν Λουκᾶν δέ · ἐόν τις φησὶν) ὑμαῖς ἐρωτᾷ· διὰ τί λύετε ; οὕτως ἐρεῖτε · ὅτι ὁ κύριος αὐτοῦ χρείον ἔχει«. καὶ ζητήσεις εἰ μετὰ <τὸ εἰς > τὴν Ἱερουσαλὴμ καὶ τὸ ἐπιβεβηκέναι τούτοις ἢ τούτῳ τὸν σωτῆρα. ἀποστολή τις ἐπί τι ἔργον ἀναγκαῖον πρὸς τὸν τόπον γίνεσθαι ἔμελλεν, ἵνα τι ποιήσωσιν ἡ ὄνος καὶ ὁ Πῶλος ἔργον κατὰ τὸ σιωπώ- μενον, ἐμφαινόμενον μὲν οὐ τρανῶς δὲ δεδηλωμένον. ἔννοιαν δέ τοῦ τοιούτου λαμβάνω ἐπιστήσας τῇ τάξει τῶν ἐν τῷ κατὰ Ματθαῖον μακαρισμῶν. ἐν οἷς μετὰ τὸ »μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν« ἑξῆς γέγραπται τὸ »μακάριοι οἱ προεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν«. τήρει γὰρ ἐν τούτοις ὅτι πρῶτον μέν τῶν μακαριζομένων ἡ βασιλεία« ἐστὶ τῶν οὐρανῶν«· δεύτερον δὲ »καληρονομήσουσι τὴν γῆν«, οὐχ ὥστε τὸν πάντα αἰῶνα εἶναι ἐπ αὐτῆς · παρακληθέντες γὰρ καὶ διὰ τὸ πεπεινηκέναι καὶ δεδιψηκέναι δικαιοσύνης κορεσθέντες αὐτῆς καὶ ἐλεηθέντες καὶ τὸν θεὸν ἰδόντες καὶ υἱοὶ αὐτοῦ κληθέντες πάλιν ἐπὶ τὴν βασιλείαν ἀποκαθίστανται τῶν οὐρανῶν.

Ἐὰν δέ ὄνος καὶ πῶλος, οἷς ὁ σωτὴρ ἐπιβαίνει, οἱ ἀποδεδομένοι τυγχάνωσι, μὴ προσκόψῃς τῷ λόγῳ παραβάλλοντι ἀλόγοις ζῳοις ἀχθοφόροις τοὺς φέροντας τὸν Ἰησοῦν αὐτοῖς ὀχούμενον. τάχα γὰρ τι τοιοῦτον νοήσας καὶ ὁ προφήτης εἶπε τὸ γενονέναι <ὡς> κτηνώδης, οὐχ ἁπαξαπλῶς ἀλλὰ παρὰ τῷ θεῷ ἢ παρὰ τῷ Χριστῷ, κατὰ τὸ »κάγὼ κτηνώδης ἐγενήθην παρὰ σοί«. ὡς γὰρ πρὸς τὸν αὐτόλογον καὶ πρὸς τὴν τοῦ θεοῦ μεγαλειότητα κτηνώδεις ἐσμὲν οὐχ ἡμεῖς μόνοι, ἀλλὰ καὶ ἡμῶν πολλῷ λογικώτεροι καὶ σοφώτεροι · οὕτω δέ καὶ ὡς πρὸς τὸ λογικὸν τοῦ ποιμένος πρόβατά ἐσμεν αὐτοῦ, τῷ τὸν ἐν ἀνθρώποις καὶ τοῖς τελειοτάτοις λόγον παραβαλλόμενον τῷ αὐτολόγῳ πλεῖον ἔχειν ἀπόστημα ἀπ’ ἐκείνου, ἢ ὅσον ἔχει ἀπόστημα ὄνου καὶ πώλου Ψυχὴ ἢ προβάτου πρὸς ἄνθρωπον. καὶ τάχα ἀναβαίνοντα μὲν εἰς Ἱεροσόλυμα ἐποχουμένου τοῦ Ἰησοῦ) τὸ ὑποζύγιον ἢ καὶ ὁ πῶλος τοιαῦτά ἐστιν, γενόμενα δὲ ἐκεῖ οὐ μένει ὑποζύγιον οὐδέ πῶλος, ἀλλὰ ἀπ[οστέλλεται μεταβαλόντα καὶ ὠφεληθέντα καὶ μετασχόντα τῆς τοῦ λόγου θειότητος καὶ ὑπεροχῆς τῆς γνώσεως, ὥστε εἰς δόξαν <ἀξιοῦσθαι θεοῦ ἀποστέλλεσθαι αὐτὰ εἰς τὸν τόπον ὅθεν ἐλύθη πρότερον, τοῦ γυρίου

μεταποιήσαντος αὐτὰ καὶ μισθὸν αὐτοῖς δεδωκότος τοῦ ἐνηνοχέναι αὐτὸν τὴν τοιαύτην μεταβολήν, ὡς καὶ ἀποσταλῆναι αὐτὰ ἐπὶ τόν πρότερον τόπον, οὐκέτι <δ᾽ > ἐπὶ τοῖς ἔργοις τοῖς πρότερον. οὐ γὰρ ἔμελλεν ὁ φιλάνθρωπος ἡμῶν <ὢν> κύριος, ἅπαξ παραδεξάμενος τιμῆσαι τῇ τε ἀπὸτῶν δεσμῶν λύσει καὶ τῇ ἑαυτοῦ ὀχήσει, πόλιν αὐτὰ πέμπειν ἐπὶ τοὺς δεσμοὺς ἢ ἔργα ἐλάττονα ου πεποιηκεν εργου. δεξάμενα τοῖς νώτοις τὸν υἱὸν τοῦ θεοῦ. πρέπον δέ ἦν ἐπὶ τῷ τοιούτῳ μυστηριῳ καὶ τοῖς μετ᾽ αὐτοῦ λεγομένοις σφόδρα χαίρειν καὶ ἐπιτείνειν χαρὰν τὸν καρπὸν» τοῦ πνεύματος«) τὴν θυγατέρα τοῦ βεοῦ Σιὼν καὶ θυγατέρα οὐτοῦ τὴν Ἰερουσαλὴμ κηρύσσειν · ἤρχετο γὰρ ἀυτῇ »ὁ βασιλεὺς δίκαιος καὶ σῴζων«,<καὶ οὐχ ἁπλῶς »σῴζων«> ἀλλὰ <»δίκαιος καὶ σῴζων«, τουτέστι> μετὰ τοῦ τηρεῖν τὸ δίκαιος εἶναι καὶ σῴζων μετὰ δικαιοσύνης, καὶ εὐτρεπίζων εἰς σωτηρίαν τοὺς σῳζομένους. αὐτὸς δέ ἤρχετο εἰς Σιὼν κοὶ Ἰερουσαλὴμ »πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον κοὶ πῶλον νέον« ὡς ἀποδεδώκαμεν) ἐπισκοπῶν τὸν Ἰσραὴλ ἐν τῷ ἐξολοθρεύειν »ἁρματα ἐξ Ἐφραΐμ«, παραπλήσια τυγχάνοντα ἅρμασι Φαραώ, ὅτε »ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτου ἔρριψεν εἰς θάλασσαν«. ἤρχετο δέ καὶ ἵππον« ἐξολοθρεύων τὸ πολεμικὸν ζῷον ἀπὸ τῆς Ἰερουσαλήμ, ἵνα εἰρήνην ποιήσῃ τῷ Ἰσραὴλ ἐπιστρέφων τὰ ἀπολωλότα αὐτοῦ πρόβατα, εἰρήνην δὲ καὶ τῇ Ἰερουσαλὴμ ἐπανάγων αὐτῆς ἐκπεσόντα τὰ τέκνα. πῶς δέ οὐκ ἔμελλε μεγάλης χαρᾶς εἶναι ἄξιον τὸ οὕτως ἔρχεσθαι τὸν δίκαιον βασιλέα καὶ σῴζοντα καὶ πρᾶον εἰς τὴν Ἰερουσαλήμ, ὅτε ἔμελλεν ἐξολοθρεύεσθαι πᾶν »τόξον Πολεμικόν«, ἵνα μηκέτι »οἱ ἁμαρτωλοὶ« ἐκτείνωσι τόξα μηδέ ἑτοιμάζωσι βέλη εἰς φαρέτραν τοῦ κατατοξεῦσαι ἐν σκοτομήνη τοὺς εὐθεῖς τῇ καρδίᾳ«; ἔμελλε δέ τότε καὶ πλῆθος καὶ εἰρήνη« εἶναι ἀπὸ τῶν πιστευόντων καὶσῳζομένων»ἐθνῶν«, κατάρχοντος »ὑδάτων ἕως θαλάσσης« τοῦ σωτῆρος, κατάρχοντος δέ καὶ »ποταμῶν διεκβολὰς διεκβολὰς γῆς« καὶ διεξόδους ποιουμένων καὶ ποτιζόντων τὰ πολλὰ αὐτῆς.

Ὁ δέ θέλων ἁπλούστερον ἐπὶ τοῦ <τῶν Ἰουδαίων> ἐπιδεδήμηκεν ὁ σωτὴρ ἀκούειν τὸ θύγατερ Σιὼν« καὶ »θύγατερ Ἰερουσαλὴμ« φήσει ὅτι ὁ λόγος μέν προστάσσει χαίρειν τῇ θυγατρὶ Σιὼν καὶ κηρύσσειν τῇ θυγατρὶ Ἰερουσαλήμ· εἰ δέ τινες ἠπείθησαν οὐ τὰ τοῦ χαίρειν ποιήσαντες ἓξια οὐδέ παραξάμενοι τὸ περὶ τοῦ κηρύσσειν Πρόσταγμα, αὐτοὶ γεγόνασιν ἑαυτῶν αἴτιοι τοῦ παθεῖν ἃ πεπόνθασιν, ὥστε λεχθῆναι αὐτοῖς· »ὑμῖν ἦν ἀναγκαῖον καταγγεῖλαι τὸν λόγον τοῦ θεοῦ· ἐΠεὶ δέ ἀναξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ χρὴ δὲ καὶ τοῦτο εἰδέναι ὅτι πέντε περιτυχόντες ἑδδόσεσι τοῦ Ζαχαρίου παρὰ μὲν τοῖς Ἑβδομήκοντα καὶ τῷ Ἀκύλᾳ εὕρομεν τὸ αὐτὸς πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον« ἢ ἐπὶ ὄνου καὶ πώλου υἱοῦ ὀνάδων«, παρὰ δὲ θεοδοτίωνι· »αὐτὸς ἐπακούων καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὄνου«, παρὰ δὲ Συμμάχῳ· »αὐτὸς πτωχὸς καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον Λ·αὶ πῶλον υἱὸν ὀνάδος», ἐν δέ τῇ πέμπτη ἐκδόσει· αὐτὸς πτωχὸς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον υἱὸν ὄνων«, καὶ δύναταί γέ τις ταῦτα ἐφαρμόζειν τῇ κατὰ τὸν ἐξεταζόμενον τοῦ εὐαγγελίου τόπον ἱστορίᾳ, ὅτε πρᾶος καὶ ἐπακούων καὶ πτωχὸς ἐλήλυθεν εἰς τὴν Ἰερουσαλὴμ ὁ σωτήρ ·

»ἐπτώχευσε« γὰρ »πλούσιος ὤν, ἵνα« οἱ ἀκούοντες αὐτοῦ τοῦ ἐπακούοντος ἡμῶν »τῇ πτωχείᾳ« αὐτοῦ πλουτήσωσιν.

Ἴδωμεν δὲ περὶ τῆς Βηθφαγὴ μὲν κατὰ Ματθαῖον, Βηθανίας δὲ κατὰ τὸν Μᾶρκον, Βηθφαγὴ δὲ καὶ Βηθανίας κατὰ τὸν Λουκᾶν. ταῦτα δέ ἦν πρὸς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν«. ἑρμηνεύεσθαι δέ φαμεν τὴν Βηθφαγὴ μὲν ΟΙΚΟΝ ΣΙΑΓΟΝΩΝ (ἥτις τῶν ἱερέων ἦν χωρίον),

Βηθανία δὲ ΟΙΚΟΣ ΥΠΑΚΟΗΣ. ἐπὲ τὸν οἶκον οὖν τῆς ὑπακοῆς ἄγεται τὰ λυόμενα ἢ τὸ λυόμενον,

ἵν᾽ ἐκεῖθεν ἐπιβῇ αὐτοῖς ὁ Ἰησοῦς, ἢ ἐπὶ τὸν οἶκον τῆς σιαγόνος, περὶ ἧς ἔστιν εἰπεῖν λαβόντα ἀφορμὰς καὶ ἀπὸ τῶν Κριτῶν, ἐν οἷς πηγή ἐστιν ἐπίκλητος σιαγόνος. ἀφ᾽ ἧς ἔπιεν ὁ Σαμψὼν διψήσας, ἢ τάχα ἐπεὶ »τῷ τύπτοντι εἰς τὴν σιαγόνα«δεῖ παρέχειν καὶ τὴν ἑτέραν, σύμβλον τῆς τῶν σῳζομένων ἀνεξικακίας ἡ Βηθγαγὴ ἦν,

ὅθεν ἐκθέζετο ὁ Ἰησοῦς ἐπὶ τῶν ὑπὸ τῶν μαθητῶν κατὰ τὴν πρόσταξιν τοῦ Ἰησοῦ λυθέντων.

Καὶ τὸ ὄρος δὲ τῶν Ἐλαιῶν <ἡ ἐκκλησία> ἐστίν, ἵτινες λέγουσι καρποφοροῦσαι καλλιέλαιος οἶσαι · »ἐγὼ δέ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ« · καὶ οἱ ἀρχόμενοι δὲ καὶ εἰσαγόμενοι ἐν αὐτοῖς εἰσιν ὡσεὶ νεόφυτα ἐλαιῶν κύκλῳ τῆς« Χριστοῦ »τραπέζης«, τεκνία καὶ »υἱοὶ« ὄντες αὐτοῦ. εἰ δὲ δεῖ ἐπιστῆσαι καὶ τοῖς δύο μαθηταῖς, οὓς ἀπέστειλεν ὁ Ἰησοῦς ἐπὶ τὴν δεδεμένην ὄνον καὶ τὸν μετ᾽ αὐτῆς πῶλον ἵνα λύσαντες ἀγάγωσιν αὐτῷ, λεκτέον <τάχα οὐκ ἀλόγως> μήποτε δύο μαθηταὶ Πέτρος εἰσὶ καὶ Παῦλος, δεξιὰς διδόντες ἀλλήλοις »κοινωνίας«, ἵνα Πέτροςμέν εἰς τὴν περιτομὴν πρὸς τὸ ὑποζύγιον γένηται, τὸν ὑπὸ τὸν ζυγὸν τοῦ νόμου γεγενημένον λαόν, Παῦλος δέ εἰς τὰ ἔθνη, τὸν νέον καὶ ἀδάμαστον πῶλον. καὶ ἦσαν ἀμφότεροι λέγω δέ· τὸ ὑποζύγιον καὶ ὁ πῶλος) πρὸ τοῦ Ἰησοῦ ἐν κώμη καὶ οὐ πόλει, ἔνθα ἦσαν δεδεμένοι. ἀλλ᾽ οἱ τοῦ Ἰησοῦ μαθηταὶ λύουσι καὶ ἄλουσι πρὸς τὸν Ἰησοῦν ἀμφότερα.

Ἔτι δ᾽ ἐπανάγων τῷ λόγῳ τοὺς δύο μαθητὰς φήσεις ὅτι ἐστὶ μέν ἕν τάγμα τῶν διακονουμένων τοῖς ἐκ περιτομῆς, ἄλλο δὲ τοῖς ἀπὸ τῶν ἐθνῶν. πλὴν κοινωνία ἐστὶ τῶν ἔργων αὐτῶν, λυόντων τὰ προστεταγμένα ὑπὸ τοῦ Ἰησοῦ λύεσθαι· ὧν λυόντων, ἐόν τις λέγῃ αὐτοῖς » τί λύετε τὸν πῶλον ;« ὁτιποτοῦν, λέγει περὶ ἀμφοτέρων· κηρύσσομεν ὅτι ὁ κύριος αὐτῶν τῶν πρότερον δεδεμένων χρείαν ἔχει. χρείαν δὲ αὐτῶν ἔχει ἐπιβαίνων αὐτοῖς, λελυμένοις ἀπὸ τῶν ἁμαρτημάτων καὶ ἄφεσιν αὐτῶν εἰληφόσι· δεδεμένοις γὰρ ἔτι καὶ σειροῖς τῶν ἰδίων ἁμαρτιῶν« σφιγγομένοις ὁ Ἰησοῦς οὐκ ἐπικαθέζεται. κατὰ μέντοι τὸν Μᾶρκον καὶ τὸν Λουδᾶν <καὶ> πῶλός δεδεμένος, »ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισεν«· οὐδέν γὰρ λογικὸν καὶ κατὰ τρόπον <ἀνθρώπινον> ἐπέπρακό <ποτε> καὶ τῷ ἀπὸ τῶν ἐθνῶν πώλῳ. καὶ οὗτος ἐφ᾽ ᾧ οὐδὲν λογικὸν πρότερον ἐφίδρυτο εὐτύχησε θεὸν αὐτοῷ ἐπικαθεσθῆναι λόγον, τὸν υἱὸν τοῦ θεοῦ, ἵνα ὑπ᾽ αὐτοῦ ἀγόμενος ἡνιοχοῦντος

καταντήσῃ ἐπὶ τὴν Ἰερουσαλὴμ τοῦ Θεοῦ. τοσαῦτα μέν ἡμεῖς εἰς τὸν τόπον ἐπὶ τοῦ παρόντος εἰδομεν· ὁ δέ δυνάμενος καὶ χο)ρῶν μείζονα εἰς τὸν τόπον χάριν λεγέτω μείζονα καὶ βελτίονα, κἀκεῖνος μᾶλλον ἀκουέσθω ὑπὸ τῶν διψώντων εὐαγγελικῆς σαφηνείας.

Πορευθέντες δέ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον καὶ τὰ ἑξῆς ἕως τοῦ ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας (Matth. 21, — 11). ὁ δέ Μᾶρκος οὕτω κατὰ τὸν τόπον ἐξέθετο· »καὶ ἀπελθόντες εὗρον πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτὸν« καὶ τὰ ἑξῆς ἕως τοῦ »εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαθῒδ· εἰρήνη ἐν τοῖς ὑψίστοις«. καὶ ὁ Λουκᾶς δὲ τοιοῦτό φησιν · »ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς ἑστῶτα τὸν πῶλον« καὶ τὰ ἑξῆς ἕως τοῦ »ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται«. Ἀκολούθως τοῖς ἀποδεδομένοις περὶ τῶν ἀποσταλέντων δύο μαθητῶν ἐπὶ τὸ λῦσαι τὴν δεδεμένην ὄνον καὶ τὸν πῶλον τὸν μετ’ αὐτῆς καὶ πᾶσι τοῖς εἰς τὸν τόπον εἰρημένοις, διηγησόμεθα καὶ τὰ ἐκκείμενα, ἐν οἷς λέλεκται ὅτι πορευθέντες οἱ δύο μαθηταὶ καὶ ποιήσαντες τὰ ὑπὸ τοῦ σωτῆρος αὐτοῖς προστεταγμένα ἤγαγον Πρὸς αὐτὸν τὴν ὄνον καὶ τὸν πῶλον· οὓς οὐκ ἀφήκασι γυμνοὺς ἀλλὰ κόσμον αὐτοῖς περιέθηκαν ἐν ἱματίοις εὐσχημοσύνην περιποιοῦσι, δοσμήσασι τὴν ὑπ᾽ αὐτῆς λελυμένην ὄνον καὶ τὸν μετ᾽ αὐτῆς πῶλον οἷς κοὶ αὐτοὶ ἦσαν κεκοσμημένοι καὶ ἐσκεπασμένοι, καὶ] ἵνα κεκοσμημένοις τῇ ὄνῳ καὶ τῷ πώλῳ τοῖς ἐνδύμασι τῶν διδαξόντων μαθητῶν βῇ καὶ παύσηται καὶ ἐφιδρυθῇ ὁ τοῦ θεοῦ λόγος, γινόμενος ἐπάνω μόνος καὶ ἡνίοχος τῶν λελυμένων καὶ βασταζόντων αὐτόν. ἀλλὰ τοῖς μέν ἐκ τῶν διδαξάντων ἱματίοις ἐπιτεθεῖσι τῇ ὄνῳ καὶ τῷ πώλῳ ὁ Ἰησοῦς ἐπικαθέζεται, ἐπειδὴ ἕκαστον ἐχρῆν συμβαλέσθαι τι Χριστῷ πραεῖ βασιλεῖ ἐπιβεβηκότι ὑποζυγίῳ καὶ πώλῳ νέῳ *** <Ὁ δέ πλεῖστος ὄχλος ἐστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δέ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρο)ν καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ.> ἦν δὴ πλεπιστος ὄχλος ὁ συνεισερχόμενος εἰς Ἰερουσαλὴμ τῷ Ἰησοῦ, καὶ οὗτοι ἔδειξαν καρΠὸν τῆς τοῦ σωτῆρος ἀποδοχῆς ἐν τῷ τὰ ἑαυτῶν ἱμάτια ὑποστρῶσαι, καὶ ὃν εἶχον κόσμον καὶ σκέπην, τῷ ἐπικαθεζομενῳ τῇ ὄνῳ κοὶ τῷ πώλῳ. ἐν τῇ ὁδῷ τοίνυν καθ’ ἣν ἦγε τὴν ὄνον καὶ τὸν πῶλον ἐπὶ τὰ Ἱεροσόλυμα, ἔστρωσαν τὰ ἑαυτῶν ἱμάτια ὁ πλεῖστος ὄχλος, ἵνα καθαροῖς γῆς καὶ γῆἵνων πραγμάτων <ποσὶ> καὶ μηδαμῶς ἔχουσι κονιορτὸν ἡ ὄνος καὶ ὁ πῶλος ἐπιβῇ τῇ Ἱερουσαλήμ. καὶ τρίτον δέ τι τάγμα τὸ παρὰ τοὺς δύο μαθητὰς καὶ τὸν ὑποστρώσαντα I πλεῖστον ὄχλον τὰ ἱμάτια ἐν τῇ ὁδῷ νῦν κατείλεκται· ἄλλοι γὰρ ὡραιότητά<τινα> περιεποίουν τῇ ὁδῷ δι᾽ ἧς ὥδευεν ἐπὶ τὰ Ἱεροσόλυμα ὁ Ἰησοῦς ὀχούμενος τοῖς προειρημένοις· ἡ δὲ ὡραιότης ἦν κοπτομένων κλάδων ἀπὸ δένδρων καὶ στρωννυμένων παρ᾽ ἑκάτερα τῶν ἐστρωμένων ἱματίων· εἰ μὴ ἄρα τοῦτο τέταρτον τάγμα ἦν. ἄλλοι γὰρ οἱ λύοντες μαθηταί, <καὶ> ἄλλη ἡ ὄνος καὶ ὁ μετ’ αὐτῆς πῶλος, κοὶ τρίτοι ὁ πλεῖστος ὄχλος, καὶ τέταρτοι οἱ κόπτοντες τοὺς κλάδους ἀπὸ τῶν δένδρων καὶ στρωννύντες ἐν τῇ ὁδῷ. νόει δέ μοι ἀπὸ τούτων καὶ πέμπτον καὶ ἕκτον τάγμα κατειλεγμένον τῶν τόν Ἰησοῦν προαγόντων κοὶ τῶν ἀκολουδούντων αὐτῶ. καὶ προάγοντας μὲν

φήσεις ἀπὸ τῶν πρὸ τῆς παρουσίας εἶναι ἐκ τοῦ λαοῦ, δικαίων τάχα καὶ προφητῶν · ἀκολουθοῦντας δέ τοὺς ἀπὸ τῶν μετὰ τὴν παρουσίαν ἐπομένων τῷ λόγῳ κοὶ ἀκολουθούντων αὐτῷ εἴτε δικαίων εἴτε καὶ ἀποστόλων χριστοῦ. πλὴν οὐκ ἄλλα μὲν ἔλεγον οἱ προάγοντες, ἄλλα δὲ οἱ ἀκολουθοῦντες· ἔκραζον γὰρ πάντες ἅμα ὡς χορὸς συνᾴδων καὶ σύμφωνος καὶ ἔλεγον καὶ τὸ ἀνθρώπινον ὑμνοῦντες τοῦ σωτῆρος ἐν τῷ ὡσαννὰ τῷ υἱῷ Δαυΐδ καὶ τὴν δευτέραν αὐτοῦ ἐΠιδημίαν ⌧ἐν τῷ> εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου καὶ τὴν εἰς τὰ ἅγια ἀποκατάστασιν ἐν τῷ ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Τούτων δὴ τῶν τριῶν ἐκφωνήσεων λεγομένων ὑπὸ τῆς συμφωνίας τῶν προαγόντων καὶ ἀκολουθούντων τῷ Ἰησοῦ, ὁ μὲν εἰσῄει εἰς τὰ αληθινὰ Ἱεροσόλομα· ξενισθεῖσαι δὲ αἱ οὐράνιαι δυνάμεις, αἵτινες λέγονται πᾶσα εἶναι ἡ πόλις, ἔφασκον τίς ἐστιν οὗτος; ἀνάλογον τοῖς προφητευθεῖσιν ἐν εἰκοστῷ τρίτῳ Ψαλμῷ περὶ τῆς ἀναλήψεως τοῦ σωτῆρος καὶ τοῦ ξενισμοῦ τῶν οὐρανίων δυνάμεων ξενιζομένων ἐπὶ τῷ κοινῷ τοῦ σωματικοῦ αὐτοῦ ὀχήματος θεάματι. ἔχει δέ οὕτως ἐν τῷ Ψαλμῷ· »ἄρατε πύλος, οἱ ἄρχοντες, ὑμῶν, κοὶ ἐπάρθητε, Πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης« καὶ τὰ ἑξῆς. καὶ ἐν Ἡσαΐᾳ δέ παραπλήσια προφητεύεται περὶ τῆς μετὰ τὴν οἰκονομίαν ἀνόδου τοῦ σωτῆρος· γέγραπται γάρ· »τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ, ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ· οὗτος ὡραῖος ἐν στολῇ;« τὰ δὲ κατὰ τὸν τόπον ὅλα καὶ σὺ δυνήσῃ ἀναλεξάμενος κατανοῆσαι, τί τε λέγουσιν οἱ ξενιζόμεναι δυνάμεις ἐπὶ τῆς τοῦ σωτηρίου σώματος ἀνόδου καὶ τί αὐταῖς ἀποκρινεται. ταῦτα δέ μοι παρείληπται βουλομένῳ σ[σαι τὴν ἀκολουθίαν τῆς κατὰ τὴν γραφὴν τροπολογίας ὅτι εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· τίς ἐστιν οὗτος; μετὰ δέ τοῦτο ἑξῆς γέγραΠται ὅτι πολλοὶ ἔλεγον· οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, ὁμολογοῦντες τὸν προφητευθέντα ὅτι »Ναζωραῖος κληθήσεται« ὁ κυρίως τῷ θεῷ ἀεὶ ἀνκείμενος. ἀλλὰ κατὰ τὴν διήγησιν ταυτην περιγεγράφθω τὰ κατὰ τὸν τόπον ἀρχή ἀρχή τις ἔστω ἑτέρας περικοπῆς τὰ ἐπιγερόμενα, ἵνα μὴ ἀναγκάζηταί τις (συνάπτων καὶ τὴν περὶ ἐκείνων διήγησιν τοῖς προτέροις) ζητεῖν ἐκβαλλομένους ἀπὸ τοῦ ἱεροῦ τοῦ θεοῦ τινας τοὺς ἐπιπληττομένους ὡς πεποιηκότας τον »τῆς προσευχῆς« οἶκον »λῃστῶν σπήλαιον«. οὐκ οἶδα δὲ εἰ, κἂν βιάσηταί τις, δύναται < ἀκολούθως τῷ »χαῖρε σφόδρα, θύγατερ Σιὸ)ν« σῶσαι τὴν πᾶσαν καὶ τῶν ἑξῆς τοῖς ἐκκειμένοις ἀκολουθίαν.

Μετὰ ταῦτα ἐξετάσωμεν καὶ τὸ ὡσαννὰ τῷ οὐῷ Δαυΐδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις ποῖον ἔχει νοῦν. σαφῶς μὲν οὖν τὸ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου αὐταῖς λέξεσι κεῖται ἐν τῷ πρὸ τοῦ μεγίστου ψαλμοῦ ψαλμῷ, λεγομένῳ ἔν τισιν ἀντιγράφοις ἑκαατοστῷ ἑπτακαιδεκάτῳ· δοκεῖ δέ μοι τὰ ἀντὶ τοῦ ὦ κύριε, σῶσον δὴ« προτεταγμένα τοῦ »εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου« ἑβραϊκῶς ἐκκεῖσθαι ἐν τῷ » ὡσαννὰ τῷ υἱῷ Δαυΐδ«· ’ οὕτω δὲ καὶ εἶχεν ἡ ἑβραϊκὴ λέξις· ΑΝΝΑ ΑΔΩΝΑΙ ΩΕΙΑΝΝΑ. ΑΝΝΑ ΑΛΩΝΑΙ ΑΣΛΙΑΝΝΑ, ΒΑΡΟΥΧ ΑΒΒΑ ΒΣΑΙΜ ΑΛΩΝΑΙ. εἶτα δοκεῖ

μοι ὑΠὸ Ἑλλήνων συνεχῶς γραφόμενα τὰ ευαγγελια μὴ εἰδότων τὴν διάλεκτον, συγκεχύσθαι ἐν τοῖς κατὰ τὸν τόπον ἔχουσι ταῦτα ἀπὸ τοῦ προειρημένου Ψαλμοῦ. εἰ δὲ τὸ ἀκριβὲς βούλει μαθεῖν τῆς λέξεως, ἄκουε Ἀκύλου ἑρμηνεύσαντος ὠδί· ὢ δὴ κύριε, σῶσον δή · ὢ δὴ κύριε, εὐόδωσον δή · εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου«. ἀλλὰ γὰρ ἐπανακεφαλαιω σώμεθα τὰ κατὰ τὸν τόπον καὶ λέγωμεν ὅτι ἤτοι Παῦλος καὶ Πέτρος ἢ ἄλλα δύο εἴδη τῶν διδασκόντων, λύσαντες ἀπὸ τῶν δεσμῶν κατὰ τὴν τοῦ Ἰησοῦ πρόσταξιν τοὺς ἀπὸ περιτομῆς καὶ τοὺς ἀπὸ ἀκροβυστίας, ἐκόσμησαν αὐτοὺς καὶ πεποιήκασιν εὐπρεπεις προς το οχησασθαι αὐτοῖς τὸν λόγον ἀνιοόντα εἰς τὴν Ἰερουσαλή. καὶ > τὰ λοιπᾶ κατὰ μέν μίαν ἔσται διήγησιν. κατὰ δὲ ἑτέραν ἀεὶ ἐνέστηκε *** τῶν ἀποδεχομένων τὸν Ἰησοῦν στρωννύντων αὐτῷ διὰ τῶν ἰδίων ἐνδυμάτων τὴν ὁδὸν καὶ κοσμούτων αὐτὴν τοῖς κλάδοις καὶ προαγόντων καὶ ἐπακολουθούντων. καὶ ἄλλως δὲ ἕκαστος διὰ μὲν τῶν ἤδη πεπραγμένων μένων προάγει τὸν Ἰησοῦν, διὰ δὲ τῶν πραχθησομένων ἐπακολουθεῖ αὐτῷ καὶ λέγει τὰ ἀναγεγραμμένα. καὶ εἰς ταῦτα δὲ ἡμεῖς μέν τοσοῦτα εἴδομεν· ὁ δὲ ἡμῶν διαφέρων πλείονα καὶ βλεπέτω καὶ διδασκέτω. πλὴν ἔν τινι τῶν εἰς τὸ κατὰ Ἰωάννην εὐαγγέλιον ἐπὶ ποσὸν καὶ ταῦτα ἐξητάσαμεν, ὅτε προέκειτο διηγήσασθαια τὸ »τῇ ἐπαύριον οὖν ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτὴν« καὶ τὰ ἑξῆς.

Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦθεοῦ καὶ ἐξέβαλε πάντας τοὺς πο)λοῦντας κοὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ καὶ τὰ ἑξῆς (Matth. 21,12-13).

Τὰ δέ κατὰ τὸν τόπον καὶ οἱ λοιποὶ τρεῖς εὐαγγελισταὶ ἐξέθεντο, ὧν τὴν πρὸς ἀλλήλους διαφορὰν οὐ τοῦ προκειμένου καιροῦ ἐστι διηγήσασθαι· ἀρκέσει γὰρ τὸ ἐν τῷ ἐξεταζομένῳ εὐαγγελίῳ κατὰ τὸ δυνατὸν ἡμῖν σαφηνίσαι. τῶν τεσσάρων <δὲ> εὐαγγελιστῶν ἀναγραψάντων τὰ κατὰ τὸν τόπον, πλείονα τὰ] κατὰ τὸ δυνατὸν ἡμῖν ἐξήτασται ὑπαγορεύουσιν εἰς τὸ κατὰ Ἰωάννην καὶ ὡς οἷόν τε ἦν σαφηνίζουσι τὸ »καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς « καὶ τὰ ἑξῆς. ἔνθα κατεσκευάζομεν οὐκ ἐλάττονα τῶν παραδόξων δυνάμεων εἶναι τοῦ Ἰησοῦ καὶ τὴν προκειμένην ὅτι τέκτονος μέν νομιζόμενος εἶναι υἱὸς τοσαύτῃ παρρησίᾳ καὶ ἐξουσίᾳ ἐχρήσατο, ἐκβάλλων ἐν πανηγύρει ἀπὸ τοῦ ἱεροῦ τοὺς ἀναγεγραμμένους, ὁποίᾳ οὐδ’ ὁ τοῦ ἔθνους ἡγούμενος χρώμενος εὐχερῶς ἂν ἤνυσε τοῦθ’ ὅπερ Ἰησοῦς πεποίηκε. καὶ ἐτροπολογήσαμεν γε δουλεύσαντες τῇ λέξει, ὡς ἐχωροῦμεν, τὸ Ἰωάννου βούλημα. ἀλλ’ ἐπεὶ καὶ νῦν ὁ εἰρμὸς ἡμᾶς ἀπαιτεῖ εἰπεῖν κατὰ τὴν Ματθαίου λέξινπερὶ τῶν ἐκκειμένων , τὸν πάτέρα τῆς σοφίας ἐπικαλεσάμενοι φέρ’ ἴδωμεν εἰ ἀξιόν τι δυνάμεθα τῆς Ἰησοῦ μετὰ θάρσους πράξεως εἰπεῖν εἰς τόν τόπον. καὶ πρῶτον <μὲν> λεκτέον τί τὸ ἱερὸν τοῦ θεοῦ, ὅπερ ὁμολογῶν ὁ θεὸς εἶπεν ἐν τῷ προφήτῃ · ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται. ἀνάλογον μὲν οὖν τῇ κατὰ σάρκα περιτομῇ καὶ ταῖς σωματικαῖς τοῦ νόμου ἑορταῖς καὶ θυσίαις ἱερὸν ἐνομίζετο τοῦ θεοῦ εἶναι τὸ ἐκ λίθων ἀναισθήτων κατασκεύασμα οἰκοδομηθὲν ὑπὸ Σολομῶντος πρῶτον καὶ ἀνοικοδομηθὲν ἔτι ὑπὸ Ἔσδρα, πλὴν μετὰ τὴν τοῦ σωτῆρος οἰκονομίαν ὑπὸ Ῥωμαίων καθαιρεθέν. καὶ οἶκος ἐκεῖνος ὑπελαμβάνετο εἶναι εὐχῆς, οὗ

καθαιρεθέντος ἀναγκαῖον Ἰουδαίους, ὡς μηκέτι ἔχοντας οἶκον προσευχῆς , λέγειν μηκέτι ἔχειν τὸ ἐξαίρετον τῆς ἐπισκοπῆς τοῦ θεοῦ, ὃ ἔχειν ᾠοντο παρὰ τὸ ἐν τῷ οἰκῳ τῆς προσευχῆς εὐχεσθαι, μηδὲ τὸ τὰ τῆς νομικῆς λατρείας ἐπιτελεῖν. καὶ ἐκβεβληκέτω σωματικῶς ἀπ᾽ ἐκείνου ὁ καὶ σύμβολα ποιήσας τῶν ἰδί(ον πενευματικῶν πράξεων σωτὴρ ἡμῶν τοὺς πωλοῦντας καὶ ἀγοράζοντας καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καταβεβληκέτω καὶ τὰς καθέδρας τῶν πο)λούντων τὰς περιστερὰς καὶ εἰρηκέτω τὰ ἐκκείμενα εἰς ἐπιστροφὴν τοῦ τότε λαοῦ, ἀντὶ σεμνῆς πανηύρεως ἐπιτελουμένης ἐν ὀνόματι θεοῦ σχολαζόντων τῷ πωλεῖν καὶ ἀγοράζειν, οὐκ ἐν τῷ καθηκούσῃ χώρᾳ ἐν ᾗ ἔδει πωλεῖν καὶ ἀγοράζειν, ἀλλ᾽ ἐν τῷ ἱερῷ, ἐνθα ἐχρῆν μέν συνερχομένους εὐχεσθαι ὡς ἐν οἴκῳ προσευχῆς, ἐποίουν δέ τὰ ἐναντία τῇ εὐχῇ ἐν αὐτῷ, ὡς ἐν οἰκῳ ἐπορικῷ πωλοῦντες καὶ ἀγοράσοτες καὶ ἀργύρια κολλυβίζοντες καὶ ἐπὶ καθεδρῶν καθεζόμενοι, ἵνα πωλῶσι περιστεράς. καὶ το ἄσεμνόν τῶν γινομένων πορa Ἰουδαίοις τότε ὁ Ἰησοῦς ἡμῶν καθῃρηκέτω, ἐλέγξας τοὺς ἀντὶ τοῦ κατὰ τὸν νόμον ἑορτάζειν ἐμπορευομένους καὶ σωματικῶς τρυφῶντας.

Καὶ νῦν δὲ νομίζω ἱερὸν ἐκ λίθων ζώντων οἰκοδομηθὲν εἶναι τὴν ἐκκλησίαν, καὶ εἶναι ἐν αὐτῇ τινας οὐχ ὡς ἐν ἐκκλησίᾶ ζῶντος ἀλλ᾽ ὡς »κατὰ σάρκα« στρατευομένους, οἵτινες καὶ ποιοῦσι τὸν τῆς προσευχῆς ἐκ ζώντων λίθων <οἰκοδομηθέντα> οἶκον λῃστῶν διὰ τὴν αὐτῶν κακίαν σπήλαιον. τις γαρ κατανοησας τα ἐν τισιν εκκλησίαις ἁμαρτανόμενα ὑπὸ τῶν <τοιούτων Χριστιανῶν τῶν> νομιζομένων » πορισμὸν εἶναι τὴν« ἑτέρων »εὐσέβειαν«, κοὶ δέον ἐκ τοῦ εὐαγγελίου« μόνον διαζῆν, τοῦτο μέν μὴ ποιούντων, πλοῦτον δὲ καὶ πολλὴν κτῆσιν συναγόντων, οὐκ ἐρεῖ σπήλαιον λῃστῶν γεγονέναι τὸ τηλικοῦτον τῆς ἐκκλησίας μυστήριον; ὥστ᾽ ἂν εἰπεῖν τὸν Ἰησοῦν ἐπὶ τοῖς ἁμαρτανομένοις ἐν ᾧ ᾠκοδόμησεν ἱερῷ ζῶντι τό τε ἀπὸ τῶν Ψαλμῶν οὕτως ἔχον· »τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν;« καὶ τὸ ἀπὸ τοῦ (ὡς οἶμαι) Ὡσηέ, ἔνθα ἡ τοῦ Ἰησοῦ φυχὴ λέγει δυσαρεστουμένη τῷ βίῳ τῶν ἁμαρτανόντων καὶ ἐν τῷ ἱερῷ εἶναι δοκούντων τὸ »οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἁμητῷ καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ, οὐκ ὄντος στάχυος τοῦ φογεῖν τὰ πρωτόγονα. οἴμοι φυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει«. καὶ ἐὰν προσκόπτῃς γε τῷ ταῦτο λέγειν τὸν Ἰησοῦν καὶ πενθοῦντα ἡμῶν τὰ πταίσματα φάσκειν τὸ »οἴμοι φυχή«, συνεξέτασον τούτοις τὸ ἀπὸ τοῦ εὐαγγελίου, ἔνθα γέγραπται ὅτι ἰδὼν τὴν Ἰερουσαλὴμ »ἔκλαυσεν ἐπ᾽ αὐιῇ, καὶ εἶπε«. καὶ μᾶλλόν γε, εἴπερ εὐλόγως ἔκλαυσεν ἐπὶ Ἰερουσαλήμ, εὐλογώτερον κλαύσεται ἐπὶ τὴν ἐκκλησίαν, οἰκοδομηθεῖσαν μὲν ἵνα οἶκος προσευχῆς ᾖ, γενομένην δὲ διὰ τὴν αἰσχροκέρδειαν δειαν καὶ τρυφήν τινων (ἀλλ᾽ εἴθε μὴ καὶ τῶν ἡγουμένων τοῦ λαοῦ) σπήλαιον λῃστῶν.

Ἀλλὰ τότε μὲν εἰσῆλθεν Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ θεοῦ καὶ ἐκάθαρεν αὐτὸ ἐκβα\λὼν Πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καταστρέψας μετὰ τῶν καθεδρῶν ἐν αἷς ἐκαθέζοντο οἱ πωλοῦντες τὰς περιστερός. νῦν δέ, ὅσον μέν οὐκ ἐπισκοποῦνται, οἱ <ἐν> τῷ Ἰησοῦ Χριστοῦ

γινόμενοι ἐπὶ τὸ αὐτὸ« ἐν συναγωγαῖς εἰσιν οἱ πωλοῦντες καὶ ἀγοράζοντες ἐν τῷ ἱερῷ καὶ τὰ λοιπὰ <πάντα> καὶ οὐδαμοῦ Ἰησοῦς αὐτοῖς ἐπιφαίνεται, ἵνα ἐκβαλὼν <αὐτοὺς> σώσῃ τοὺς λοιποὺς ἢ κἀκείνους ἐκβληθέντας ποιήσῃ συναισθηθῆναι τῆς ἁμαρτίας καὶ εἰσελθεῖν εἰς τὸ ἱερόν, οὐκέτι μετὰ τοῦ πωλεῖν κοὶ ἀγοράζειν ἢ τὰ λοιπὰ ποιεῖν· ἐπὰν δὲ ἐπισκέψηται ἐπὶ τὰς ἁμαρτίας τίας ἡμῶν ὡς ἀγαπῶν ἡμᾶς ἐπιδημήσῃ, ἵνα παιδεύσῃ καὶ μαστιγώσῃ ὡς υἱοὺς ὅπως ἡμᾶς παραδέξηται, τότε εἰσελεύσεται ἡ δύναμις Ἰησοῦ συναγομένων ἡμῶν καὶ τοῦ πνεύματος τοῦ ἁγίου, καὶ εἰσελθοῦσα ἐκβαλεῖ πάντας τοὺς πωλοῦντας κοὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ· πωλοῦντας μέν καὶ ὡσπερεὶ ἀπεμπολοῦντας εἰ καί τι χρηστὸν εἶχον, ἀγοράζοντας δέ ἀντ᾽ ἐκείνων τὰ φαῦλα, καὶ ταῦτα ἐν τῷ ἱερῷ τοῦ θεοῦ, τῇ ἐκκλησίᾳ, πράττοντας. ἀλλ᾽ εἴθε εἰσελθὼν εἰς τὸ ἱερὸν τοῦ πατρός, τὴν ἐκκλησίαν, τὸν οἶκον τῆς προσευχης, καταβάλοι ὁ Ἰησοῦς τὰς τῶν κολλυβιστῶν καὶ <αἰσχροκερδῶν καὶ> φιλαργύρων τραπέζας καὶ εἰς πολλὰ εὐτελῆ καὶ οὐδενὸς λόγου ἄξια κατακερματιζόντων τὰ δόκιμα ἀργύρια, ἵνα βλάψωσι μὲν ἐκείνους οἷς κολλυβίζουσιν, αὐτοὶ δὲ μὴ εἰς δέον χρήσωνται τῷ ἀργυρίῳ. εἰσὶ δὲ καὶ ἄλλοι ἐν τῷ ἱερῷ πωλοῦντες καὶ ἀγοράζοντες τὰς Χριστοῦ περιστερὰς καὶ παραδιδόντες τοὺς ἀκεραίους ὡς περιστερά, τοὺς εὐξαμένους καὶ εἰπόντας· »τίς τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω;« καὶ ἐπακουσθέντας ἀρχουσιν οἷς οὐ δεῖ.

Καὶ νομίζω ἁρμόζειν τὸν περὶ τῶν πωλούντων τὰς περιστερὰς στερὰς λόγον τοῖς παραδιδοῦσι τὰς ἐκκλησίας αἰσχροκερδέσι καὶ τυραννικοῖς καὶ ἀνεπιστήμοσι καὶ ἀνευλαβέσιν ἐπισκόποις ἢ πρεσβυτέροις ἢ διακόνοις. διόπερ μόνων τῶν πωλούντων τὰς περιστερὰς καθέδρας ὠνόμασεν ὁ Ματθαῖος καὶ ὁ Μᾶρκος, ἃς φασι κατεστράφθαι ὑπὸ τοῦ Ἰησοῦ. ὡς εἴθε τούτων ἤκουον μετὰ τοῦ πρέποντος νοῦ τῇ θείᾳ γραφῇ οἱ ἐπὶ τῆς καθδρας Μωσέως« αὐχοῦντεσ καθέζεσθαι καὶ πωλοῦντες ὅλας ἐκκλησίας περιστερῶν καὶ παραδιδόντες αὐτὰς τοιούτοις προεστηκόσι, περὶ ὧν λέγοιτ᾽ ἂν τὸ ἐν τῷ Ἱερεμίᾳ ὑπὸ τοῦ κυρίου λεγόμενον· » οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμέ οὐκ ᾔδεισαν· υἱοὶ ἄφρονές εἰσι καὶ οὐ συνετοί, σοφοί εἰσι τοῦ κακοποιῆσαι, τὸ δὲ καλῶς ποιῆσαι οὐκ ἔγνωσαν« καὶ τὸ ἐν τῷ Μιχαίᾳ (οἶμαι) οὕτω λελεγμένον · »οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐκβληθήσονται ἐξ οἴκου τρυφῆς αὐτῶν«. εἰ γὰρ ἤκουον, οὐκ ἂν ἐπώλησαν τὰς Χριστοῦ περιστεράς, ἀλλὰ κατέστησαν ἄρχοντας αὐτῶν φειδομένους τῶν περιστερῶν καὶ προνοουμένους τῆς σωτηρίας αὐτῶν καὶ οὐ περιβλεπομένους τίνα ὡς παχεῖαν περιστερὰν θύσαντες καταθοινήσονται. λέγει δὲ Ἰησοῦς τοῖς ἐκβαλλομένοις ὡς πωλοῦσι καὶ ἀγοράζουσι καὶ τοῖς κολλυβισταπις καὶ τοῖς πωλοῦσι τὰς περιστεράς, δυσωπῶν αὐτοῦς ἀπὸ τῶν ὡς ἐκ προσώπου τοῦ πατρὸς λεγομένων προφητειῶν, ὅτι τὸ μὲν γεγραμμένον ἐστίν· ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται. οὐδέν γὰρ ἄλλο δεῖ εἶναι ἐν ἐκκλησίᾳ θεοῦ ἢ εὐχὴν πάσης ἁγίας πράξεως καὶ προκαλουμένης τὴν τοῦ θεοῦ ἐπισκοπήν, εἰς εὐχὴν παρὰ θεῷ λογιζομένης, μένης, καὶ τὸ »ἀδιαλείπτως προσετύχεσθε« δυνατόν ἐστιν. ὑμεῖς δέ, ὦ οὗτοι, ταῖς ὑμετέροις κακίαις τὸν τῆς προσευχῆς οἶκον οἶκον σπήλαιον λῃστῶν πεποιήκατε. καὶ εὑρεῖν ἔστι πολλαχοῦ

κατὰ βραχὺ οὕτως εἰς διαστροφὴν ὁδεύσαντα τὰ τῆς νομιζομένης ἐκκλησίς πράγματα, ὡς μηδὲν σπηλαίου λῃστῶν διαφέρειν τὸ ἀθροισμα συναγόμενον ἐν ὀνόματι Χριστοῦ, ὥστ᾽ ἂν λέγεσθαι αὐτοῖς· »δι᾽ ἡμᾶς διὰ παντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν«.

Εἰ δέ δεῖ τὰ εἴδη τρία τυγχάνοντα τῶν ἐνταῦθα κατειλεγμένων προσφιλονεικήσαντα τῇ σαφηνείᾳ τῆς γραφῆς ἐπιμελέστερον διηγήσασθαι, μήποτε οἱ μὲν ἐν τῷ λαῷ μηδενὶ ἐν τῷ κόσμῳ σχολάζοντες ἢ περὶ τὸ πωλεῖν καὶ ἀγοράζειν μόνον τὰς διατριβὰς ἔχοντες καὶ σπανίως ταῖς προσευχαῖς προσκαρτεροῦντες καὶ οἷς ἀπαιτεῖ ἔργοις ὁ θεῖος λόγος, εἰσὶν οἱ πωλοῦντες καὶ ἀγοράζοντες ἐν τῷ ἱερῷ τοῦ θεοῦ. οἱ δέ μὴ καλῶς διάκονοι διοικοῦντες τὰ τῆς ἐκκλησίας χρήματα, ἀλλ᾽ ἀεὶ μὲν ταῦτα ψηλαφῶντες, οὐ καλῶς δὲ αὐτὰ οἰκονομοῦντες ἀλλὰ σωρεύοντες τὸν νομιζόμενον πλοῦτον καὶ χρήματα, ἵνα πλουτῶσιν ἀπὸ τῶν εἰς λόγον πτωχῶν διδομένων, οὗτοί εἰσιν οἱ κολλυβισταὶ τραπέζας χρημάτων ἔχοντες, ἃς κατέστρεψεν ὁ Ἰησοῦς. οἱ δέ τὰς πρωτοκαθεδρίς πεπιστευμένοι τοῦ λαοῦ ἐπίσκοποι καὶ πρεσβύτεροι καὶ ὡσπερεὶ ἀποδιδόμενοι ὅλας ἐκκλησίς οἷς οὐ χρὴ καὶ καθιστάντες οὓς οὐ δεῖ ἄρχοντας, οὗτοί εἰσινοἱπωλοῦτες τὰς περιστερός, ὧν τὰς καθέδρας κατέστρεψενὁ Ἰησοῦς. ἕκαστος οὖν τῶν ἐπὶ καθέδρας καθεζομένων ἐκκλησιαστικῆς καὶ ἀγαπώντων »τὰς πρωτοκαθεδίας ἐν ταῖς συναγωγαῖς« προσεχέτω, μήποτε οὕτω καθέζεται ἐπὶ τῆς ἑαυτοῦ καθέδρας ὥστε ἐλθόντα τὸν ἰησοῦν καταστρέψαι αὐτὴν ὡς ἀξίαν καταστροφῆς. ἀλλὰ καὶ ἕκαστος τῶν ἀπὸ διακονίας συναγόντων <ἑαυτοῖς πλοῦτον> καὶ ἀποστερούντων πτωχῶν> χρήματα, νοήσας τὴν προκειμένην γραφὴν μηκέτι σωρευέτω εἰς τὰς τραπέζας ἀργύριον, ἵνα μὴ καταστρέψῃ αὐτὰς ὁ Ἰησοῦς. ἀλλὰ καὶ οἱ ὑπὸ μεριμνῶν τε καὶ φροντίδων βιωτικῶν <ἀεὶ> ἀγόμενοι εἰς κοὶ πράσεις φροντιζέτωσαν, μήποτε ἐλθὼν ὁ Ἰησοῦς ἐκβάλῃ αὐτοὺς ἐκ τοῦ ἱεροῦ >, ὅτε ὁ ἐκβεβλημένος οὐδέ ἐλπίδα τοῦ εἰσελθεῖν ἔχει ὅθεν ἐξεβλήθη. καὶ υποφαιεται μοι ἐρευνῶντί την ἐκκειμένην γραφήν, μήποτε ταῦτα ὁ Ἰησοῦς ποιήση καὶ] κατὰ τὴν δευτέραν ἐπιδημίαν ἢ κατὰ τὴν προσδοκωμένην θείαν κρίσιν. εἰσελθὼν γὰρ εἰς τὸ ἱερὸν τοῦ θεοῦ ὅλον, τὴν πᾶσαν ἐκκλησίαν, τὴν (ἐξ οὗ συνέστη ἐκκλησία) ἐν ὀνόματι Χριστοῦ συνεστηκυῖαν μέχρι τῆς συντελείας τοῦ αἰῶνος, οὓς ἄν εὕρῃ τῷ πωλεῖν καὶ ἀγοράζειν σχολάσαντας τῶν νομιζομένων εἶναι ἐν τῷ ἰωερῷ <ὡς ἀναξίους τοῦ ἱεροῦ> τοῦ θεοῦ ἐκβαλεῖ. καὶ οὓς ἂν εὕρῃ τραπέζας πήξαντας καὶ γινομένους κολλυβιστὰς ἐλέγξει καταστρέψας αὐτῶν τὰς τραπέζας καὶ τῷ λόγῳ δείξας οἷα περὶ τὸ ἀργύριον ἡμαρτήκασι. τότε δὲ καὶο τὰς (ὡς διηγησάμεθα) καθέδρας τῶν πωλούντων τὰς περιστερὰς καταστρέψει. εἰ δέ τις οὐδὲν τῶν τριῶν τούτων εἰδῶν ἔχει καὶ ἐν τῷ ναῷ εὑρίσκεται τοῦ θεοῦ, θαρρείτω. οὔτε γὰρ ἐκβληθήσεται ὑπὸ τοῦ Ἰησοῦ οὔτετι τῶν αὐτοῦ καταστραφήσεται οὔθ᾽ὡς ποιήσας τὸν οἶκον προσευχῆς σπήλαιον λῃστῶν ὀνειδισθήσεται ὡς λῃστής, ὅτε κολασθήσονται οἱ ποιήσαντες τῇ ἑαυτῶν λῃστείᾳ καὶ ἀδικίᾳ τὸν οἶκον τῆς προσευχῆς σπήλαιον λῃστῶν.

Εἰρημένης τοίνυν εἰς τὸ ῥητὸν τῆς ὑποπεσούσης ἡμῖν καὶ εἰς τὴν ἐκκλησίαν διχῶς ἀποδεδομένης διηγήσεως, φέρε μετὰ ταῦτα ἴδωμεν εἰ δύναται καὶ οὕτω

τὰ κατὰ τὸν τόπον νοηθῆναι. οὐκ ἐλαττον τῆς ἐκκλησίας φύσει ἱερόν ἐστι θεοῦ πᾶσα λογικὴ φύσις, κατεσκευασμένη ἵνα χωρήσῃ δόξαν θεοῦ, περὶ ἡς γέγραπται (ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων καὶ τῇ τρίτῃ τῶν Βασιλειῶν) ὀφθείσης μετὰ τὴν οἰκοδομὴν τοῦ νεὼ ἐν αὐτῷ. τοῦτο δὴ τὸ φύσει ἱερὸν τοῦ θεοῦ, τὴν ψυχήν, πεπληρώκαμεν οἱ ἁμαρτάνοτες πο,λούντων κα]κι ἀγοραζόντων λογισμῶν καὶ ἄλλων περὶ ἀργυρίου πάντα σκοπούντων διαλογισμῶν· πεπληρώκαμεν δὲ ἁμαρτάνοντες καὶ ἄλλων πωλούντων καὶ ἀπεμπολούντων εἴ τι ἅγιον κατάλειμμα ἐν τῇ ψυχῇ ἡμῶν γεγένηται, ὅπερ ἦν περιστερά. λέγει οὖν τοῖς ἁμαρτάνουσιν ὁ Ἰησοῦς καὶ πεπληρωμένοις λῃστῶν λογισμῶν τὸ γέγραπται· ὁ οἰκός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν πεποιήκατε σπήλαιον λῃστῶν. ὁ μὲν οὖν Ἰησοῦς τοὺς ποιήσαντας σπήλαιον λῃστῶν τὸν οἶκον τῆσπροσευχῆς λῃστὰς ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ. οἱ δέ τὰ αὐτὰ τοῖς λῃσταῖς φρονοῦντες περὶ μὲν Ἰησοῦ εἰρήκασι· »σταύρου σταύρου αὐτόν«, περὶ δέ τοῦ λῃστοῦ Βαραββᾶ · »άπόλυσον ἡμῖν τὸν Βαραββαᾶν«. διόπερ μέχρι σήμερον Ἰουδαῖοι Ἰησοῦν μὲν οὐκ ἔχουσιν οὐ γὰρ πεπιστεύκασιν εἰς τὸν υἱὸν τοῦ θεοῦ), ἔχουσι δέ μεθ’ ἑαυτῶν τὸν ἀπὸ τῶν πνευματικῶν »τῆς πονηρίας« Βαραββᾶν τὸν λῃστὴν ἤδη κεκρατημένον κοὶ εἰς φυλακὴν« κατακεκλεισμένον, ὃν καθ’ ἑαυτῶν ἠξίωσαν ἀπολυθπηναι. διὰ τοῦτο ἄρχει τῶν ἀπίστων Ἰουδαίων Βαραββᾶς ὁ λῃστής.

Καὶ προσῆλθον αὐτῷ τυφλοὶ καὶ χωλοὶ ἐν τῷ ἱερῷ, καὶ ἐθεράπευσεν αὐτοὺς καὶ τὰ ἑξῆς ἕως τοῦ ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. (Matth. 21 14-16).

Τὰ μὲν τῆς λέξεως δῆλα. ἀκολούθως δὲ ταῖς προαποδεδομέναις ἀναγωγαῖς λεκτέον ὅτι ἐν τῷ ἱερῷ τοῦ θεοῦ, τῷ οἴκῳ τῆς προσευχῆς, τῇ ἐκκλησίᾳ, οὐ πάντες εἰσὶ βλέποντες οὐδὲ (ἵν᾽ οὕτως ὀνομάσω) εἰσὶ γάρ τινες καὶ τυφλοὶ καὶ ἄλλοι χωλοὶ τῶν ἀθροιζομένων, οἵτινες ἐκ τοῦ συναισθέσθαι τῆς ἑαυιτῶν τυφλότητος καὶ χωλότητος καὶ τοῦ γινώσκειν ὅτι οὐδενὸς ἢ τοῦ θεοῦ ἔργον ἐστὶ καὶ τοῦ λόγου τοῦ θεοῦ τὸ θεραπεῦσαι αὐτοὺς προσελθόντες αὐτῷ θεραΠεύονται.

μετὰ τοῦτο γέγραπται ὅτι οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καίτοιγε ἰδόντες τὰ θαυμάσια ἃ ἐποίησεν ὁ Ἰησοῦς, καὶ τῶν παίδων ἀκούοντες δοξαζόντων τὸν υἱὸν τοῦ θεοῦ ἐν τῷ ἱερῷ, τῇ ἐκκλησίᾳ, ἠγανάκτησαν καταφρονοῦντες τῶν ὑμνούντων τὸν Ἰησοῦν παιδίων, καὶ ἀγανακτήσαντές φασι τῷ σωτῆρι· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ δυσωπῶν αὐτοὺς ἀπεδρίνατο ὅτι τοσούτῳ τοσούτῳ ἐν ταῖς θείαις ἀναστρεφόμενοι γραφαῖς μέχρι τοῦ δεῦρο ἀνέγνωτε, ἵνα μὴ καταφρονήσητε τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν καὶ παιδίων ὑμνούντων ἐμέ καὶ τὸν ἐν τοῖς οὐρανοῖς πατέρα μου, ὅτι ἐκ στόματος νηπίων κοὶ θηλαζόντων κατηρτίσω αἶνον;

Μήποτε οὖν, ὡς κατὰ τὴν ἱστορίαν ψεκτοί εἰσιν οὗτοι οἱ ἀρχιερεῖς καὶ γραμματεῖς, οὕτως καὶ κατὰ τὴν ἀναγωγή εἰσί τινες ψεκτοὶ ἀρχιερεῖς, τὸ ὄνομα τῆς ἐπισκοπῆς οὐ κοσμοῦντες τῷ ἑαυτῶν βίῳοὐδὲ ἐνδεδυμένοι τὴν γνῶσιν καὶ τὴν ἀλήθειαν, οὗτοι οὖν, καίτοιγε βλέποντες τὰ τοῦ θεοῦ θαυμάσια, οὐδὲν ἧττον καταφρονοῦσι τῶν ἐν τῇ ἐκκλησίᾳ μικρῶν μὲν καὶ νηπίων ὑμνούτων δὲ τὸν θεὸν καὶ τὸν Χριστὸν

αὐτοῦ, καὶ ἀγανακτοῦσιν ἐπὶ τῇ τούτων προκοπῇ καὶ κατηγοροῦσιν αὐτῶν παρ' <ἀτῷ> τῷ Ἰησοῦ ὡς τῶν μὴ ἁμαρτανότων, καὶ ὡς <μὴ> ἀκουόντι <μηδὲ> τάξιν τηροῦντι λέγουσιν αὐτῷ ἀκούεις τί οὗτοι λέγουσι; καὶ τοῦτο δὲ ἔτι μᾶλλον συνήσομεν ἐπιστήσαντες, τίνα τρόπον πολλάκις τοῖς ζέουσι τῷ πνεύματι καὶ μέχρι φυλακῶν πρὸς τοὺς ἀπίστους παραβαλλομένοις καὶ <παντὸς> κινδύνου καταφρονοῦσι μετὰ πόσης εὐτονίας ἀσκοῦσιν ἁγνείαν καὶ παρθενίαν ἰδιώταις λέξει, ἐπιπλήσσουσιν ὡς ἀτάκτοις οἱ ψεκτοὶ ἀρχιερεῖς καὶ ἐγκαλοῦσιν αὐτοῖς παρὰ τῷ Ἰησοῦ, ὡς αὐτοὶ δικαιότερον πράττοντες τῶν οὕτως <ἁπλῶν καὶ> σπουδαίων καὶ χρηστῶν παιδίων. ἀλλ᾽ ὁ Ἰησοῦς τοῖς παισίοις μὲν μαρτυρεῖ, τοῖς δέ ἀρχιερεῦσιν ἀμαθίαν <γραφῶν> ἐγκαλεῖ διὰ τοῦ λέγειν· οὐδέποτε ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; καὶ ἐπὰν ἴδῃς ἐν τῆς ἐκκλησίᾳ τοὺς κατὰ τὸν Πέτρον »ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα« ἐπιποθοῦντας καὶ θηλάζοντας αὐτό, γάά ποτιζομένους, ἔτι καὶ ὑμνοῦντας τὸν θεὸν τῇ πίστει καὶ τῷ βίῳ, θώρει ὅτι Πληροῦται ἐπ᾽ αὐτῶν τὸ ἐκ στόματος νηπίων καὰ θηλαζόντων κατηρτίσω αἶνον. ἑαυτῷ γὰρ ὁ θεὸς αἶνον ἐν τοῖς τοιούτοις καταρτίζεται, ἐφ' οἷς εὐχαριστῶν τῷ πατρὶ ὁ υἱὸς λέγει· »ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις · ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο« καὶ τὰ ἑξῆς.

Καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως [ἐως] εἰς Βηθανίαν καὶ τὰ ἑξῆς εως του καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ Προσευχῇ πιστεύοντες λήψεσθε. (Matth. 21, 17—22.)

Τινας καταλιπὼν ὁ Ἰησοῦς ἐξῆλθε τῆς τῶν Ἱεροσολύμων πόλεως, λεως, ἀφ᾽ ἧς ἐξελθὼν ἐν Βηθανίᾳ ἦν ἢ τοὺς ἰδόντας μὲν ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ »τὰ θαυμάσια ἃ ἐποίησε καὶ τοὺς παῖδας κραζοντας ἐν τῷ ἐερῷ καὶ λέγοντος· ὡσαννὰ τῷ υἱῷ Δαυΐδ«. οὐδέν δ' ἧττον ἀγανακτήσαντας ἐπὶ τοῖς αἰνοῦσι τὸν Χριστόν, καὶ δαὶ τοῦτο ἐλεγχθέντας ὡς μὴ νενοηκότας τὸ ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; κοὶ ἐπεὶ κατέλιπεν ἐκεῖνα τὰ Ἱεροσόλυμα κακὶ ἔξω γέγονε τῆς πόλεως, δαὶ τοῦτο πέπτωκε κοὶ »λίθος ἐπὶ λίθον« ἠρξατο μὴ μένειν ἀλλὰ καὶ καθαιρεῖσθαι ἕως πάντα καταλυθῇ. ἦλθε δ' εἰς Βηθανίαν, τὸν τῆς ΥΠΑΚΟΗΣ ΟΙΚΟΝ, τὴν ἐκκλησίαν, ἔνθα καὶ ηὐλίσθη καὶ ἀνεπαύσατο, ἐπεὶ μὴ εἶχεν ἑν Ἱεροσολύμοις » ποῦ τὴν κεφαλὴν κλίνῃ«, ἅτε τοιούτων ἀρχιερέων καὶ γραμματεων ὄντων ἐν αὐτοῖς. ὅτε δέ ἀνεπαύσατο ἐν τῇ Βηθανίᾳ, τῷ τῆς ΥΠΑΚΟΗΣ ΟΙΚΩΙ μετὰ τὴν ἀρχὴν τοῦ συστῆναι τὴν ἐκκλησίαν καὶ ἀναπαύσασθαι τὸν Χριστὸν ἐν οὐτῇ, τότε ἐπανάγει εἰς τὴν πόλιν ἣν καταλέλοιπε καὶ ἧς ἔξω γέγονε, καὶ ἐπανάγων εἰς αὐτὴν πεινᾷ, καὶ μίαν ἰδὼν συκῆν ἐπὶ τῆς ὁδοῦ, τὸ δένδρον τοῦ λαοῦ, ἦλθεν ἐπ αὐτήν , καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ βρώσιμον ἀλλὰ μόνον ζωῆς ἐμφασιν· φύλλα γὰρ χωρὶς καρπῶν ἦν ἐν τῇ συκῇ. εἶτ᾽ ἐπεὶ ἐμψυχος ἦν αὐτη ἡ συκῆ, διὰ τοῦτο λέγει ὡς ἀκουούσῃ τὴν πρέπουσαν αὐτῇ ἀράν. τὸ δέ λεγόμενον τοιοῦτον ἠν· ὅσον συνέστηκεν ὁ ἐνεστὼς αἰών, μηκέτι γένοιτο ἔν σοι καρπός. διὰ τοῦτο ἀκαρπός ἐστιν ἡ Ἰουδαίων συναγωγή, καὶ τοῦτο γίνεται αὐτῇ ἕως

τῆς συντελείας τοῦ αἰῶνος«, ἕως »τὸ πλήρωμα τῶν Μνῶν εἰσέλθῃ«. ἐξηράνθη δὲ ἡ συκῆ, ἔτι ἐπιδημοῦντος τῷ βίῳ τῶν ἀνθρώπων καὶ ἐν οις ὡς ἀνθρώπου > οὔντος Ἰησοῦ. ἰδόντες δὲ οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; τοῖς γὰρ τῆς ψυχῆς ὀφθαλμοῖς εἶδον τὸ τῆς ξηρανθείσης συκῆς μυστήριον καὶ ἐθαύμασαν οὐχ οὕτως ἐπὶ τῷ ἐξηράνθαι αὐτήν, ὡς ἐπὶ τῷ παραχρῆμα ἐξηράνθαι, ἔβλεπον γὰρ ξηρὰν τὴν συκῆν, τὸν λαὸν τὸν Ἰσραὴλ ἐκεῖνον. καὶ θαυμάζουσι τοῖς μαθηταῖς ἐν τῷ ἐωρακέναι παραχρῆμα τὴν συκῆνκκ ἐξηραμμένην, ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν ἐμπεδῶν τὸ λεγόμενον τῷ ἀμὴν) ὅτι ἐὰν ἔχητε πίστιν κοὶ μὴ διακριθῆτε , οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· ἀρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται. οὐκοῦν οἱ πιστεύοντες μαθηταὶ καὶ μὴ διακρινόμενοι ποιοῦσι καὶ τὸ τῆς συκῆς λέγοντες αὐτῇ »ὑμῖν ὑμῖν ἦν ἀναγκαῖον τὸν λόγον τοῦ θεοῦ· ἐπεὶ δέ οὐκ ἀξίους κρίνετε ἑαυτούς, ἰδοὺ στερφόμεθα εἰς τὰ ἔθνη«, καὶ καταλιπόντες αὐτὴν ξηραίνουσιν αὐτήν, ἵν’ ἡ ζωτικ]κη δύναμις αὐτῆς μεταβῇ ἐπὶ τοὺς ἀπὸ τῶν ἐθνῶν, καὶ τὸ πρότερον συνέχον πνεῦμα τὸν λαὸν ἐκεῖνον μεταστῇ ἐπὶ τοὺς ἀπὸ τῶν Μνῶν.

Πρὸς τῷ δέ ποιεῖν τὸ τῆς συκῆς τοὺς μαθητὰς <ἔτι> ἐπαγγέλλεται αὐτοῖς ὁ τοῦ Μοῦ λόγος, ἐὰν ἔχωσι πίστιν καὶ μὴ διακριθῶσιν, ὅτι <καὶ> τῷ <βλεπομένῳ> τε καὶ> δεικνυμένῳ ὑπ᾽ αὐτοῦ ὄρει, τῇ ἀντικειμένῃ ἐνεργείᾳ ἐΠαιρομένῃ κατὰ τῶν ἀνθρώπων, λέγουσιν· ἀρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ γίνεται. αἴρεται γὰρ ἀφ’ ἑκάστου τῶν ὠφελουμένων ὑπὸ μαθητῶν Ἰησοῦ τὸ βαρὺ τῆς καίας ὄρος, ὁ σατανας, αἴροντος αὐτὸν τοῦ νικήσαντος αὐτον, καὶ βάλλεται εἰς τὴν θάλασσαν, τὴν ἄβυσσον, βάλλοντος αὐτὸν εἰς τὸν ἄξιον αὐτοῦ τόπον τῆς κολάσες. καὶ περὶ ταύτης τῆς θαλάσσης ἐν ψαλμοῖς λέγεται τὸ »αὐτη ἡ θάλασσα ἡ μέγάλη καὶ εὐρύχωρος · ἐκεῖ πλοῖα I διαπορεύεται, ζῷα μικρὰ μετὰ μεγάλων, δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ«. καὶ ἐν ἄλλῳ ψαλμῷ· ἐκεῖ »συνέθλασας τὰς κεφαλὰς τῶν δρακόν <των ἐπὶ τοῦ ὕδα>τος«, δῆλον δέ ὅτι ἐν τῇ θαλάσσῃ, κοί· ἐκεῖ »συνέδλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν«. αἴρεται οὖν καθ᾽ ἕκαστον τῶν ὑπὸ τοῦ λόγου καταρτιζομένων εἰς σωτηρίαν ὄρος τὸ ὑπὸ τοῦ Ἰησοῦ βλεπόμενον καὶ δεικνύμενον, καὶ βάλλεται εἰς τὴν θάλασσαν κατὰ τὸν τοῦ ἐπιτυγχάνοντος μαθητοῦ Ἰησοῦ ἐν διδασκαλίᾳ λόγον, λέγοντος τῷ ἐν τῷ καθ᾽ ἕκαστον τῶν ἀκουόντων ὄρει· ἀρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν , λέγοντος δέ μετὰ τοῦ ἔχειν πίστιν καὶ μὴ διακρίνεσθαι, ἵνα καὶ τὸ λεγόμενον γένηται. καὶ τὰ πάντα δὲ ὅσα ἐὰν ὁ ἔχων πίστιν καὶ μὴ διακρινόμενος αἰτήσῃ ἐν τῇ προσευχῇ, πιστεύων λήψεται.

Αὐτη δέ ἐστι Βηθανία, ἔνθα ὁ ἐκ νεκρῶν ἀναστὰς Ἰησοῦ φίλος κατῴκει. καὶ πᾶς δέ ὁ ὑπακούων τῷ λόγῳ τοῦ θεοῦ καὶ τὸν λόγον τῆς ὑπακοῆς ἐνιδρυμένον <καὶ ἐναυλιζόμενον> ἔχων ἑαυτῷ, ΟΙΚΟΣ ἐστιν ΥΠΑΚΟΗΣ καὶ Βηθανία, ἐν ᾗ αὐλίζεται ὁ Ἰησοῦς καὶ ἀναπαύεται. ἐπεὶ δὲ πράγματα δεῖ λαμβάνειν ἀπὸ τῶν λεγομένων ἀξια σοφίας θεοῦ ἀφ᾽ ἧς τὰ εὐαγγέλ·ια γέγραπται. πρόσχες εἰ μὴ κατὰ μέν τοὺς ἁπλούστερον νοοῦντας παρέλκει τὸ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως· πῶς γὰρ ἐδύνατο ἔξω τῆς πόλεως γενέσθαι μὴ καταλιπὸ)ν τοὺς

προτέρους παρ᾽ οἷς ἦν; κατὰ δὲ τοὺς συνετώτερον ἀκούοντας τῶν λεγομένων <οὐ> πάντως καταλείπει τοὺς προτέρους ὅτε παρ᾽ ἑτέροις γίνεται, ἀλλὰ φαύλους μέν καὶ ἁμαρτωλοὺς καταλείπει, δικαίοις δὲ συνὼν καὶ παρ᾽ ἑτέροις γίνεται μετ᾽ ἐκείνους καὶ σὺν ἐκείνοις. ἀλλὰ καὶ εἰς Βηθανίαν θανίαν αὐλισθεὶς οὐ καταλιπὼν τὴν Βαηθανίαν εἰς τὴν πόλιν ἐπανάγει· ἦν γὰρ καὶ ἐν Βηθανίᾳ καὶ ἐπανῆγεν εἰς τὴν πόλιν. ἐπείνα δέ ὁ Ἰησοῦς ἀεὶ τῶν ἐν τῷ δικαίῳ βουλόμενος μεταλααβεῖν καρπῶν τοῦ <ἐν αὐτοῖς ἁγίου> πνεύματος, καὶ ἔστιν αὐτοῦ <βρώματα> ἵν᾽ οὕτως ὀνομάσω) τὰ σῦκα ὧν πεινῶν ἐσθίει ἡ ἀγάπη τοῦ καρποφοροῦντος αὐτήν, πρῶτος οὖσα »καρπὸς τοῦ πνεύματος«, καὶ ἡ χαρὰ καὶ ἡ εἰρήνη καὶ ἡ μακροθυμία καὶ τὰ λιπά. ἃτινα ὅσον μὲν καρποφοροῦμεν οὐ ξηρανθησόμεθα, ἐπὰν δέ ἐπιστάντι αὐτῷ καὶ ζητοῦντι<τοιοῦτον> καρπὸν ἵνα φάγῃ μὴ παρέχωμεν. λελέξεται πρὸς ἡμᾶς· μηκέτι ἐκ σοῦ καρπὸς γένοιτο εἰς τὸν αἰῶνα χωρὶς γὰρ τῆς προαποδεδομένης περὶ συκῆς ὡς τοῦ λαοῦ διηγήσεως ἔστι καὶ ἐπὶ ἕκαστον ἀνάγειν τόν λόγον, συκῆν ὄντα ἤτοι ξηραινομένην ἢ φέρουσαν καρπὸν καὶ ζῶσαν κοὶ γεωργουμένην, ἵνα πλείονα καρπὸν φερῃ.

Τάχα δὲ ὥσπερ ἐπὶ τοῦ σπόρου »ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν« καὶ »ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν καὶ ἦλθε τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατέφαγεν αὐτά«, ἄλλα δὲ εἰς τὰς πέτρας καὶ ἄλλα εἰς »τὰς ἀκάνθας« καὶ ἄλλα εἰς »τὴν καλὴν« καὶ ἀγαθὴν γῆν, οὕτως καὶ συκαῖ εἰσι διάφοροι. καὶ ἐὰν μὲν ᾖ συκῆ ἐπὶ τῆς καλῆς καὶ ἀγαθῆς γῆς, καὶ φέρει »καρπὸν« καὶ πεινῶντι τῷ Ἰησοῦ παρέχει αὐτόν. ἐπὰν δέ ᾖ »παρὰ τὴν ὁδόν« ὡς αὕτη περὶ ἧς γέγραπται τὸ καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἐλθόντι τῷ Ἰησοῦ οὐ δίδωσι καρπόν· οὐδέν γὰρ εὑρίσκει ἐν τῇ »παρὰ τὴν ὁδὸν« συκῇ εἰ μὴ φύλλα μόνον. διὸ λέγει αὐτῇ, ἐπεὶ »παρὰ τὴν ὁδὸν« ἦν καὶ φύλλα μόνον εἶχεν ἐμφασιν τοῦ ζῆν ἀλλ᾽ οὐ μετὰ καρποῦ, το μηκετι ἐκ σου καρπος γενοιτο εἰς τὸν αἰῶνα. ὅσον μὲν οὺν ουκ ερχεται επι τινα συκῆν οὐδὲ ἤδη ζητεῖ τὸν καρπὸν αὐτῆς, ἀλλὰ μακροθυμεῖ περιμένων εἴ πως οἴσει καρπὸν ἡ συκῆ, οὐ ξηραίνεται. ραίνεται. ἐπὰν δὲ ἐπιστάντος τοῦ παινῶντος <καὶ ἐπιζητοῦντος> ἡμῶν τοὺς καρποὺς εὑρεθῶμεν οὐδὲν ἔχοντες εἰ μὴ τὴν ἐπαγγελίαν τῆς πίστεως μόνην *** οὐ συνόντων αὐτῇ καρπῶν, παραχρῆμα ξηρανθησόμεθα καὶ τὸ δοκεῖν εἶναι πιστοὶ ἀπολωλεκότες, καὶ ἔστιν εὑρεῖν τοιούτους τινὰς ἐπὶ πολὺν φορέσαντας χρόνον τὸ τῆς πίστεως ὄνομα καὶ ἐμφήναντας ὅτι ζῶσι, καὶ παντελῶς <δ᾽> εἰσὶ ξηροί· οὓς διὰ τὸ μὴ καρποφορεῖν ἔστιν ἰδεῖν καὶ ἀφισταμένους παντελῶς τοῦ λόγου καὶ ξηρανθέντας. ἐνθάδε μὲν οὖν ξηραίνεται ἡ μή δεδωκυῖα πεινῶντι τῷ Ἰησοῦ καρπόν· ἄλλη δὲ συκῆ ἐκκόπτεσθαι κελεύεται, ἵνα μὴ »τὴν γῆν« καταργῇ. εἶθ᾽ οἱ μαθηταί, ἐπὰν ἴδωσί τινα μετὰ ζωτικὴν ἔμφασιν ζηρανθέντα, θαυμάζουσι λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Ἔτι δὲ μᾶλλον νοήσομεν τοῖς καθ᾽ ἕνα ἐφαρμόζοντες τὰ κατὰ τὸν τόπον, ἐπιστήσαντες τίνα τρόπον ἐν τοῖς πειρασμοῖς ὁ μὲν Ἰησοῦς αἰτεῖ τοὺς καρπούς, φέρ᾽ εἰπεῖν ἐν διωγμῷ τὴν ὁμολογίαν κοὶ τὸ μαρτύριον, καὶ ἐν τῷ γυναῖκα ἐπιμαίνεσθαί τινι τὴν τοῦ Ἰωσὴφ ἐγκράτειαν καὶ σωφροσυνην, καὶ οὕτως καθ᾽ ἕκαστον πειρασμὸν τὸν ἀκόλουθον αὐτῷ καρπόν. ὁ δέ μὴ παρασκευασάμενος διδόναι πεινῶντι τῷ

Ἰησοῦ καὶ ἐφισταμένῳ τὴν ὁμολογίαν ἢ τὴν ἐγκράτειαν, παραχρῆμα ξηραίνεται· ὁ γὰρ ἀρνησάμενος ξηραίνεται, ὁμοίως δέ καὶ ὁ πορνεύσας, καίτοι παρὰ τὸν πρὸ τῶν πειρασμῶν καιρὸν ζωτικὴν ἐμφαίνων δύναμιν καὶ οἱονεὶ τὰ φύλλα τῆς συκῆς περικείμενος. κοὶ θαυμάζουσιν ἐπὶ τῶν τοιούτων οἱ μαθηταί, πῶς ὁ μὲν Ἰησοῦς ἐπέστη πεινῶν καὶ ζητῶν τὸν καρπόν, τῷ δέ μὴ εὑρηκέναι εὐθέως »εἶπε« »καὶ ἐγένετο«, καὶ παραχρῆμα ἐξράνθη mox siccantur. ἡ μὴ παρεσκευασμένη εἰς τὸ φέρειν καρπὸν συκῆ. καὶ πολλάκις τις γενόμενος συκῆ ἔτεσι πλείοσιν οὐ ξηραίνεται, ἐπιστάντος δέ Ἰησοῦ ἐν καιρῷ πειρασμου καὶ απαιτουντος τὸν καρπόν, οὐ δεδωκὼς αὐτῷπαραχρῆμα ἐξηράνθη καὶ τὴν τῶν τοσούτων ἀπολώλεκεν ἐτῶν ἐτῶν καὶ τοῦτο γίνεται ἐπείπερ, κατὰ τὸν τοῦ σωτῆρος λόγον. »παντὶ τῷ ἔχοντι δοθήσεται καὶ περισσευθήσεται· ἀπὸ δέ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ«, ἵνα μὴ ἀργὸν ᾖ ὁ δοκεῖ ἓχειν«. ἓκαστος δὲ τῶν μαθητῶν, ἐὰν ἔχη πίστιν καὶ μὴ διακριθῇ, καὶ τὸ τῆς συκῆς ποιεῖ καὶ τὸ ἐξῆς αὐτῷ ἐπιφερόμενον.

Κοὶ ἔργον ἐστὶ δεῖξαι, πῶς ὁ Ἰησοῦ μαθητὴς ζητήσας καρπὸν ἐν συκῇ κοὶ μὴ εὑρὼν λέγει αὐτῇ· μηκέτι ἐκ σοῦ καρπὸς γένοιτο εἰς τὸν αἰῶνα, ἵνα παραχρῆμα καὶ ἐπ᾽ αὐτῷ ξηρανθῇ ἡ συκῆ. καὶ εἰς εἰς δέ νόησόν τινα τὰ τῆς πίστεως ἐπαγγελλόμενον καὶ οἰόμενον ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ ἐσθίειν καὶ πίνειν κοὶ τὸν Ἰησοῦν ἐν ταῖς πλατείαις« τῆς ψυχῆς αὐτοῦ δεδιδαχέναι. εἶτα ἡκέτω μαθητὴς ζητῶν καρπὸν σοφίας καὶ λόγου ἐν αὐτῷ κατὰ τὴν περὶ τοῦ διδάσκειν τὰ θεῖα ἐπαγγελίαν, καὶ ζητῶν καὶ ἐρευνῶν τῷ λόγῳ αὐτὸν μηδένα καρπὸν εὑρισκέτω· καὶ διὰ τοῦτο αὐτὸν παριστὰς τοῖς θεωροῦσι κενὸν τοῦ Χριστοῦ, παριστάτω τῷ λόγῳ ὅτι οὐχ οἷόν τε τινὰ καρπὸν ἔτι γενέσθαι αὐτῷ εἰς τὸν αἰῶνα ὑπὸ τῆς οἰήσεως βεβλαμμένῳ. ὅρα οὖν εἰ μὴ ἐν τοιούτῳ ὁ ἔχων πίστιν καὶ μὴ διακριθεὶς τὸ τῆς συκῆς παραπλησίως πως τῷ Ἰησοῦ ποιεῖ. καὶ κρεῖττόνγέ ἐστι, τὴν ἀπατηλὴν συκῆν καὶ νομιζομένην μὲν ζῆν μὴ καρποφοροῦσαν δέ, ἐλεγχθεῖσαν ὅτι ἄκαρπός ἐστι, ξηρὰν τοῖς λόγοις τῶν μαθητῶν Ἰησοῦ φανῆναι, ἢ ἀπατᾶν ἔτι τῇ νομιζομένῃ ζωῇ καὶ τῇ προσποιήσει <τῆς ἐπαγγελίας> »τὰς τῶν ἀκάκων« καὶ εὐεξαπατήτων »καρδίας«. καλὸν οὖν ἐξάνη καὶ τοῦ Ἰησοῦ καὶ τῶν μαθητῶν αὐτοῦ ἔργον τὸ κατὰ τὴν ξηραινομένην συκῆν. ἐν ἑκάστῳ δ᾽ οἶμαι) ἀπίστῳ καὶ ἀνόμῳ ὅρος ἐπίκειται κατὰ τὴν ἀναλογίαν τῆς ἀπιστίας καὶ τῆς ἀνομίας, τῷ λόγῳ τῶν μαθητῶν Ἰησοῦ αἰρόμενον καὶ βαλλόμενον εἰς τὴν θάλασσαν τῆς κολάσεως αὐτοῦ. καὶ πάντα δὲ ὅσα ἐὰν αἰτῶσιν ἐν τῇ προσευχῇ πιστεύοντες οἱ Ἰησοῦ μαθηταὶ λήψονται, ὡς μαθηταὶ οὐδὲν τῶν μὴ δεόντων αἰτήσοντες, καὶ ὡς πειθόμενοι τῷ διδασκάλῳ, μηδὲν ἀλλο αἰτοῦντες ἢ τὰ μεγάλα καὶ τὰ ἐπουράνια· εἶπε γὰρ ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ· »αἰτεῖτε τὰ μεγάλα, καὶ τὰ μικρὰ προστεθήσεται ὑμῖν· καὶ αἰτεῖτε τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια προστεθήσεται ὑμῖν«.

Ὁ δὲ Μᾶρκος ἀναγράψας τὰ κατὰ τὸν τόπον ἀπεμφαῖνόν τι ὡς πρὸς τὸ ῥητὸν) προσέθηκε ποιήσας ὅτι ἰδὼν« ὁ Ἰησοῦς »ἀπὸ μακρόθεν συκῆν ἔχουσαν φύλλα ἦλθεν« ὡς εὑρήσων τι ἐν αὐτῇ«· »ἐλθὼν« δέ »ἐπ᾽ αὐτὴν« καὶ μηδὲν εὑρὼν »εἰ μὴ φύλλα« μόνον »οὐ γὰρ ἦν ὁ καιρὸς σύκων«) »ἀποκριθεὶς εἶπεν αὐτῇ· μηκέτι εἰς

τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς καρπὸν φάγῃ«, εἶποι γὰρ ἂν τις· εἰ μὴ »ὁ καιρὸς σύκων ἦν«, πῶς ἦλθεν ὁ Ἰησοῦς ὡς εὑρήσων τι »ἐν αὐτῇ« καὶ πῶς δικαίως εἶπεν αὐτῇ· »μηκέτι εἰς τὸν αἰῶνα ἐκ σοῦ μηδεὶς καρπὸν φάγῃ»; πρὸς τοῦτο δὲ λελέξεται ὅτι οἱ κατειλεγμένοι παρὰ τῷ ἀποστόλῳ καρποὶ τοῦ πνεύματος, ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια, ἔστι μέν ὅτε ἐν οἰκείῳ ἀποδίδονται καιρῷ. βέλτιον δὲ εἰ, τῶν περιεστηκότων ἐπὶ τὸ ἐναντίον τῷ καρποφορεῖν προκαλουμένων, δυνηθείη τις καὶ διὰ τὸ πάνυ ὠφελεῖσθαι ἐκ τοῦ λόγου οὐδέν ἧττον κοὶ τότε διδόναι τοὺς καρποὺς τοῦ πνεύματος. ὃ δέ λέγω τοιοῦτόν ἐστιν· εἷς τῶν καρπῶν τοῦ πνεύματός ἐστιν ἀγάπη. ταύτης δέ καιρὸς μέν ὅτε οὐ χαλεπὸν ἀποδοοῦναι τὸν καρπὸν τοῦ ἀγαπᾶσθαι· καὶ ἔστιν ἀγαπᾶν τὸν ἀγαπωντα καρπος μευ του πνευματος, οὐ μὴν ἐν οὐ καιρῷ ἵν᾽ οὕτως ὀνομάσω) σύκων. ἐπὰν δέ ἐπὶ τὸ μισεῖν προκαλῆταί τις τὸν πιστεύοντα τοιοῦτον ἀπατῶν καὶ ἐπιβουλεύων καὶ τοῖς ἤθεσι βεβλαμμένος ὤν, ὥστε δοκεῖν ἄξιος εἶναι τοῦ μισεῖσθαι, ὁ δέ δίκαιος μηθὲ τὸν τοιοῦτον μισῇ αλλ᾽ ὡς υἱὸς »τοῦ τὸν ἥλιον ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς«) καὶ τότε αὐτὸν ἀγαπᾷ, οἱονεὶ ἐν οὐ καιρῷ σύκων τῆς ἀγάπης διδοὺς τὸν καρπόν, πόν, μακάριός ἐστι. τὸ δ᾽ ὅμοιον νοήσεις καὶ ἐπὶ τῆς χαρᾶς. φέρειν μέν γὰρ τὸν καρΠὸν τοῦ πνεύματος τὴν χαρὰν μηδενὸς ἐπὶ τὸ λυπεῖσθαι προκαλουμένου καὶ δυσαρεστεῖσθαι, οὐ χαλεπόν· ὅταν δέ τὰ μέν περιεστηκότα ἐπὶ λύπην καὶ ἀθυμίαν καὶ δυσαρέστησιν προκαλῆται, ἀπὸ δέ τῆς κατὰ τὸν λόγον ὠφελείας τις ἐπὶ τοσοῦτον προκόπτῃ, ὡς <καὶ> ἐν τῆς δοκούσης δυσαρεστήσεως εὐαρεστεῖσθαι καὶ ἐν καιροῖς τοῦ ἀτιμάζεσθαι καὶ τοῦ μαστιγοῦσθαι χαίρειν καὶ ἁπλῶς ἐν παντὶ περιστατικῷ καιρῷ μεμνῆσθαι τοῦ »πάντοτε χαίρετε«, μακάριος ἂν ὁ τοιοῦτος εἴη καρπὸν φέρο)ν τὴν χαρὰν καὶ ἐν οὐ καιρῷ ἵν᾽ οὕτως ὀνομάσω) σύκων.

Τὸ παραπλήσιον δέ οὐ χαλεπὸν καὶ ἐπὶ τῶν ἄλλων καρπῶν ποιῆσαι τοῦ πνεύματος. βούλεται γὰρ εἶναι κρείττονα τῆς ἀνθρωπίνης φύσεως τὸν προσιόντα τῷ λόγῳ αὐτοῦ ὁ θεὸς καὶ ἀπαιτεῖ αὐτὸν παράδοξα καὶ (ἵν᾽ οὕτως ὀνομάσω) θεοῦ μᾶλλον ἢ ἀνθρώπου ἔργα. διὸ κοὶ πᾶσι λέγει οὓς καλεῖ ἐπὶ τὴν μακαριότητα· ἐγὼ εἶπα· θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες«, μεμφόμενος δὲ τοῖς μὴ βουλομένοις ἀποθεωθῆναι καὶ υἱοῖς ὑψίστου γενέσθαι λέγει· »ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνῄσκετε«· κατὰ γὰρ ἑκάστην ἁμαρτίαν, ὅτε ἐσμὲν »σάρκινοι καὶ κατὰ ἄνθρωπον« περιπατοῦντες, οὐδὲν ἄλλο ἐνεργοῦμεν ἢ τὸ ἀποθνῄσκειν, καὶ φανερὸν ὅτι »εἰ κατὰ σάρκα« ζῶμεν, μέλλομεν »ἀποθνῄσκειν«, ὡς ἐδίδαξεν ὁ ἀπόστολος. ταῦτα καὶ διὰ τὸ »οὐ γὰρ ἦν ὁ καιρὸς τῶν σύκων«. ὁ δὲ κατὰ τὸν Μᾶρκον Πέτρος ἰδὼν τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν« εἶπε τῷ σωτῆρι· ἰδοὺ ἡ συκῆ ἣν κατηράσω ἐξηράνθη«· κατάρας γὰρ τῆς ἀπὸ τοῦ λόγου ἀξία ἡ μὴ φέρουσα τῷ λόγῳ καρπὸν ζητοῦντι. ἐπὶ τέλει δέ τι ἔχει ὁ λόγος προτρεπτικὸν τοῦ πιστεύοντος λήψεσθαι· οὐχὶ ἄλλως γὰρ ληψόμεθα, εἰ μὴ αἰτήσομεν. ἔστω οὖν καὶ ἡ διάθεσις ἀξία τοῦ τυχεῖν ὧν αἰτοῦμεν καὶ ἡ εὐχὴ μετ᾽ ἐΠιστήμης ἀναπεμπομένη ἀξία τοῦ ἐπιτευχθῆναι, καὶ τὰ αἰτήματα ἔστω ἐπουράνια καὶ μεγάλαλ καὶ ἄξια τοῦ δίδοσθαι ὑπὸ τοῦ θεοῦ.

Book 17: Τῶν εἰς τὸ κατὰ Ματθαῖον Ὡριμένους ἐξηγητικῶν τόμος ιζ΄

Καὶ ἐλθόντος αὐτοῦ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τὰ ἑξῆς εως του οὐδὲ ἐγὼ ὑμῖν λέγω ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ (Matth. 21, 23-27).

Τριῶν εὐαγγελιστῶν ὡς ἀναγκαῖον ἀναγραψάντων τὸν προκείμενον λόγον, ἄξιον ἰδεῖν ὅ τί ποτε νοοῦντες οἱ ἀρχειρεῖς κοὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐπυνθάνοντο τοῦ σωτῆρος, οὐχ ἕν πύσμα, ἀλλὰ δύο προσάγοντες αὐτῷ, ἓν μὲν τὸ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἕτερον δέ τὸ καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; καὶ τι βουλόμενος ὁ σωτὴρ ἐπὶ τούτου μόνου αντηρώτησεν ὑπέρ τοῦ μὴ πρὸς τό πύσμα ἀποκρίνασθαι· ἑώρα γὰρ οὐκ ἀξίους ἐκείνους τῆς πρὸς τὸ πύσμα ἀποκρίσεως καὶ τῆς τοῦ προβλήματος διηγήσεως. ὅτι δὲ οὐχ, ὡς οἴονταί τινες, ἁπλᾶ ἐστι τὰ κατὰ τὸν τόπον καὶ εὐπερινόητα, ἀλλὰ μυστικὰ καὶ βαθείας δεόμενα καρδίας, δῆλον ἔσται ἐκ τῆς ἐπιστάεως. φερ᾽ οὖν συναγορεύωμεν τῇ πιθανότητι τῶν ἁπλούστερον ἐκδεχομένων τὰ κατὰ τὸν τόπον· φήσουσι γὰρ ὅτι δύο γενικὰς <ἐξουσίας> ἐπιστάμενοι, ἀμείνωφ μέν τὴν τοῦ θεοῦ χειρίστην δέ τὴν τοῦ διαβόλου, οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ ἐπυνθάνοντο τοῦ σωτῆρος, ἐν ποίᾳ ἐξουσίᾳ τούτων τῶν δύο ποιεῖ τὰ τεράστια καὶ ἀπὸ τίνος αὐτὴν λαβών. εἶθ᾽ ὁ Ἰησοῦς ὑΠὲρ τοῦ μὴ ἀντιλογῆσαι ἀντηρώτησεν, ἅμα καὶ ἐλέγξαι βουλόμενος τοὺς πῦθομένους αὐτοῦ, ὡς παρὰ τὸν ὀρθὸν λόγον ποιήσαντας ἐν τῷ ἠπιστηκέναι Ἰωάννῃ τῷ βαπτιστῇ. καὶ ἦν αὐτοῦ τὸ ἀντερώτημα δύο οἰκονομούμενον, τόν τε ἐπὶ τῇ εἰς τὸν Ἰωάννην ἀπιστίᾳ ἔλεγχον καὶ τὸ περισπάσαι τοὺς πυθομένους, ἵνα δόξῃ αὐτοῖς εὐλόγως μὴ ἀποκρίνεσθαι.

ἀλλ᾽ εἴποι τις ἂν πρὸς ταῦτα ὅτι γελοῖον ἦν τὸ πυνθάνεσθαι ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ἐποίει ὁ Ἰησοῦς· οὐκ ἂν γὰρ ἀπεκρίντο ὅτι ἐν τῇ τοῦ διοβόλου ἐξουσίᾳ καὶ οὗ φημι ὅτι ὁ σωτὴρ τοῦτο οὐκ ἀπεκρίνατο, ἀλλ᾽ οὐδέ »ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ ἀντικείμενος καὶ ἐπαιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα« εἴποι ἂν τοῖς πυνθανομένοις τὸ ἀληθὲς ὅτι ἐν τῇ τοῦ διαβόλου ἐξουσίᾳ ποιεῖ

πᾶσαν δύναμιν μιν καὶ »σημεῖα ἐν οἷς καταπλήξεται καὶ ἀποπλανήσει εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς«. εἰ δὲ οὐδὲ ἐκεῖνος εἶποι ἂν ἐν τῇ τοῦ διαβόλου ἐξουσίᾳ ποιεῖν τὰ σημεῖα καὶ τὰ τέραρατα τοῦ »ψεύδους«, τὰ ἐν πάσῃ ἀπάτῃ ἀδικίας τοῖς ἀπολλυμένοις« ἐπιτελούμενα, πάσῳ πλέον ὁ σωτὴρ οὐκ (εἰ καὶ μὴ ἀντηρώτησεν) ἄλλο τι ἀπεκρίνατο ἢ ὅτι ἐν τῇ τοῦ θεοῦ; πρὸς δέ τὴν οὕτως προφανῆ ἀπόδρισιν καὶ ἐκείνους πυνθάνεσθαι καὶ τὸν σωτῆρα μὴ ἀποκρίνεσθαι, εὐηθες εἶναί μοι φαίνεται.

Μήποτ᾽ οὖν τὰ κατὰ τὸν τόπον τοιαυτ εστιν. ἐν τῇ σοφίᾳ τοῦ θεοῦ, περιεχούσῃ ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῶν τούτων αἰτιῶν, εἰσὶ »θησαυροὶ« ὁποίους δεῖ εἶναι τοὺς »τῆς σοφίας« θησαυροὺς καὶ »τῆς γνώσεως« καί εἰσιν οὗτοι «ἀπόκρυφοι«· καὶ εἴ τίς ἐστιν ἀξιωθεὶς εἰδέναι τὰ »ἄρρητα ῥήματα. ἃ οὐκ ἐξετιν ἀνθρώπῳ λαλῆσαι«, εἰδείη ἂν τὴν »ἐν μυστηρίῳ σοφίαν«, »τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δοξαν« τῶν δικαίων. εἰσὶν οὖν ἐν τοῖς τῆς σοφίας καὶ τῆς γνώσεως« ἀποκρύφοις θησαυροῖς λόγοι βαθεῖς καὶ ἀπόρρητοι περὶ διαφόρων ἐξουσιῶν, γενικῶς μὲν δύο, εἰδικῶς δὲ καθ΄ ἑκατέραν τῶν δύο πλείονες καὶ δυσθεύρητοι. οἱ δὲ γενικαὶ δύο ἐξουσίαι τοιαῦταί εἰσιν· αἱ μέν εἰσι τοῦ κρείττονος τάγματος, καὶ ὥσπερ εἰσὶν ἄνθρωποι θεοῦ οὐχ οἱ τυχόντες καὶ ἄγγελοι θεοῦ μακάριοι κοὶ προφῆται τοῦ θεοῦ θεοφορούμενοι, οὕτως εἰσί τινες ἐξουσίαι τοῦ θεοῦ, περὶ ὧν ὁ ἀπόστολος Χριστὸν δοξολογῶν λέγει ἐν τῇ πρὸς Κολοσσαεῖς ὅτι· ἐστὶν ὁ σωτὴρ »εἰκὼν τοῦ τοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως«, ἐν ᾧ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων«. ἓν οὖν εἶδος τῶν ὑπὸ τὸν θεὸν αἱ ἐν Χριστῷ κτισθεῖσαι ἐξουσίαι, ἕτεροι παρὰ τὰς ἀρχὰς καὶ τοὺς θρόνους καὶ τὰς κυριότητας· καὶ ἑκάστη ἐξουσιάζει τινῶν, τεταγμένη ὑπὸ τοῦ θεοῦ κατά τινα ἀπόρρητον ἀξίαν ἐπὶ τῶν ἀξίων ἐξουσιάζεσθαι κατὰ τὴν δια\φορὰν αὐτῶν ὑπὸ ἑκάστην τῶν ἐξουσιῶν. κοὶ »πολὺς« ἂν »ὁ λόγος καὶ δυσερμήνευτος« εἴη περὶ τῶν κατὰ τὰς ἐξουσίας ταύτας καὶ τῶν ἐξουσιαζομένων ὑπ᾽ αὐτῶν πραγμότων.

ὡς δέ εἰσί τινες ἐξουσίαι τοῦ θεοῦ, οὕτως εἰσὶ καὶ ἐναντίαι ἀνάλογον τοῖς τῆς ἁμαρτίας ἀνθρώποις καὶ τοῖς ἀγγέλοις τοῦ διαβόλου. καὶ ἔστι γε τοῖς μηκέτι »πρὸς αἷμα καὶ σάρκα« παλαίουσιν ἀλλὰ διὰ τὸ ἐπαναβεβηκέναι τῇ δυνάμει πρὸς τὰ ὑπὲρ ταῦτα ἀγωνιζομένοις »ἡ πάλη« »πρὸς τὰς« ἀνταγωνιζομένας τοῖς ἀθληταῖς τῆς θεοσεβείας »ἐξουσίας«. ὡς δὲ πλείονα τάγματα ἦν ὑπὸ τὸν θεόν, οὕτως καὶ ἐν τῇ ἐναντίᾳ χώρᾳ οὐ μόνον ἐξουσίαι εἰσὶν ἀλλὰ καὶ κοσμοκράτορες »τοῦ σκότους τούτου« καὶ »πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις«, τάχα δέ καὶ ἀρχαί, ἐγὼ δ᾽ οἶμαι ὅτι καὶ πάντα ὁμώνυμα τοῖς τοῦ θεοῦ ἐστι κατὰ τὴν ἐναντιότητα. διειληφότες οὖν οἱ τὰ διαφέροντα ὀνόματα κεκληρωμένοι ἐν τῷ Ἰσραήλ, τουτέστιν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, περὶ ἐξουσιῶν πλείονα <καὶ τῶν ἐν οὐρανῷ μυστηρίων> εἴτε παραδόσεων [εἴτε καὶ] εἴτε καὶ ἐξ ἀποκρύφων (οὐκ οἶδα εὐλόγως ἢ καὶ ἀλόγως) κινούμενοι, ἑώρων τὸν Ἰησοῦν τὰ

τεράστια ἐπιτελοῦντα οὐ χωρίς τινος συνούσης αὐτῷ ἐξουσίας. ταύτης οὖν τὸ εἶδος <καὶ τὴν ἰδιότητα> ἀπὸ τοῦ Ἰησοῦ μαθεῖν ἐβούλοντο ἢ τῆς δοκούσης αὐτοῖς εἶναι ἐπιστήμης ἐν αὐτῷ.

Καὶ εἰ μὲν ἦσαν ἀρχιερεῖς τινες ἅγιοι καὶ μακάριοι (ὁποῖος Ἀαρὼν ἢ ὁ Ἐλεάζαρ ἢ ὁ Φινεὲς ἢ ὅσοι ἐπαινετῶς τὰ τῆς λειτουργίας δοετέεσαν) οἱ πυθόμενοι τοῦ σωτῆρος τότε καὶ πρεσβύτεροι παραπλήσιοι οἷς κατ' ἐντολὴν θεοῦ Μωσῆς ἐξελέξατο, εἰκος οτι ὡς οὐ πειράζουσιν ἀλλὰ φιλομαθοῦσι καὶ ἀξίοις τῶν τηλικούτων μαθημάτων παρέστησεν ἂν ἀρξάμενος ὁ σωτὴρ λόγον, ὃν οὐδὲ ὁ κόσμος ὅλος χωρεῖν ἠδύνατο. καὶ ἀρξάμενος ἂν παρεδίδου τὴν ἐπιστήμην περὶ τῶν μακαρίων ἐξουσιῶν καὶ τῆς διαφορᾶς αὐτῶν καὶ τῆς αἰτίας τοῦ ἐληλυθέναι αὐτὰς ἐπὶ τὸ εἶναι ἐξουσίας καὶ τῶν ὑπ' αὐταῖς, εἴτε ψυχῶν εἴτε κοὶ ὁποιωνποτοῦν λογικῶν, διεξώδευσε δ' ἂν καὶ τόν περὶ τῶν ἐναντίων ἐξουσιῶν λόγον, κοὶ τὰς διαφορὰς αὐτῶν παρέστησεν ὄν. εἰκὸς δ' ὅτι ἐδίδαξεν ἂν ἀνάλογον τῷ »ὁ νόμος« »διαταγεὶς δι' ἀγγέλων« καὶ τῷ »εἰ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος« (ἀνάλογόν φημι λόγῳ τῷ περὶ τῶν διακονησαμένων τῷ νόμῳ ἀγγέλων καὶ τῆς κατὰ τὰς γραφὰς ἐξουσίας), οἷον ἐν ποίᾳ ἐξουσίᾳ διακονουμένῃ τῷ θεῷ ἢ ποίοις <ἐναντίαις ἐξουσίαις> τῶν Αἰγύπτῳ τεραστίων γεγένηται, καὶ τίς μὲν ἡ ἐξουσία διακονουμένη τῇ μεταβαλούσῃ εἰς ὄφιν ῥάβδῳ Μωσέως, τίς δὲ ταύτῃ ἐναντία διακονουμένη τῇ μεταμορφώσει τῶν Αἰγυπτιακῶν ῥάβδων εἰς δράκοντας· καὶ εἶπεν ἂν τὴν δύναμιν τῆς ἐξουσίας ἀφ' ἧς κατέπιεν ἡ τοῦ Ααρὼν ῥάβδος τὰς τῶν Αἰγυπτίων. εἶπε δ' ἂν καὶ τίς ἡ ἐξουσία τῆς εἰς χιόνα μεταβολῆς χειρὸς Μωσέως, καὶ ἐκ τῶν ἐναντίων τίων ἦν ἐξουσία συμπνέουσα καθ' ἑκαστον τοῖς ἐπαοιδοῖς τῶν Αἰγυπτίων, ὅτε ἐδόκουν μιμεῖσθαι τὰ σημεῖα τοῦ θεοῦ. καὶ οὕτως ἂν διεξώδευσε τὰς δέκα τῶν Αἰγυπτίων πληγὰς καὶ τὴν κατ' αὐτῶν ἀποστολὴν λὴν δι' ἀγγέλων πονηρῶν. εἶπε δ' ἂν καὶ τίς ἐξουσία ὑπηρετήσατο τῇ διὰ τῆς ἐρυθρᾶς θαλάσσης διόδῳ τοῦ λαοῦ καὶ καταποντώσει τῶν Αἰγυπτίων, τίς τε ἐξουσία ὑπηρετήσατο τῇ διὰ ξύλου μεταβολῇ ὕδατος πικροῦ εἰς γλυκύτητα. εἶπε δ' ἂν καὶ τὴν ἐξουσίαν ἢ διηκονήσατο τῷ ἀπὸ πέτρας ὑδατι. καὶ ἤτοι τὴν αὐτὴν ἢ ἄλλην παρέστησεν <ἄν> τῷ τῷ τοῦ ὑετῷ τοῦ μάννα καὶ τῇ τῶν ὀρτυγομητρῶν ἐφόδῳ. εἶπε δ' ἂν καὶ τίς ἡ ἐξουσία ἡ τὸ αὐτὸ μάννα τῶν μὲν ἓξ ἡμερῶν τρέπουσα εἰς σκώληκας καὶ δυσωδίαν, τῇ δὲ τοῦ σαββάτου ἡμέρᾳ φυλάττουσα.

Καὶ τί με δεῖ ἀναλεγόμενον τὰ ἐν τῇ ἐρήμῳ τεράστια μέχρι τῆς Μωσέως τελευτῆς παριστάνειν, ὅτι εἶπεν ἂν ὁ σωτὴρ τὰ περὶ τῆς ἐξουσίας, εἰ ἦσαν ἄξιοι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ τῆς πρὸς τὸ πύσμα αὐτῶν ἀποκρίσεως ; καὶ σοὶ πάρεστι τὸ ἀνάλογον ἐπερχομένῳ τὴν ὅλην γραφὴν ὁρᾶν, τίς τε ἡ ἐξουσία τοῦ στῆναι τὸν ἥλιον κατὰ Γαβαὼν καὶ σελήνην κατὰ φάραγγα Ἐλώμ, καὶ πολὺ πρότερον τοῦ διοδευθῆναι τὸν Ἰορδάνην ποταμὸν καὶ τοῦ παύσασθαι τὸ μάννα. καὶ ἐπὶ τῆς βίβλου δέ τῶν Κριτῶν πολλὰ ἂν τοιαῦτα ζητηθείη καὶ εὑρεθείη, οἷον περὶ τὸν Γεδεὼν καὶ τὸν Σαμψών, παράδοξα, ἀλλὰ καὶ ἐκ τῶν Βασιλειῶν τὰ περὶ τὸν Σαμουὴλ καὶ τὸν Ἠλίαν καὶ τὸν Ἐλισσαῖον καὶ τὸν Ἐζεκίαν. καὶ οὕ- τως ἐπελθὼν ὅν ὁ σωτὴρ καὶ τὸ κατὰ τὰς διαφόρους ἐξουσίας διελθὼν μυστήριον

ἐδίδαξεν ἂν ἐν ποίᾳ ἐξουσίᾳ καὶ πῶς ὑπερεχούσῃ ἐποίει ἃ ἔβλεπεν ὁ λαὸς τεράστια, δοθείσῃ αὐτῷ οὐκ ἀπό τινος ἀγγέλου καὶ κειτουργοῦ θεοῦ οὐδέ διό τινος τῶν ὑποδεεστέρων τοῦ θεοῦ, ἀλλ᾽ ἀπ᾽ αὐτοῦ τοῦ πατρός.

Ἐπεὶ δέ οἱ ἐνταῦθα ἀρχιερεῖς καὶ πρεσβύτεροι τοῦ λαοῦ οὐδαμῶς ἄξιοι ἦσαν τοιούτων θεωρημάτων, μάτων, διὰ τοῦτο αὐτοῖς οὐκ ἀποκρίνεται ἀλλ᾽ ἀντερωτᾷ, ἵνα διὰ τοῦ μὴ ἀποκρίνεσθαι ἐκείνους εἰς τὰ περὶ τοῦ Ἰωάννου καὶ αὐτὸς πείσῃ εὐλόγως τοὺς πυομένους, ὅτι μὴ μάτην αὐτοῖς ἀπεκρίνατο λέγων· οὐδὲ ἐγὼ ὑμῖν λέγω ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. ζητῶ δὲ κατὰ τὸν τόπον, εἰ ἕκαστος τῶν πεποιηκότων ἔν τινι ἐξουσίᾳ παράδοξα ἐν μιᾷ<ἀεὶ> πεποίηκεν, ἢ τινὲς μὲν κατ᾽ ἀρχὰς ἐν τῇδε προκόψαντες δὲ ἔν τινι μείζονι. πλὴν ὁ σωτὴρ ἔοικεν ἐν μιᾷ ἐξουσίᾳ ταῦτα πεποιηκέναι, ᾗ ἔλαβεν ἀπὸ τοῦ πατρός· τὸ γὰρ οὐδὲ ἐγὼ ὑμῖν λέγω ἐνποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ διδάσκοντος ἦν, ὅτι ἐν ἐξουσίᾳ <μιᾷ> μὲν πεποίηκεν· ἐν ποίᾳ δὲ οὐ παρέστησεν ἐκείνοις, οὐδὲ τὴν ἰδιότητα αὐτῆς ἀνέπτυξε καὶ ὅσα ἂν ὡρίσατο περὶ αὐτῆς παριστὰς αὐτῆς τὸ ἐξαίρετον παρὰ τὰς λοιπὰς ἐξουσίας, ἐν αἷς οἱ πρὸ αὐτοῦ προφῆται πεποιήκεισαν. καὶ νῦν δ᾽ τῷ ἱερῷ, τῇ ἐκκλησίᾳ, ἐστὶν ὁ Χριστὸς καὶ διδάσκει ἐν αὐτῷ καί τινες παραπλήσιοι ἐκείνοις τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις τοῦ λαοῦ πυνθάνονται μὲν αὐτοῦ, οὐ τυγχάνουσι δὲ τῆς ἀποκρίσεως, ἀνάξιοι τοῦ εἰδέναι περὶ ὧν βούλονται μαθεῖν. ζητήσει δέ τις, πότερον βουλόμενος αὐτοὺς ἀποσείσασθαι ἀποκληρωτικῶς ἐπύθετο περὶ τοῦ Ἰωάννου ὡς εἰ καὶ περὶ ἄλλου τινὸς τοιούτου πυθόμενος ἦν, ἢ ἀναγκαίως περὶ τοῦ Ἰωάννου ἐπύθετο, ἵνα πρὸς τὴν περὶ αὐτοῦ ἀπόκρισιν τὰ ἀκόλουθα περὶ τῆς ἐξουσίας ἀποκρινηται. ἐμοὶ δὴ φαίνεται μὴ ἀποκληρωτικῶς εἶναι τὸ κατὰ τὸν τόπον, ἐπεὶ Ἰωάννης »φωνὴ βοῶντος« ἦν »ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου«, καὶ οὗτος ἦν περὶ οὗ ὁ προφήτης ἔλεγεν »ἰδοὺ ἐγὼ ἀποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου«, διὰ τοῦτο (οἶμαι) πυνθάνεται περὶ αὐτοῦ, οὐκ ἀγνοῶν μὲν ὅτι ἐπισκοπήσαντες ἐροῦσιν ᾽ οὐκ οἴδαμεν, δαμεν. διὰ τὰ ἀναγεγραμμένα, καθ᾽ ὑπόθεσιν δέ εἰπὼν ἂν πρὸς τὸ ἐξ οὐρανοῦ τὴν ἀκόλουθον τῇ ἐξ οὐρανοῦ εἶναι τὸ βάπτισμα Ἰωάννου ἀποκρίσει ἐξουσίαν.

Τί δέ ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχε τέκνα δύο· προσελθὼν τῷ πρώτῳ εἶπε· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί <μου> κοὶ τὰ ἑξῆς εως του ὑμεῖς δέ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι ἐν αὐτῷ. (Matth. 21, 28—32).

Μόνος ὁ Ματθαῖος ἀνέγραψε τὴν παραβολὴν ταύτην, ὡς ἐμοὶ δοκεῖ κεῖ περιέχουσαν τὸν περὶ τοῦ ἀπειθήσαντος Ἰσραὴλ Ἰσραὴλ τῷ λόγον καὶ τὸν περὶ τοῦ πιστεύσοντος λαοῦ ἀπὸ τῶν ἐθνῶν • οὗτοι γὰρ τὰ δύο τέκνα, ἃ εἶχεν ὁ ὡς ἄνθρωπος τροποφορῶν τὸν υἱὸν αὐτοῦ« θεός. καὶ οὗτος προσελθὼν τῷ πρώτῳ, ὃν »ἐκτήσατο« »ἀπ᾽ ἀρχῆς«, ὃν προέγνω καὶ προώρισεν«, εἶπεν αὐτῷ· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. καὶ ὑπερέθετο φεύγων τὸ χωρίον τοῦτο διὰ τὸν ἐν αὐτῷ »καύσωνα« καὶ τοὺς καμάτους καὶ εἶπεν· οὐ θέλω· ἀλλ᾽ ὕστερόν ποτε ἐπὶ συντελείᾳ μεταμεληθεὶς ἐπὶ τῷ εἰρηκέναι τῷ

πατρί· οὐ θέλω ἦλθεν εἰς τὸν ἀμπελῶνα καὶ εἰργάσατο τὸ θέλημα τοῦ πατρός. ἡνίκα μέντοι ὁ πρῶτος εἶπεν· οὐ θέλω, προσῆλθεν ὁ πατὴρ τῷ ἑτέρῳ καὶ εἶπεν ὡσαύτως. εἶτα ἀποκριθεὶς ὁ δεύτερος εἶπε μέν· ἐγὼ κύριε, οὐκ ἐλήλυθε δὲ ἐπὶ τὸν ἀμπελῶνα τοῦ λόγου καὶ ἐπὶ τὸν ἀγρὸν τοῦ πατρός. καὶ φανερὸν ὅτι ὁ εἰπ(ὸν οὐ θέλω καὶ ὕστερον μεταμεληθεὶς καὶ ἀπελθὼν καὶ ἐργασάμενος εἰς τὸν ἀμπελῶνα ἐποίησε τὸ θέλημα τοῦ πατρὸς <οὐ τῷ λόγῳ, ἀλλὰ> ἔργῳ· ὁ γὰρ τῷ λόγῳ ἐπαγγειλάμενος καὶ μὴ ποιήσας τοῖς ἔργοις ἠρνήσατο ποιεῖν τὸ θέλημα τοῦ πατρός. πρόσχες δέ εἰ δύνασαι χρῆσθαι τῇ παραβολῇ καὶ πρὸς τοὺς ἐλάττονα μέν ἢ μηδὲν ἐπαγγελλομένους, μήτε παρθενίαν μήτε ἄλλην κατὰ τὸ εὐαγγέλιον <πνευματικὴν> πρᾶξιν, τοῖς δέ ἔργοις παριστάντας τὰ ἐναντία, ἃ μηδέ τὴν ἀρχὴν <ν> το κατὰ φ(ονὰς λόγων ἀγαθῶν πράξεων, ἔτι δέ πρὸς τοὺς μεγάλα μὲν ἐπαγγελλομένους μηδὲν δέ κατὰ τὴν ἐπαγγελίαν πράττοντας. ὁ μὲν γάρ τις οἱονεὶ λέγει ’ μεῖζον ἢ κατ’ ἐμέ, παρθενίαν ταύτην οὐ θέλω, καί· τῆς ἐμῆς ἀξίας βέλτιον τὸ ἀποταζάμενον τῷ βίῳ σχολάζειν τῷ λόγῳ· ὁ δέ φησιν ἕκαστον ἀκούων τῶν ἐν τῇ γραφῇ μεγάλων ἔργο)ν· ἐγὼ κύριε. καὶ ἔστιν ἐδεῖν οἱονεὶ ἐκ μεταμελείας τινὰς ἐπιδιδόντος εἰς τὸ βέλτιον καὶ ἐπιμελουμένους ἑαυτῶν ἐπὶ τὸ κρεῖττον παρὰ τὴν ἀρχῆθεν προσδοκίαν, ἄλλους δὲ προπετέστερον μέν πολλὰ ἐπαγγειλαμένους τοῖς δέ ἔργοις ἀντιπράζαντας ταῖς ἐπαγγελίαις.

Μετὰ δέ τὴν παραβολὴν ἐπιφέρεται πρὸς μὲν τὸν εἰπόντα οὐ θέλω καὶ ὕστερον μεταμεληθέντα καὶ ἀπελθόντα τὸ ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι κοὶ αἱ πόρνοι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ θεοῦ, πρὸς δὲ τὸν εἰπόντα ἐγὼ κύριε καὶ μὴ ἀπελθόντα τὸ ἦλθε γὰρ Ἰωάννης πρὸς ὑμᾶς ἐν ὁδῷ δικαιο- σύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ. καὶ πόλιν πρὸς μὲν τὸν πρότερον· οἱ δέ τελῶναι καὶ αἱ πόρνοι ἐπίστευσαν αὐτῷ, πρὸς δὲ τὸν εἰπόντα· ἐγὼ κύριε καὶ μὴ ἀπελθόντα κοὶ τὸ ὑμεῖς εὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον του πιστευσαι εν αυτῳ. ἐπιστήσας δέ τις τοῖς ἀπὸ μοχθηροτάτου βίου προσερχομένοις τῷ λόγῳ καὶ πιστεύουσι τῷ χριστῷ καὶ τοῖς αὐχοῦσι τὸν νόμον καὶ τοὺς προφήτας κοὶ ἀπιστοῦσι τῷ υἱῷ τοῦ θεοῦ καὶ ἀκολάστως βιοῦσι καὶ ὠμοτέροις πρὸς τοὺς ὁμοφύλους τυγχάνουσιν, ὄψεται τὸν Ἰησοῦ λό- γον ἀληθῆ, ὅτι οἱ μέν τελῶναι καὶ αἱ πόρναι προάγουσι τὸν Ἰσραὴλ εἰς τὴν βασιλείαν τοῦ θεοῦ. ὁ δέ ἰδὼν τὸν Ἰησοῦν ἐκεῖνος Ἰσραὴλ οὐδέ μέχρι δεῦρο μεταμε- λεῖται, ἵνα κἂν ὕστερον πιστεύσῃ τῇ ἀληθείᾳ. πρόσχες δὲ καὶ τῷ προάγουσιν εἰς εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οὐκ ἀποκλείοντι τὸν Ἰσραὴλ εἰσέρχεσθαί <ποτε> εἰς τὴν τοῦ θεοῦ· οὐδεὶς γὰρ προάγει τὸν οὐδαμῶς ἐσόμενον ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ προῆξεν. ὅρα οὖν μήποτε ἐμφαίνεται ὅτι, ὅταν »τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ«, τότε »πᾶς Ἰσραὴλ σωθησεται«. νοείσθω δὲ ὁ Ἰσραὴλ οὐχ ὁ »κατὰ σάρκα«, ἀλλ᾽ ὁ ἐν τῇ εὐγενείᾳ τῆς ψυχῆς χαρακτηριζόμενος καὶ ἔχων μέν τὸ εὐφυές πρὸς σύνεσιν καὶ τὸ διορατικόν, οὐ μὴν ἀξίως τῆς εὐφυΐας ἀνατραφεὶς ἐν πίστει κοὶ βίῳ ἀγαθῷ.

Ἄλλην παραβολὴν ἀκούσατε. ἄνθρωπος ἦν οἰκοδεσπότης ὃς ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ τὰ ἑξῆς ἕως τοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. (Matth. 21, 33—43). Τῷ μὴ

ἐπὶ πλεῖον βασανίζοντι τὰ τῆς παραβολῆς μηδὲ ἑκάστην λέξιν ἐξετάζοντι πάνυ σαφὴς εἶναι δόξει οὕτως ἂν διηγήσεως τυχοῦσα. ὁ πρὸ ἡμῶν λαὸς καὶ »μερὶς« ὢν τοῦ θεοῦ ὁ φυτευθεὶς ἦν ἀμπελὼν ὑπὸ τοῦ κατὰ τὴν παραβολὴν οἰκοδεσπότου, καὶ ἡ τοῦ θεοῦ φρουρὰ περὶ αὐτὸν ὁ φραγμὸς ἦν καὶ πύργος μὲν ὁ ναὸς ληνὸς δὲ ὁ τόπος τῶν σπονδῶν, καὶ γεωργοὶ οἱ πρεσβύτεροι καὶ σοφοὶ τοῦ λαοῦ, ἀποδημία δὲ τοῦ δεσπότου ὅτε κύριος ὁ συνὼν αὐτοῖς ἐν νεφέλη »ἡμέρας« καὶ »στύλῳ <πυρὸς«> νυκτός, ἕως αὐτοὺς καταφυτεύσῃ εἰσαγαγὼν »εἰς ὄρος ἅγιον« αὐτοῦ »καὶ εἰς εἰς τὰ σκηνώματα αὐτοῦ«, οὐκέτι οὕτως αὐτοῖς ἐπεφαίνετο. ὁ δὲ ἐγγίσας καιρὸς τῶν καρπῶν ὁ χρόνος ἦν τῶν προφητῶν ἀπιτούντων τόν καρπὸν ἀπὸ τῶν γεωργῶν καὶ τοῦ ἀμπελῶνος, ἵνα ἤδη δείξωσι παρειληφότες τὸν νόμον τὸ βεβιωκέναι κατ᾽ αὐτόν. δοῦλοι δέ οἱ πρὸς τοὺς γεωργοὺς πεμφθέντες λαβεῖν τοὺς καρποὺς οἱ πρῶτοι προφῆται, οὓς οἱ ἄρχοντες καὶ σοφοὶ τοῦ λαοῦ ὕβρισον τύπτοντες, τινὰς δὲ καὶ ἀνεῖλον καὶ ἄλλους λιθολεύστους πεποιήκασιν. ἄλλοι δέ μετὰ τούτους δοῦλοι πλείονες τῶν πρώτων ὁ καιρὸς τῶν πολλῶν προφητῶν, ὧν τὰ ὀνόματα ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων γέγραπται καὶ ἐν τῷ Ἱερεμίᾳ καὶ τοῖς Δώδεκα καὶ τῷ Δανιήλ· εἴποι γὰρ ἄν τις καὶ τὸν Ἀνανίαν, Ἀζαρίαν, Μισαὴλ προφητας γεγονεναι. καὶ τούτοις οὖν τοῖς πλείοσι παρὰ τοὺς προτέρους προφήτας ὡσαύτως ἐχρήσαντο, τύπτοντες κοὶ ἀναιροῦντες καὶ λιθοβολοῦντες. τελευταῖον δὲ τὸν υἱὸν αὐτοῦ ἀποστέλλει ὁ οἰκοδεσπότης, τὸν γύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐντρέψαι δυνάμενον τὸν ἀμπελῶνα καὶ τοὺς γεωργούς. ἀλλ᾽ οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ σοφοὶ τοῦ λαοῦ τὸν υἱὸν ἰδόντες. οὐ πάντη ἀναίσθητοι τῆς ἑαυτῶν γενόμενοι ὑπεροχῆς, κληρονόμον εἶναι αὐτὸν ὑπειλήφασι. τολμῶσι δὲ καὶ ἀποκτεῖναι αὐτόν, ἵνα αὐτοὶ κύριοι τοῦ ἀμπελῶνος γένωνται, κοὶ ἐκβαλόντες αὐτὸν καὶ ἐξω κρίναντες τῶν τοῦ Ἰσραὴλ πραγμάτων ἀπέκτειναν. καὶ εὐθέως ὁ τοῦ ἀμπελῶνος κύριος ὃν ἀπέκτειναν ἐπιδημεῖ ἀναστὰς ἐκ νεκρῶν, καὶ κακοὺς κακῶς τοὺς μέν γεωργοὺς ἀπόλλυσιν, ἄλλοις δὲ γεωργοῖς τοῖς ἀποστόλοις ἑαυτοῦ παραδίδωσι τοὺς ἀπὸ τοῦ λαοῦ πιστεύσοντος, τουτέστι τὸν ἀμπελῶνα, οἳ ἀποδιδόασιν ἐν τοῖς ἰδίοις καιροῖς τοὺς καρποὺς τῷ οἰκοδεσπότῃ. εἶτα εἰπόντων μετὰ τὴν παραβολὴν τῶν ἐν τοῖς ἀνωτέρω πυθομένων τὸ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;« τὰ ἀπὸ τοῦ κακοὺς κακῶς ἀπολέσει αὐτοὺς ὁ σωτὴρ ἀποκρίνεται, διδάσκων αὐτοὺς ἀπὸ τῆς προφητείας ὅτι ὑπ᾽ ἐκείνων μὲν <τῶν οἰκοδόμων> ἀπεδοκιμάσθη, δὲ τῷ θεῷ ἐστιν ἔντιμος καὶ κεφαλὴ τῆς ὅλης οἰκοδομῆς καὶ τῆς κατ᾽ αὐτὴν συνοχῆς, καὶ κεφαλή γε θαυμαστὴ ἐν ὀφθαλμοῖς τῶν εἰδότων βλέπειν αὐτήν. εἶτα, προφητεύων Περὶ τῆς ἀπὸ τῶν ἐθνῶν κλήσεως, φησὶ τοῖς μὴ πιστεύουσιν εἰς αὐτὸν διδασκάλοις Ἰουδαίων· ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

Ἀλλ᾽, ὡς προείπομεν , ὁλοσχερεστέρα τις καὶ οὐ κατὰ λέξιν ἐστὶν ἡ τοιαύτη διήγησις· πρὸς ἣν πολλά τις ἂν »πνευματικὸς« ὢν καὶ ἀνακρίνειν δυνάμενος »πάντα« ἐπαπορήσαι, κρούων τὴν ἀσάφεια<ν αὐτῆς, τουτέστι τὴν> κεκλεισμένην θύραν τῶν ἐνταῦθα κεκρυμμένων νοημάτων, καὶ ὀρθῶς ζητήσας εὕροι καὶ αἰτήσας ἀπὸ τοῦ θεοῦ λάβοι. καὶ ἡμεῖς δὲ κατὰ τὸ μέτριον ἡμῶν τοιαῦτα εἰς

τὸν τόπον φανταζόμεθα ὅτι ὁ μὲν οἰκοδεσπότης ἄνθρωπος ὁ θεός ἐστι, περὶ οὗ γέγραπται· »ἐτροποφόρησέ σε κύριος ὁ θεός σου ὡς εἴ τις τροποφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ«. οὕτως γάρ, διὰ τὸ τροποφορεῖν καὶ φέρειν ἐν τῷ ἀνθρώπους ὠφελεῖν τρόπον ἀνθρώπινον τὸν ὠφελοῦντα ἀνθρώπους, ἔν τισι παραβολαῖς λέγεται εἶναι ἄνθρωπος. καὶ ἐνταῦθα μὲν ἄνθρωπος οἰκοδεσπότης καλεῖται διὰ τὸν ἀμπελῶνα καὶ τὸν περικείμενον τῷ ἀμπελῶνι φραγμὸν καὶ τὴν ληνὸν ἣν ὤρυξε καὶ τὸν πύργον ὃν ᾠκοδόμησε καὶ οἷς κέκτηται δούλους καὶ οἷς πέμπει πρὸς τοὺς γεωργοὺς καὶ δεύτερον ἀποστέλλει πλείονας. ὡς οἰκοδεσπότης δὲ ἐξέδοτο γεωργοῖς τὸν ἀμπε - λῶνα. ἀφ᾽ ὧν ἀφελὼν αὐτὸν δίδωσιν ἑτέροις. ἔτι δὲ πόλιν ἐν τοῖς ἀνωτέρω ἄνθρωπος οἰκοδεσπότης εἴρηται διὰ τούτων· ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τόν ἀμπελῶνα αὐτοῦ«· καὶ ὡς οἰκοδεσπότης γε ἀμπελῶνα ἔχει καὶ μισθοῦται γεωργούς, ἔστι δὲ αὐτῷ καὶ ἐπίτροπος ᾧ λέγει ’ »κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων«. ἐν δέ τῇ περὶ τοῦ δείπνου παραβολῇ καὶ τῶν γόμων τοῦ υἱοῦ αὐτοῦ καὶ τῆς κλήσεως οὐκ οἰκοδεσπότης ἀλλὰ βασιλεὺς εἴρηται· μείζων γὰρ ἢ οἰκοδεσπότης ἐστὶ πέμπων πέμπων στράτευμα ὡς βασιλεὺς καὶ ἀναιρῶν τοὺς κρατήσαντας »τοὺς τοὺς δούλους αὐτοῦ« καὶ ὑβρίσαντος καὶ ἀποκτείναντας αὐτούς, καὶ ἐν βασιλικῇ ἐξουσίᾳ, οὐχ ὡς οἰκοδεσπότης μόνον, »εἶπε τοῖς διακόνοις« δῆσαι πόδας καὶ χεῖρας« τοῦ εἰσελθόντος εἰς τοὺς γάμους μὴ ἔχοντος »ἔνδυμα γάμου« καὶ ἐκβαλεῖν »αὐτὸν εἰς τὸ ἐξώτερον σκότος«. ὅτε δὲ ἐν τοῖς ἀνωτέρω λέγεται· ἄνθρωπος εἶχε τέκνα δύο«, οὔτε οἰκοδεσπότης οὔτε βασιλεὺς ὠνόμασται ἀλλ’ ἁπλῶς ἄνθρπος.

Εἰσὶν οὖν. ὡσπερ πολλαὶ ἐπίνοιαι τοῦ θεοῦ κατὰ τὰς θείας γραφάς, οὕτω καὶ διαφοραὶ τοῦ ἄνθρωπον αὐτόν ὀνομάξεσθαι, ἤτοι ἁπλῶς ἢ οἰκοδεσπότην ἢ βασιλέα. καὶ ταῦτα μὲν κατὰ τὸν Ματθαῖον· κατὰ δέ τὸν Λουκᾶν ἡ ὁμοία τῇ ἐκκειμένῃ παραβολῇ ἄνθρωπον αὐτὸν ὠνόμασεν ἐν τῷ· »ἄνθρωπος ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς«. ἀλλὰ καὶ Μᾶρκός φησιν· »ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ περιέθηκεν αὐτῷ φραγμόν«. πάλιν τε αὖ ὁ Λουκᾶς τὴν τῆς κλήσεως ἐκτιθέμενος παραβολὴν »ἄνθρωπός τις«, φησίν, ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς«. κοὶ σὺ δὲ συναγαγὼν εἴ που ὠνό\μασται ἄνθρωπος ὁ θεὸς καὶ »πνευματικὰ πνευματικοῖς« ἐν τῷ περὶ τούτου συγκρίνων λόγῳ καὶ ζητήσας ὀρθῶς τὰ κατὰ τοὺς τόπους, εὕροις ἂν ἀνάλογον τῇ ζητήσει σου πλείονα εἰς τὸ ἄνθρωπον λέγεσθαι τὸν θεόν. οὗτος δὴ ἐφύτευσεν ὁ οἰκοδεσπότης ἄνθρωπος ἀμπελῶνα, ὄντινα ἐπιμελέστερον ζητητέον, μὴ ἀβασανίστως παρερχόμενον τὴν τοσαύτην παραβολήν.

Τις οὖν ὁ ἀμπελὼν ἕτερος ὢν παρὰ τοὺς γεωργοὺς τοὺς πρώτους καὶ τοὺς δευτέρους, ὃν ἐφύτευσεν ὁ οἰκοδεσπότης ἄνθρωπος; ὁ δέ ἀμπελὼν οὗτος πρότερον μέν ἐκοδιδόμενός ἐστι γεωργοῖς ὑβρισταῖς, δεύτερον δέ κατὰ τοὺς ἀποκριναμένους περὶ τοῦ ἀμπελῶνος ἐκδιδόμενος ἄλλοις γεωργοῖς, οἵτινες δώσουσι τους καρπους αυτου εν τοῖς καιροῖς αὐτῶν, κατὰ δὴ τὸν σωτῆρα

λέγοντο· ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. ἆρα γὰρ δεήσει τοὐτὸν εἰπεῖν εἶναι τὴν βασιλείαν τοῦ θεοῦ τῷ ἀμπελῶνι, αἱρομένην ἀπὸ τῶν προτέρων <γεωρ γῶν> > διδομένην δέ ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, ἢ ἄλλο μέν εἶναι τὸν ἀμπελῶνα ἄλλο δέ τὴν βασιλείαν τοῦ θεοῦ; ἴδωμεν δέ πρῶτον, παραστήσαντες ἀπὸ τῆς γραφῆς ὅτι ἀμπελὼν καλεῖται ὁ λαός, εἰ δύναται ἐφαρμόσαι Πάντα τὰ κατὰ τὸν τόπον τῇ τοιαύτῃ διηγήσει. φησὶν οὖν Ἡσαΐας· »ᾄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ τῷ ἀμπελῶνί μου. ἀμπελὼν ἀγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρὴν« καὶ τὰ ἑξῆς εως του ἐποίησε δὲ ἀνομίαν κοὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγήν«.

Ἐξεθέμην δὴ τὸ ἀπὸ τοῦ Ἡσαΐου ᾆσμα βουλόμενος αὐτὸ συνεξετάσαι <ταύτῃ> τῇ παραβολῇ, κατὰ τοῦ αὐτοῦ κεῖται ὁ ἀμπελὼν σημαινομένου ἐν ἑκατέρᾳ τῇ γραφῇ. καὶ ὅρα, τίνα μὲν ὅμοια ἔχουσιν αἱ ἐκτεθεῖσαι λέξεις τίνα δέ οὐχ ὅμοια, ἵνα βλέπων τὰς διαφορὰς τῶν ὁμοίων πρὸς τὰ ἀνόμοια οὕτως ἐπιστήσῃς τῷ νῷ τῆς γραφῆς. ὅμοιον οὖν τὸ ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον τῷ »ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρήκ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ Προλήνιον ὤρυξα ἐν αὐτῷ«. παράθες γὰρ τῷ ἐφύτευσεν ἀμπελῶνα τὸ ἐφύτευσα ἄμπελον σωρήκ«, καὶ τῷ φραγμὸν αὐτῷ περιέθηκε τὸ »φραγμὸν περιέθηκα«, καὶ τῷ ὤρυξεν ἐν αὐτῷ ληνὸν τὸ »καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ«, καὶ τῷ ᾠκοδόμησε πύργον τὸ »καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αυτου«.

Κατ᾽ ἀμφοτέρους δέ τοὺς τό- Πους <ἀνόμοιον> περὶ τῶν καρπῶν λέγεται τοῦ ἀμἀμπελῶνος, παρὰ μέν τῷ Ἡσαΐᾳ ὅτι »ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, καὶ ἐποίησεν ἀκάνθας«, ἐν δέ τῇ τοῦ εὐαγγελίου παραβολῇ σαφῶς οὐχ ὁ ἀμπελὼν κατηγορεῖται ὡς μὴ δεδωκὼς τοὺς καρποὺς ἐγγίσαντος τοῦ καιροῦ αὐτῶν, ἀλλ᾽ οἱ γεωργοί, οἳ κοὶ λαβόντες τοὺς τοῦ οἰκοδεσπότου δούλους ὃν μὲν ἔδειραν, ὃν δέ ἀπέκτειναν, ὃν δέ ἐλιθοβόλησαν. καὶ ἡνίκα ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, πόλιν οἱ γεωργοὶ κατηγοροῦνται ποιήσαντες αὐτοῖς ὡσαύτως. καὶ τρίτον δέ οἱ γεωργοὶ κατηγοροῦνται εἰπόντες· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ σχῶμεν τὴν κληρονομίαν αὐτοῦ καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ τοῦ ἀμπελῶνος καὶ ἀποκτείναντες αὐτόν. καὶ ἐν μέν τῷ Ἡσαΐᾳ αὐτῷ τῷ ἀμπελῶνι ἀπειλεῖ ὁ λόγος λέγων · »ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν, <καὶ> τὸν τοῖχον αὐτοῦ ἔσται εἰς καταπάτημα. καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ οὐδέ μὴ σκαφῇ, καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς ὡς χέρσον ἄκανθα«. ἀλλὰ καὶ ὅτε »ταῖς νεφέλαις« ἐντελεῖ<σθαι ἐπαγγέλλε>ται ται »τοῦ βρέξαι εἰς τὸν ἀμπελῶνα ὑετόν«, τῷ ἀμπελῶνι ἀπειλεῖ, ὄντινα ὁ προφήτης εἶπεν εἶναι τὸν »τοῦ Ἰσραὴλ« οἶκον καὶ τὸν »ἄνθρωπον τοῦ Ἰούδα«, μὴ ποιήσαντα τὸν καρπόν, τὴν »κρίσιν« καὶ τὴν δικαιοσύνην, ποιήσοντα δέ ἀκάνθας, τὴν »ἀνομίαν« καὶ τὴν »κραυγήν«. ἐν δὲ τῷ εὐαγγελίῳ τὸν μὲν ἀμπελῶνα οὐδὲν εὑρίσκομεν πάσχοντα, ἀλλ᾽ (εἰ δεῖ οὕτως εἰπεῖν) μᾶλλον προνοούμενον τοῦ φέρειν

τοὺς οἰκείους καρποὺς τῷ οἰκοδεσπότῃ· προνοῶν γὰρ οὗτος τοῦ ἀμπελῶνος αἴρει αὐτὸν τῶν προτέρων γεωργῶν, οἵτινες ἀποκρίνονται τῷ σωτῆρι πυθομένῳ καὶ εἰπόντι ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; κοὶ λέγουσιν , εἴτε ὑπὸ τοῦ λόγου καὶ τῆς ἀκολουθίας ἀναγκαζόμενοι εἴτε καὶ ἄκοντες (ἵν᾽ οὕτως εἴπω) τὰ περὶ αὐτῶν προφητεύοντες, ὡς ἄρα κακοὺς κακῶς ἀπολέσει ὁ κύριος τοῦ ἀμπελῶνος ἐλθὼν τοὺς γεωργούς, καὶ προνοούμενος τοῦ ἀμπελῶνος ἐκδώσεται αὐτὸν ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ ἀκολούθως τῷ »ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον« εἴρηται πρὸς τὸν ἁμαρτάνοντα λαόν· »ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν«, καὶ ἀνάλογον τῷ »ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας« καὶ τῷ »ἔμεινα <τοῦ> ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγὴν« τὸ »πῶς ἐστράφη<ς> εἰς πικρίαν, ἡ ἄμπελος ἡ ἀλλοτρία;«

Οὐκοῦν ὁρᾷς ἐν μὲν ταῖς προφητικαῖς λέξεσι τὸν λαὸν λέγόμενον εἶναι ἀμπελῶνα καὶ τὸν φυτεύσαντα αὐτὸν ἀπειλοῦντα καὶ λέγοντα αὐτῷ· »ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν« καὶ τὰ λοιπά, ἐν δὲ τοῖς εὐαγγελικαῖς οὐδεμίαν μέν μέμψιν προσαγομένην τῷ ἀμπελῶνι πᾶσαν δέ τοῖς γεωργοῖς, καὶ πρὸς τῷ μηδεμίαν εἶναι ἀπειλὴν τῷ ἀμπελῶνι καὶ πρόνοιαν αὐτοῦ γινομένην, ἵνα διδῷ τῷ οἰκοδεσπότῃ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. καὶ οὐκ ἂν δύναιο, τὴν ἀκρίβειαν βουλόμενος σῶσαι τῆς εὐαγγελικῆς γραφῆς, τρανῶς παραστῆσαι ὅτι ἀμπελὼν ὁ λαὸς ἦν. ἀλλὰ μήποτε ὁ κατὰ τὸ εὐαγγέλιον ἀμπελὼν ἡ βασιλεία ἐστὶ τοῦ θεοῦ, ἡ αὐτὴ (οἶμαι) τυγχάνουσα τῇ τῶν μετ᾽ ἐπισκοπῆς θεοῦ διδασκαλίᾳ. τὸ γὰρ ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς ἐπιφερόμενον τῇ περὶ τοῦ ἀμπελῶνος παραβολῇ σαφῶς (οἶμαι) δηλοῖ τὰ μυστήρια τῆς τοῦ θεοῦ βασιλείας λέγεσθαι εἶναι τὸν ἀμπελῶνα, ὃν ἐφύτευσεν ὁ οἰκοδεσπότης ἄνθρωπος. τοῦτον δὴ τὸν ἀμπελῶνα, ὄντα (ὡς οἶμαι) νόμον καὶ προφήτας καὶ πᾶσαν τὴν θείαν γραφήν, ἐξέδοτο ὁ κύριος τοῦ ἀμπελῶνος γεωργοῖς ᾽ προτέροις μέν τῷ λαῷ ἐκείνῳ καὶ γὰρ πρῶτοι »ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ«), δευτέροις δέ ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, τῇ ἀπὸ τῶν ἐθνῶν ἐκκλησίᾳ. ἀλλ᾽ ἔργον ἐξομαλισαι ουτω νοουμενου του κατα τὸ εὐαγγέλιον ἀμπελῶνος τὸν περιτεθέντα αὐτῷ φραγμόν, οὐδέν πάσχοντα ὁποῖον <ὁ> ἐν Ἡσαΐᾳ φραγμός, φραγμός, οὗ γέγραπται· »ἀφελῶ τὸν φραγμὸν αὐτοῦ καὶ ἔσται εἰς διαρπαγήν«, κοὶ τὴν ὀρυχθεῖσαν ἐν αὐτῷ ληνὸν καὶ τὸν οἰκοδομηθέντα πύργον.

Κοὶ ὅρα εἰ δυνάμεθα τὴν μὲν κατὰ τὴν θείαν γραφὴν φυσιολογίαν τὸν ἀμπελῶνα εἰπεῖν, τὸν δέ ἀκόλουθον τῇ ἀληθεῖ φυσιολογίᾳ βίον ἐν ἀρετῇ καὶ καλλίστοις ἤθεσι καρποφοροῦντα λέγειν εἶναι τὸν τοῦ ἀμπελῶνος καρπόν, τὸν δὲ λογικὸν τόπον καὶ πᾶν τὸ γράμμα τῆς γραφῆς τὸν φραγμὸν εἶναι τοῦ ἀμπελῶνος περικείμενον ἔξωθεν ὡς μὴ κατοπτεύεσθαι τοῖς ἔξωθεν τὸν ἀμπελῶνα καὶ τὸν ἐν κρυπτῷ μάλιστα καρπὸν αὐτοῦ, τὸ δὲ βάθος *** τῆς δεχομένης τοὺς καρποὺς τούτους

ψυχῆς πᾶν ἐπιπόλαιον ἀποβαλούσης τὴν ὀρυχθεῖσαν εἶναι ἐν τῷ ἀμπελῶνι ληνόν. ὁ δὲ οἰκοδομηθεὶς ἐν τῷ ἀμπελῶνι πύργος, ἀνάστημα ἔχων καὶ δίαρμα καὶ ὕφος ὑπέρ τὸν ἀμπελῶνα καὶ τὸν φραγμὸν καὶ τὴν ληνόν, ὁ περὶ θεοῦ οἶμοι) λόγος ἐστί, ναὸς ὢν τοῦ ἐν αὐτῷ Μου νοῦ. καὶ περὶ τοιούτου νομίζω λελέχθαι πύργου ὑπὸ τοῦ σωτῆρος το τίς ἐξ ὑμῶν βουλόμενος πύργον οἰκοδομῆσαι οὐχὶ πρῶτον ψηφίζει«, εἰ δύναται θεῖναι τὸν θεμέλιον καὶ ἐκτελέσαι, »ἵνα μὴ« »ἄρξωνται οἱ θεωροῦντες ἐμπαίζειν« τῷ μὴ τελειώσαντι; διὰ γὰρ παραβολῆς κἀκεῖ δοκεῖ μοι λέγεσθαι ὅτι μέλλων θεολογεῖν σκόπησον, εἰ δύνασαι ἀρξάμενος πάντα ἃ ἀπαιτεῖ σε ὁ λόγος εἰς θεολογίαν τελειῶσαι, ἵνα μὴ ἀρξάμενος τῶν τῆς εὐσεβείας δογμάτων ἀτελῆ καταλίπῃς τὸν περὶ θεοῦ πύργον καὶ στεφάνην αὐτῷ μὴ ἐποικοδομήσῃς· εἰ γὰρ στεφάνην οὐκ ἐποικοδομήσεις, πεσεῖταί τις ἀπὸ τῆς περὶ θεοῦ ἐννοίας καὶ ἀποθανεῖται. τοῦτον δὴ τὸν (ὡς ἀποδεδώκαμεν) ἀμπελῶνα ἐξέδοτο γεωργοῖς, τῷ πρὸ ἡμῶν λαῷ, ὀθεός, καὶ ἀπεδήμησεν εἰς τὴν ἑαυτοῦ περιωπήν , δοὺς ἀφορμὰς τοῖς γεωργοῖς, ἐξ ὧν αὐτὸς ἐφύτευσε καὶ περιέθηκε καὶ ὤρυξε καὶ ᾠκοδόμησε, τοῦ φέρειν τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. ἤγγισαν μὲν οὖν καθ᾽ ἕκαστον οἱ καιροὶ τῶν καρπῶν, οἶμαι δ᾽ ὅτι καὶ <γενικῶς> ὅλῳ τῷ λαῷ. τὸ δὲ ἐγγίσαι τοὺς καιροὺς τῶν καρπῶν ἀκριβῶς μὲν διηγήσασθαι ἔξεως μείζονός ἐστιν ἢ καθ᾽ ἡμᾶς καὶ καρδίας πολλῷ καθαρωτέρας καὶ διορατικ<ωτέρ>ας παρ᾽ ἡμᾶς. ὅμως δὲ κατὰ δύναμιν ἐπιβαλοῦμεν οὕτως τῷ τόπῳ, ἀρξάμενοι ἀπὸ τῶν καθένα.

Καὶ νοείσθω ἐν ἑκάστῃ ψυχῇ ὁ λόγος ἄμπελος πεφυτευμένη ὑπὸ τοῦ οἰκοδεσπότου, καὶ ἀμπελὼν αἱ ἀφορμαὶ πάντων <τῶν> ἀναγκαίων εἰς σωτηρίαν προβλημάτων. ὥσπερ οὖν ἐπὶ τῶν ἀμπέλων ἐστί τις καιρὸς ὅτε ἐκφύει φύλλα, καὶ ἄλλος ὅτε τὰς ἀρχὰς τῶν καρπῶν δείκνυσιν ἔτι βραχείας, καὶ ἄλλος ὅτε κυπρίζει τὰ δειχθέντα, <καὶ ἄλλος ὅτε ὀμφακίζει> καὶ ἄλλος ὅτε καὶ ἄλλος ὅτε καιρός ἐστι τοῦ τρυγᾶν τετελειωμένους τοὺς καρποὺς καὶ ἑτοίμους πρὸς τὸ φέρειν οἶνου ποιότητα — οὕτως ὁ μὲν πρῶτος τῶν ἀνθρώπων τῆς ζωῆς καιρὸς κατὰ τὴν νηπιότητα ἐχέτω τὴν ἄμπελον οὐδὲν περικειμένην ἀλλὰ μόνον ἔχουσαν τὸ ζωτικόν· εἶτ᾽ ἐπὰν ὁ λόγος συμπληροῦσθαι ἄρχηται, ὁ καιρὸς ἔστω τῆς πρώτης ἀνθήσεως, ὅσον δὲ προκόπτει γεωργουμένη ἡ ψυχὴ τοσοῦτον κοὶ ὁ γεωργούμενος ἀμπελὼν δείγματα φέρει φέρει μελλόντων βοτρύων, κυπριζόντων μέν κοὶ ἀσμὴν εὐωδίας μελλούσης ἀρετῆς) φερόντων κατ᾽ ἀρχάς, ὕστερον δέ ἤδη καὶ ὀμφακιζόντων, ὅτε κακία μὲν <νεότητι ἔν>εστιν οὐχ ἡ παραμένουσα δέ ἀλλ᾽ ἡ ἀναγκαίως ὑγισταμένη καὶ οὐδέποτε νευομένη ἐπὶ τὸ χεῖρον, ἀλλ᾽ ἀεὶ (εἰ δεῖ οὕτως ἐπ᾽ ἀρετὴν ὁδεύουσα. ἐὰν δὲ παραμένῃ ἡ κακία, καὶ μὴ χρησώμεθα ἄλλῃ ὡς ἐπ᾽ ἀρετὴν διοδῳ ἀεὶ αὐτὴν ἐπὶ τὴν ἐπ᾽ ἀρετῇ προκοπὴν ἄγοντες, γίνεται ὄμφαξ, δν φαγων τις κατα τον προφητην αἱμωδιᾷ. ἐπὶ πλεῖον δέ τις προκόπτων οἱονεὶ περκάζουσαν μέν οὐδέπω δέ τετελειωμένην ἔχει τὴν σταφυλήν. ἔστι δέ τις > μετὰ τὴν προκοπὴν κατάστασις σπουδαία, ὅτε ἡ γεωργηθεῖσα ἄμπελος φέρει τὸν καρπόν, βότρυος ἀγάπης τελείους καὶ χαρᾶς καὶ εἰρήνης καὶ μακροθυμίας καὶ τῶν λοιπῶν, ἃ παρὰ τῷ ἀποστόλῳ κατείλεκται καὶ ἐν μυρίαις ἄλλαις γραφαῖς. ἔστι γάρ τις βότρυς κατὰ το »μακαριοι οι πτωχοι τῳ πνευματι« καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ

πενθοῦντες« καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ πραεῖς« καὶ ἄλλος κατὰ τὸ μακάριοι οἱ εἰρηνοποιοὶ» καὶ ἄλλος κατὰ τὸ »μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ«. καὶ τί με δεῖ καταλέγειν τοὺς αἰτίους τῶν μακαρισμῶν βότρυας; ταῦτα δέ ἐπὶ Πλεῖον ἐξήτασα ἅτε τὸ ὅτε ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, νοῆσαι καὶ σαφηνίσαι θέλων.

Τοῦ οἰκοδεσπότου δέ ἐστι <μόνου> καὶ τῆς θείας ἐπιστήμης αὐτοῦ εἰδέναι τόν ἑκάστου τῶν ἀνθρώπων καιρόν, πότε ἤγγισε καὶ πότε ἔτι πόρρω ἐστὶν ὁ καιρὸς τῶν τῶν καρπῶν. πῶν. καὶ ἡμεῖς δέ, ἐὰν ἐπὶ πλεῖον ἐπιστήσωμεν συγκρίνοντες τὸν χρόνον ἀφ᾽ οὗ ἐκλήθημεν τῷ παντὶ χρόνῳ τῆς πίστεως ἡμῶν, δυνησόμεθα ὁρᾶν πῶς τινες ὥσπερ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πόλιν χρείαν« ἔχουσι διδάσκεσθαι »τίνα τὰ στοιχεῖα <τῆς οὕτως> τῶν λογίων τοῦ οὕτως ὀφείλοντές τινες, ὅσον ἐπὶ τῷ χρόνῳ τῆς τοῦ θεοῦ οἰκονομίας καὶ τῷ κατὰ τὴν κλῆσιν ἁπάντων, ἤδη φέρειν τοὺς καρπούς, ἢ πάντως οὐκ <ἔχουσιν ἢ ὀφείλοντες > ἔχουσι μὲν ἀκαίρως δὲ κυπρίζοντας καὶ οὐκ ἐν καιρῷ ὀμφακίζοντας. εἰ νενόηταί σοι δὴ καθ᾽ ἕκαστον, πῶς δεῖ ἐκλαμβάνειν τὸ ὅτε δέ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, μετάβα εἰ δύνασαι) τῷ λόγῳ ἐπὶ τοὺς παραλαβόντας διὰ Μωσέως τὸν νόμον, ὅτι κἀκείνων ἤγγισέ ποτε ὁ καιρὸς τῶν καρπῶν καὶ ἀπέστειλε τοὺς ἑαυτοῦ δούλους πρὸς τοὺς γεωργοὺς τοὺς πρώτους πιστευθέντας »τὰ λόγια τοῦ θεοῦ« ὑπέρ τοῦ λαβεῖν τοὺς καρποὺς τοῦ ἐν ἑκάστῳ ἀμπελῶνος. εὐχερὲς μὲν οὖν εἰπεῖν ὅτι δούλους λέγει τοὺς προφήτας. ἀλλὰ ζητητέον πῶς ἀποστέλλονται πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς τοῦ ἀμπελῶνος καρπούς. εἴποι γὰρ ἄν τις ὅτι οὐκ ἐπὶ τῷ λαβεῖν ἀποστέλλονται τοὺς καρποὺς οἱ προφῆται, ἀλλ᾽ ἐπὶ τῷ γεωργῆσαι μᾶλλον καὶ συνεργῆσαι τοῖς καρποῖς.

Ὅρα οὖν εἰ δυνάμεθα λέγειν τὰ πνευματικὰ καρπώματα καὶ τὰς θείας προσφορὰς δίδοσθαι ἀπὸ τῶν γεωργησάντων τὸν ἀμπελῶνα τοῖς ἀποστελλομένοις δούλοις, ἵνα προσαγάγωσιν ὡς ἱερεῖς τῷ θεῷ τοὺς καρποὺς τοῦ προσφέροντος <λαοῦ>. ἀλλὰ λαβόντες οἱ γεωργοὶ ἐν τῷ λαῷ τοὺς ἀποσταλέντας δούλους λαβεῖν τοὺς καρποὺς τοῦ ἀμπελῶνος, ὃν μὲν ἔδειραν, ὡς »τὸν Μιχαίαν ἐπάταξεν εἰς τὴν σιαγόνα« »Σεδεκίας υἱὸς Χαναάν«, ὅτε καὶ εἶπεν αὐτῷ προφητεύσαντι ὁ ψευδοπροφήτης· »ὁποῖον πνεῦμα κυρίου τὸ λαλῆσαν ἐν σοί;« ὃν δέ ἀπέκτειναν, ὡς Ζαχαρίαν »μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου«, ὃν δέ ἐλιθοβόλησαν , ὡς τὸν Ἀζαρίαν υἱὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα, καθάπερ γέγραπται ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων· ἡνίκα γὰρ »πνεῦμα θεοῦ ἐνέδυσε τὸν Ἀζαρίαν τὸν τοῦ Ἰωδαὲ τὸν ἱερέα, καὶ ἀνέστη ἐπάνω τοῦ λαοῦ καὶ εἶπε· τάδε λέγει κύριος ᾽ τί παραπορεύεσθε τὰς ἐντολὰς κυρίου; ρίου ; καὶ οὐκ εὐοδωθήσεσθε· ὅτι ἐγκατελίπετε τὸν κύριον, καὶ ἐγκαταλείψει ὑμᾶς«, ἐπέθεντο αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὸν δι᾽ ἐντολῆς Ἰωὰς τοῦ βασιλέο)ς ἐν οὐλῇ οἴκου κυρίου. καὶ οὐκ ἐμνήσθη Ἰωὰς τοῦ ἐλέους οὗ ἐποίησε μετ᾽ αὐτοῦ Ἰωδαὲ ὁ Πατὴρ αὐτοῦ, καὶ ἐθανάτωσε τὸν υἱὸν αὐτοῦ. καὶ ὡς ἀπέθνῃσκεν, εἶπεν· ἴδοι κύριος καὶ κρινάτω«.

Ἐξῆς ἐστιν ἐν τῇ παραβολῇ ὅτι πάλιν ἀπέστειλεν ἄλλους δούλους Πλείονας τῶν πρώτων καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. πλήρης δέ ἡ γραφή ἐστι τῶν συμβεβηκότων

τοῖς προφήταις, οὓς ἀπέστειλεν ὑπέρ τοῦ λαοῦ, ἵνα τὸν καρπὸν αὐτῶν ἀναφέρωσιν ὡς ἅγιοι ἱερεῖς τῷ θεῷ διὰ τῶν εὐχῶν. ὕστερον δέ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ μετὰ τοὺς προφήτας τὸν Χριστόν. ζητήσεις δέ, πῶς ὁ ἀποστέλλων τὸν υἱὸν λέγει μέν· ἐντραπήσονται τόν υἱόν μου, ὡς οὐ προκαταλαβὼν δὲ τὸ μέλλον αὐτῷ συμβαίνειν τοῦτο εἶπεν· οὐ γὰρ φαίνονται κατὰ τὸ ῥητὸν ἐντραπέντες αὐτόν. καὶ φάσκειν γε ἐν τούτοις μὴ προεγνωκέναι τὸ μέλλον τὸν πατέρα τοῦ ἀποσταλέντος υἱοῦ, ἀλλὰ ἐψεῦσθαι ἄλλα εἰπόντα ἄλλων γενομένων, ἀσεβές. πόλιν τε αὖ εἰπεῖν ὅτι ἐνετράπησαν αὐτὸν οἱ γεωργοί, παρὰ τὴν ἐνάργειάν ἐστιν· οἱ γὰρ γεωργοὶ ἰδόντες τὸν υἱὸν αὐτοῦ εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος καὶ τὰ ἑξῆς. ὁ μὲν οὖν τις εἰς ταῦτα φήσει ὅτι ἀναγκαῖον συμβῆναι τὸ ἐντραπήσονται τὸν υἱόν μου, εἰ καὶ μὴ τότε συμβέβηκεν. ὁ δέ τις ἐρεῖ ὅτι οὐκ εἶπεν ὁ πατὴρ πέμπων τὸν υἱόν· λήψεται ὁ υἱός μου τὸν καρπὸν ἀπὸ τῶν γεωργῶν, ἀλλ᾽ ὅτι ἐντραπήσονται· ἐνετράπησαν μέν γὰρ τῷ ἐγνωκέναι ὅτι οὗτος ὁ υἱὸς ἦν καὶ εἰρηκέναι αὐτοὺς ἐν ἑαυτοῖς ὅτι οὗτός ἐστιν ὁ κληρονόμος, οὐ πάντως δέ, εἰ ἐνετράπησαν καὶ κατὰ τὴν ἀρχὴν ἐπλήχθησαν, ἤδη καὶ τὰ τῶν ἐντρεπομένων πεποιήκασιν.

Ἅμα δέ κοὶ ζητήσει τις, τίνες οὗτοι οἱ γεωργοὶ οἱ εἰπόντες· τες· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν. οὐ γὰρ φαίνονται Ἰουδαῖοι ἀποκτείναντες αὐτὸν ὡς υἱὸν τοῦ οἰκοδεσπότου. καὶ πρὸς τοῦτο δέ φήσει τις ὅτι, ἡνίκα διελάουν πρὸς ἀλλήλους ὅστις εἴη, τινὲς εἶπον ὅτι οὗτός ἐστιν ὁ Χριστός, πρὸς οὓς ἀπεκρί- ναντο ἄλλοι· »ὁ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστί· τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν«. εἶτ᾽ ἐπεὶ ἀπὸ τῶν σημείων καὶ τῶν τεραστίων καὶ θείων δυνάμεων πληττόμενοι ἐφρόνουν μὲν αὐτὸν εἶναι τὸν Χριστὸν τοῦ θεοῦ, οὐχ ὡμολόγουν δέ, καὶ ἀληθὲς μέν τὸ ἐντραπήσονται τὸν υἱόν μου, ἀληθὲς δὲ καὶ τὸ (ἀπεγνωκότων αὐτῶν ὅτι εἴη υἱὸς) λελέχθαι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν. διὰ τοῦτό φησιν ὁ σωτήρ ᾽ »κἀμὲ οἴδατε καὶ οἴδατε πόθεν εἰμί«, ἐπιστήσας δέ τις τοῖς ἀναγεγραμμένοις περὶ τοῦ Ἡρώδου, ἡνίκα ἔμαθεν ἀπὸ τῶν μόγων τετέχθαι τὸν βασιλέα »τῶν Ἰουδαίων«, ὄψεται ὅτι δύνανται οἱ ἀποκτείναντες τὸν σωτῆρα, ἐγνωκότες ὅτι υἱὸς εἴη, οὐδὲν ἧττον ἐπιβεβουλευκέναι αὐτῷ. καὶ γὰρ ὁ Ἡρώδης, μαθὼν ἀπὸ τῶν γραμματέων ὅτι »ἐν Βηθλεὲμ« »γεννᾶται ὁ Χριστὸς« κοὶ συγκαταθέμενος ὅτι Χριστὸς εἴη ὁ γεννώμενος, ἀποστέλλει μέν αὐτοὺς λέγων· »πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἵνα κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ«, οὐδέν δ᾽ ἧττον ἐπανελθόντων αὐτῶν ἐπεβούλευσε τῷ παιδίῳ, οὐκ ἀπιστῶν ὅτι ὁ Χριστὸς ἦν. οὐκ ἂν γὰρ πάντη ἀπιστῶν πάντα τὰ παιδία ἀνεῖλε »τὰ ἐν Βηθλεὲμ καὶ ἐν τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ κατωτέρω κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων«· ἀλλὰ καὶ ἐπίστευσεν αὐτὸν εἶναι τὸν χριστὸν τὸν προφητευόμενον καὶ ἐβούλετο αὐτὸν ἀποκτεῖναι καὶ τὸ ὅσον γε ἐφ᾽ ἑαυτῷ ἀπέκτεινεν αὐτόν. Οὕτως οὖν δύνανται καὶ οἱ ἐπιβουλεύσαντες τῷ σωτῆρι ἐγνωκεναι μεν οὐχ ὥστε καὶ εἰς ἄλλους φθάσαι τὸν λόγον αὐτῶν, ἐν ἑαυτοῖς γὰρ εἰπον· ουτός ἐστιν ὁ κληρονόμος). οὐδὲν <δ᾽> ἧττον αὐτὸν ἀνῃρηκέναι. ᾠήθησαν γὰρ ἀποκτείναντες τὸν Χριστὸν καὶ μὴ νοοῦντες αὐτοῦ τὴν ἀνάστασιν («εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τόν κύριον τῆς

δόξης ἐσταύρωσαν«) αὐτοὶ κύριοι ἔσεσθαι τῶν πραγμάτων, ἐπεὶ ἀπετύφλωσεν αὐτοὺς ἡ κακία αὐτῶν καὶ οὐκ ἔγνωσαν μυστήρια θεοῦ, καὶ ὡς μὴ ἐγνωκότες αὐτὰ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος τὸν υἱὸν καὶ ἀπέκτειναν αὐτόν. τὸ δέ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος τοιοῦτον εἶναί μοι φαίνεται· τὸ ὅσον ἐφ' ἑαυτοῖς, ἀλλότριον αὐτὸν εἶναι ἔκριναν καὶ τοῦ ἀμπελῶνος γα τῶν γεωργῶν, ἡνίκα κατεψηφίζοντο αὐτοῦ τὴν πρὸς θάνατον ψῆφον. κοὶ ἐπὶ τούτοις ὁ σωτὴρ πυνθάνεται τῶν καὶ αὐτῶν γεωργῶν πονηρῶν λέγων αὐτοῖς ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; οἱ δέ λέγουσιν αὐτῷ, ἐκ τοῦ στόματος αὐτῶν κριθησόμενοι καὶ καταδικασθησόμενοι ὡς κακοὶ κακῶς ἀπολούμενοι καὶ μηκέτι μέλλοντες ἔχειν »τὰ λόγια τοῦ θεοῦ«, τὸ κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελὼνα ἐκδώσεται ἄλλοις γεωργοῖς , οἵτινες τινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. και οιονει προφητευουσιν ομοιως τῳ Καιάφᾳ τῷ ἀρχιερεῖ »τοῦ ἐνιαυτοῦ ἐκείνου«, καὶ »ἀφ' ἑαυτοῦ« μὴ εἰρηκότι τὸ ἀληθές, ἀλλ' ἐπεὶ »ἀρχιερεὺς« ἦν <προφητεύσαντι>· δέ περὶ τῶν ἐθνῶν ὅτι δώσουσι τῷ οἰκοδεσπότῃ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.

Εἶτα ὁ σωτὴρ ἐπὶ τούτοις ἀπὸ τῆς γραφῆς αὐτοὺς δυσωπεῖ, νομίζοντας εἶναι καὶ οἰκοδόμους τοῦ λαου, ὅτι λίθον αὐτὸν ὄντα καὶ ἀποδοκιμασθέντα ἀπ' αὐτῶν ὁ πατὴρ θήσει τῆς ὅλης οἰκοδομῆς κεφαλήν, συνέχοντα δύο γωνίας παλαιᾶς καὶ καινῆς διαθήκης καὶ δύο λαῶν οἰκοδομάς. τοιοῦτον γάρ ἐστι τὸ οὐδέποτε ἀνέγνωτε ἐν τοῖς γραφαῖς· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ κυριου εγενετο αυτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; κεῖται δέ ἡ λέξις ἐν τῷ ἑκατοστῷ ἑπτακαιδεκάτῳ Ψαλμῷ, ὅς ἐστι πρὸ τοῦ πολυστιχωτάτου Ψαλμοῦ τεταγμένος, καὶ ἔχει οὕτως τὸ ῥητόν· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας · παρὰ γυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ«. καὶ εἴ τι ἄλλο τῶν περὶ Χριστοῦ προφητευομένων δύναται δυσωπῆσαι τὸν ἀγνωμόνως ἐξετάζοντα τὰ γεγραμμένα, καὶ τοῦτο ἐν αὐτοῖς ἂν ταχθείη. εἰ εἰ μὴ περὶ λίθου ὁ προφήτης ἀναισθήτου ταῦτα λέγει, ὡς εἴποι τις ἂν ἠλίθιος ἀνήρ, δῆλον ἂν εἴη ὅτι ὁ ἀποδεδοκιμασμένος ὑπὸ τῶν ἐν τῷ λαῷ ἐκείνῳ σοφῶν καὶ ἀρχιερέων καὶ πρεσβυτέρων καὶ γραμματέων Ἰησοῦς, οὗτος ἀληθῶν ἐγένετο ὡς κεφαλὴ ἐκκλησίας εἰς κεφαλὴν γο)νίας, ἐνῶν καὶ ἐπὶ τὸ αὐτὸ συνάγων τὰς δύο διαθήκας. καὶ ἔστιν αὕτη ἡ κεφαλὴ δῶρον παρὰ κυρίου τῇ ὅλη οἰκοδομῇ δεδο. μένη καὶ θαυμαστὴ κεφαλὴ ἐν ὀφθαλμοῖς ἡμῶν, δυναμένων αὐτὴν βλέπειν. καὶ τοῦτο, τοῦτο, ἐπεὶ ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες τοῦτον θον, ἤρθη μέν ἀπὸ τῶν γεωργῶν ἐκείνων καὶ τῶν οἰκοδόμων ἐκείνων »τὰ λόγια τοῦ θεοῦ«, ἐν οἷς ἦν ἡ βασιλεία τοῦ θεοῦ ἐδόθη δὲ ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. εἰ δὲ ἀληθὲς τὸ <ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ> δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, δηλονότι οὐδενὶ τῶν μὴ ποιούντων τοὺς καρποὺς τῆς τοῦ θεοῦ βασιλείας δίδοται ἡ τοῦ θεοῦ βασιλεία· οὐδενὶ γὰρ βασιλευομένῳ ὑπὸ τῆς ἁμαρτίας δίδοται ἡ τοῦ θεοῦ βασιλεία. Ἀλλ' ἐρεῖ τις πῶς, εἰ μηδενὶ δίδοται ἡ

τοῦ θεοῦ βασιλεία τῷ μὴ ποιοῦντι τοὺς καρποὺς αὐτῆς, ἐδόθη ἐκείνοις ἡ τοῦ θεοῦ βασιλεία ἀφ᾽ ὧν ἤρθη, κατὰ τὸ εἰρημένον· ἀρθήσεται ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ; καὶ πρόσχες εἰ δυνάμεθα, ὡς ἐν τηλικαύτῃ δυσχερείᾳ ὄντες οὐ πάνυ τι εὐαποδότου προβλήματος, ἐπιστήσαντες τῇ διαφορᾷ τῶν εἰρημένων περὶ τοῦ ἀμπελῶνος πρότερον καὶ περὶ τῆς βασιλείας τοῦ θεοῦ δεύτερον, ἐπιλύσασθαι τὸ ζητούμενον. οὐκ εἴρηται δὴ περὶ τοῦ ἀμπελῶνος ὅπερ εἴρηται περὶ τῆς βασιλείας τοῦ θεοῦ. περὶ μὲν γὰρ τοῦ ἀμπελῶνος κατὰ τὸ πρότερον γέγραπται ὅτι ἐξέδοτο αὐτὸν γεωργοῖς . περὶ δὲ τῆς βασιλείας τοῦ θεοῦ ὅτι δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. ἦν δ᾽ ἂν ἄλυτον τὸ κατὰ τὸν τόπον εἰ, ὥσπερ ἐξέδοτο αὐτὸν γεωργοῖς γεγραμμένον > ἐπὶ τοῦ προτέρου, οὕτως εἴρητο καὶ περὶ τοῦ δευτέρου • ἐκδοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, καὶ εἰ, ὥσπερ εἴρηται περὶ τῶν δευτέρων ᾽ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς, εἴρητο καὶ περὶ τῶν προτέρων ὅτι ἔδωκεν αὐτὸν γε γεωρηοῖς. καὶ ταῦτα μέν ἡμεῖς εἰς τὸν τόπον ἐπηπορήσαμεν καὶ τὸ φανέν ἡμῖν εἰρήκαμεν· ὁ δέ βέλτιον δυνάμενος καὶ νοεῖν καὶ λέγειν, ἐκεῖνος ἡμῶν μάλλον ἀκουέσθω.

Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει· καὶ ζητοῦντες κρατῆσαι αὐτὸν ἐφοβήθησαν τοὺς τοὺς ὄχλους, ἐπεὶ εἰς προφήτην αὐτὸν εἶχον. (Matth. 21, 45 —46.)

Ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ , ὧν τῆς μέν ἑτέρας ἀρχὴ ἦν · »ἄνθρωπὸς τις εἶχε τέκνα δύο«, τῆς δέ λοιπῆς· »ἄνθρωπος ἦν οἰκοδεσπότης ὃς ἐφύτευσεν ἀμπελῶνα«, ἔγνωσαν ὅτι Περὶ αὐτῶν λέγει κατὰ μὲν τὴν ἑτέραν παραβολὴν ὅτι εἶπεν ὁ δεύτερος υἱός · »ἐγὼ κύριε, καὶ οὐκ ἀπῆλθε«, κατὰ δέ τὴν λοιΠὴν ὅτι, ἐπεὶ εἴρηται αὕτη κατὰ τὰ λελεγμένα κατὰ τῶν ἁμαρτανόντων προτέρων γεωργῶν, <ὁ Ἰησοῦς εἶπε> ἀφ᾽ ὑμῶν ἡ βασιλεία τοῦ θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς«. καὶ γνόντες ὅτι περὶ αὐτῶν λέγει, ἐζήτησαν μὲν αὐτὸν κρατῆσαι καὶ ποιῆσαι αὐτῷ ὅτι ποτ᾽ ἂν δυνηθῶσιν · οὐκ ἠδυνήθησαν δέ, ἐπεὶ μὴ οἷοί τε ἦσαν ὑπομεῖναι ὄχλων ὁρμὴν τῶν ἐχόντων τὸν Ἰησοῦν εἰς Προφήτην. κοὶ ὅσοι γε ἐπιβουλευτικῶς βούλονται κρατῆσαι τὸν λόγον, ἵν᾽ ὡς κεγρατημένον παρ᾽ αὐτοῖς καθέλωσιν αὐτόν, οὗτοι οὐκ ἄν ποτε κροτήσαιεν <οὔτε θανατώσαιεν> αὐτόν, τῶν ὑπέρ οὐτοῦ ὄχλων προφήτην τινὰ τοῦ θεοῦ αὐτὸν ὑπολομβονόντων, περισπώντων τοὺς βουλομένους αὐτὸν κρατεῖν κοὶ ἐπιβουλεῦσαι αὐτῷ.

Μετὰ ταῦτα ἰστέον ὅτι τῶν ζητούντων κρατεῖν τὸν Ἰησοῦν διαφοραί εἰσιν. ἄλλως γὰρ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι εζήτουν κρατῆσαι αὐτόν , ἄλλως ἡ ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων νύμφη, <ἡ> ζητήσασα αὐτὸν καὶ ἀναστᾶσα καὶ κυκλοῦσα ἐν πόλει, »ἐν ταῖς ἀγοραῖς καὶ ἐν ταῖς πλατείαις« μόγις ποτὲ εὗρεν αὐτόν, ὅτε μικρὸν πορῆλθε τοὺς τηροῦντας καὶ κυκλοῦντας »ἐν τῇ πόλει« καὶ εὑροῦσα ἐκράτησεν αὐτόν, ὅτε καὶ λέγει· »ἐκράτησα αὐτὸν καὶ οὐκ ἀρήσω αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με«. ἀλλὰ καὶ αὐτὴ <αὕτη> ἡ νύμφη κατ᾽ μὲν Ἄσματος τῶν ᾀσμάτων »ἐκράτησά«

φησιν »αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης με«, πρὸς δέ τῷ τέλει τοῦ αὐτοῦ βιβλίου, ὡς προκόψασα καὶ ἑτέρως αὐτὸν μέλλουσα κρατεῖν κοὶ βέλτιον πραὰ τὸ πρότερον, φησίν· »εἶπα· ἀναβήσομαι ἐν τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ«. ἵνα δέ νοήσῃς τοὺς ζητοῦντα αὐτὸν κρατῆσαι ἀρχιερεὶς καὶ Φαρισαίους καὶ μὴ κρατοῦντος αὐτόν κατανόησον ὅτι ἐπὶ μέν τῶν ἄλλων πορὰ τὸν Χριστοῦ λόγον λόγων οἷόν τέ ἐστι καρτῆσαι καὶ περιδράξασθαι <καὶ τοῦ νοῦ (τῶν δογματισάντων) καὶ τεθεωρημένως ἀνατρέψαι αὐτὸν καὶ ὡς ἡ γραφὴ ὠνόμασε) συμβιβάσαι. *** ουτω γαρ ο κατα τὸ ευαγγελιον σοφός, φός, ὡς »πνευματικὸς« ἀνακρίνων »πάντα, αὐτὸς δέ ὑπ' οὐδενὸς« ἀνακρινόμενος, ἀνακρίνει μέν καὶ βασανίζει καὶ διελέγχει τοὺς ἄλλους λόγους εἴτε τῶν τοῦ κόσμου σοφῶν εἴτε τῶν ἐν τοῖς αἱρέσεσι διαπρέπειν δοκούντων, οὐ κατακρίνεται δὲ οὐδέ καταλαμβάνεται ὁ ἐν αὐτῷ νοῦς τοῦ Χριστοῦ οὐδέ κρατεῖται ὑπὸ τῶν προθεμένων αὐτὸν ἀνατρέπειν·» τίς γὰρ ἔγνω νοῦν κυρίου, ὅς συμβιβάσει αὐτόν;« καὶ σαφὲς ὅτι, εἴπερ μέλλει τις συμβιβάσαι τινὸς νουν, προτερον αυτον γνωσεται καὶ μετὰ τοῦτο συμβιβάσει· νοῦν« δέ κυρίου τίς« γνώσεται »ὅς συμβιβάσει αὐτόν«; ἀλώσεται γὰρ ὑπ' αὐτοῦ καὶ εἴξει αὐτῷ. καὶ ταῦτα δέ μοι λελέχθω διὰ τὸ καὶ ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπεὶ εἰς προφήτην αὐτὸν εἶχον.

Πλὴν κἄν εὐφημῶσιν οἱ ὄχλοι τὸν Ἰησοῦν, φρονοῦσι μέν τι περὶ αὐτοῦ ἀληθές, οὐ μὴν <καὶ> τὸ μέγεθος συνιᾶσιν αὐτοῦ. ἦν μέν γὰρ Ἰησοῦς καὶ προφήτης, ὡς δῆλον τῷ νοήσαντι τὸ προφήτην ἐκ τῶν ἀδελφλῶν ὑμῶν ἀναστήσει ὑμῖν κύριος ὁ θεὸς ὑμῶν ὡς ἐμέ · αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἄν λαλήσῃ« ὁ προφήτης ἐκεῖνος. ὅς δ' ἄν »μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται«. πλὴν οὐχ ἡ ὑπεροχὴ αὐτοῦ ἐν τῷ προφήτην αὐτὸν εἶναι ἦν ἀλλ' ἐν τῷ υἱὸν θεοῦ πρωτότοκον »πάσης κτίσεως« καὶ εἰκόνα »τοῦ θεοῦ τοῦ ἐν ᾧ »ἐκτίσθη τὰ πάντα ἐν τῷ οὐρανῷ κοὶ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα«, καὶ τὰ ἑξῆς. καὶ μᾶλλον ἦν αὐτοῦ ἡ ὑπεροχὴ ἐν τῷ εἶναι αὐτὸν σοφίαν τὴν λέγουσαν· »ὁ θεὸς ἐκτήσατό με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ«, προ του τι ποιησαι, καὶ »πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι« καὶ τὰ ἑξῆς. κοὶ τούτους γε τοὺς ὄχλους οὕτως φρονοῦντος περὶ αὐτοῦ καὶ ἑτοίμως ἔχοντος ὑπερπολεμεῖν αὐτοῦ πρὸς τοὺς πολεμοῦντος, φοβοῦνται οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, καὶ οὐ δύνανται, ἵν' ἐπιβουλεθυσωσι θέλοντες κρατῆσαι τοῦ Ἰησοῦ, κρατῆσαι αὐτοῦ. ἐνταῦθα μὲν οὖν γέγραπται· ἐπεὶ εἰς προφήτην αὐτὸν εἶχον· παρὰ τοῦτο δ' ἄν ποιήσοις ὅτι οἱ ὄχλοι, κἄν μὲν τῇ λέξει ὡς προφήτην αὐτὸν ἔχωσιν, εἰς ὅ τι ποτ ἄν ἔχωσιν αὐτόν, πολλῷ ἔλαττον εχουσιν αυτον ου εστιν, οὐ φθάνοντες οὐδέ ἐπὶ τὴν ἐκ μέρους« γνωσιν τῶν ἐκ μέρους« αὐτὸν γινωσκόντων κοὶ οὐδὲν <ἄξιον> τρανοῦντες αυτου. Τοῦτο δέ λέγω περὶ τῶν ἀληθῶς περὶ αὐτοῦ φρονούντων. οὐ νομιστέον γὰρ εἰναι »ὑπὲρ« αὐτοῦ τοὺς τὰ ψεύδη φρονοῦντας περὶ αὐτοῦ φαντασίᾳ τοῦ δοξάζειν αὐτόν, ὁποῖοι εἰσιν οἱ συγχέοντες πατρὸς καὶ υἱοῦ ἔννοιαν καὶ τῇ ὑποστάσει ἕνα διδόντες εἶναι τὸν πατέρα καὶ τὸν υἱόν, τῇ ἐπινοίᾳ μόνῃ καὶ ὀνόμασι <μόνοισ> διαιροῦντες τὸ ἕν ὑποκείμενον. καὶ οἱ ἀπὸ τῶν αἱρέσεων φαντασίᾳ τοῦ μεγάλα περὶ αὐτοῦ

φρονεῖν »ἀδικίαν εἰς τὸ ὕψος« λαλοῦντες καὶ κακῶς λέγοντες τὸν δημιουργὸν οὐκ εἰσὶν »ὑπὲρ« αὐτοῦ· οὐ γάρ εἰσι »μετ'« αὐτοῦ κοὶ διὰ τοῦτό εἰσι »κατ'« αὐτοῦ, »ὁ γὰρ μὴ ὢν φησὶ) μετ' ἐμοῦ κατ' ἐμοῦ ἐστιν«. οὕτω δέ κἄν συνάγωσιν οἱ μὴ τὰ ἀληθῆ Περὶ τοῦ υἱοῦ φρονοῦντες ἐν τῷ ὀνόματι Ἰησοῦ, σκορπίζουσι μᾶλλον ἢ συνάγουσι. φησὶ γὰρ ὁ σωτήρ · »καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει«· καὶ πρόσχες ὅτι μὴ εἴρηται ἁπλῶς· »ὁ μὴ συνάγων σκορπίζει«, ἀλλὰ μετὰ ἀκριβοῦς προσθήκης τῆς »μετ' ἐμοῦ«, δεῖ γὰρ τὸν συνάγοντα μετ' αὐτοῦ συνάγγειν. νοήσεις δέ τὸν μετ' αὐτοῦ συνάγοντα ἐπιστήσας τῷ »συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός« · τὸ γὰρ »συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ« δηλοῖ τὸν συνάγοντα μετ' αὐτοῦ. καὶ οὐκ ἄν λέγοις τὸ »συναχθέντων ὑμῶν ἐν τῇ δυνάμει τοῦ κυρίου Ἰησοῦ« ἁρμόζειν τοῖς ἤτοι μετὰ τοῦ κακῶς βιοῦν συνάγουσιν ἤτοι συναγομένοις ἢ μετὰ τοῦ κακῶς καὶ ἀσεβῶς φρονεῖν περὶ τοῦ θεοῦ ἢ τοῦ Χριστου αυτου.

Ταῦτα καὶ διὰ τό τοὺς ὄχλους φρονοῦντας περὶ τοῦ Ἰησοῦ, τοὺς ὑπέρ αὐτοῦ καὶ πολλῷ ἔλαττον φρονοῦντας τῆς ἀξίας αὐτοῦ, λέγεσθαι εἰς προφήτην αὐτὸν εσχηκεναι. συνεξετάσας δέ τούτοις τὴν τοῦ Λουκᾶ περὶ τῶν ὁμοίων λέξιν τρανότερον (οἶμαι) κατασκευάσεις τὰ προειρημένα· ὅστις φησί · »καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δέ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λοοῦ ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οὐχ εὕρισκον τί ποιήσουσιν· ὁ γὰρ λαὸς ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων«. κοὶ ἐν τούτοις γὰρ δηλοῦται ὅτι οἱ τῶν ἸουδαΪκῶν προϊστάμενοι παρανόμως ὄχλων ὀνομαζόμενοι ἀρχιερεῖς) κοὶ γραμματεῖς ἐχθροὶ τῷ Ἰησοῦ) καὶ πρεσβύτεροι τοῦ λαοῦ ζητοῦσι μὲν τόν Ἰησοῦν ἀπολέσαι καὶ ἀφανίσαι τὸ ὄνομα αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων καὶ τὴν περὶ αὐτοῦ πίστιν· οὐχ εὑρίσκουσι δὲ τί ποιήσουσιν εἰς ὅπερ βούλονται ἀνύσαι, ἅτε προληφθέντος παντὸς τοῦ εἰς αὐτὸν πιστεύσαντος λαοῦ καὶ ἐξηρτημένου τῆς εἰς τὸν Ἰησοῦν ἀγάπης καὶ ἐκκρεμαμένου ἐν τῷ ἀκούειν τῆς διδασκαλίας αὐτοῦ καὶ τοῦ λόγου αὐτοῦ. καὶ ἔστι γε τοῦτο ἰδεῖν μέχρι τοῦ δεῦρο, τίνα τρόπον ζητοῦσι καθελεῖν οἱ προβαλλόμενοι τὴν θεραπείαν τοῦ θεοῦ ὡς ἀρχιερεῖς αὐτοῦ καὶ τὴν delav γραφὴν ὡς γραμματεῖς καὶ τὸ ἀρχαῖον οἱ] πρεσβύτεροι τοῦ λαοῦ, <καὶ> ζητοῦσιν ἀπολέσαι τὸν Ἰησοῦν καὶ ἐξαφανίσαι τὴν περὶ αὐτοῦ δόξαν, πάντα εἰς τοῦτο ἀκολούθως τῷ βουλήματι τῶν πατέρων αὐτῶν πράττοντες, οὐ μὴν εὑρίσκοντες τί ποιήσουσιν, ἵνα τὸν ἐξηρτημένον τοῦ Ἰησοῦ λαὸν ἀποστήσωσιν αὐτοῦ καὶ ἀπαλείψωσιν αὐτὸν ἀπὸ τῆς διανοίας αὐτῶν.

Τάχα δέ κ(Λ πάντες οἱ ἠντινοῦν δόξαν ἔχοντες Περὶ τοῦ θείου καὶ πρεσβεύοντες περὶ αὐτῆς ἀλλοτρίως τῆς Ἰησοῦ διδασκαλίας ἀπολέσαι μέν θέλουσι τὸν Ἰησοῦν, οὐ δύνανται δέ, ἐπεὶ πᾶς ὁ ὄχλος αὐτοῦ ἐκκρέμαται ἀκούων. ἀλλὰ καὶ οἱ οἱστισινοῦν συγγράμμασιν ἧς δήποτε σοφίας προσέχοντες καὶ διὰ τοῦτο τροπικῶς λεγόμενοι γραμματεις ἀπολέσαι θέλουσιν ἐξ ἀνθρώπων τὸν Ἰησοῦν, οὐ μὴν εὑρίσκουσιν εἰς τοῦτο ἀνύσιμον ὅ ποιήσουσι. καὶ πάντες δέ οἱ πρεσβύτεροι, <οἱ ἀλλότριοι> τῆς Ἰησοῦ διδασκαλίας λόγιοι Ἑλλήνων καὶ

βαρβάρων, ἀπολέσαι θέλουσι τὸν Ἰησοῦν, ἀλλ' οὐ δύνανται νικώμενοι ἀπὸ παντὸς τοῦ λοοῦ Ἰησοῦ, ἐκκρεμαμένου τοῦ διδασκάλου ἐν τῷ ἀκούειν καὶ συναισθάνεσθαι τῆς διδασκαλίας αὐτοῦ. κοὶ ὁ Μᾶρκος δέ τὰ παραπλήσια ὑποβάλλει λέγων · »καὶ ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν· ἐφοβοῦντο γὰρ αὐτόν, ὅτι πᾶς ὁ λαὸς ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ«. πᾶς γὰρ ὁ λαὸς Χριστοῦ ἐκπλήσσεται »ἐπὶ τῇ διδαχῇ αὐτοῦ«, καὶ οὐδὲν δύναται γενέσθαι ὑπὸ τῶν προειρημένων ἀρχιερέων κοὶ γραμματέων, ζητούντων ἀπολέσαι τὸν Ἰησοῦν ἐξ ἀνθρώπων καὶ ἐκλὺσαι τὴν ἔχπληξιν παντὸς τοῦ λαοῦ αυτου.

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πάλιν ἐν παραβολαῖς αὐτοῖς λέγο)ν· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ποιῶν γόμους τῷ υἱῷ αὐτοῦ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καὶ τὰ ἐξῆς ἕως τοῦ· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δέ ἐκλεκτοί (Matth. 22, —14).

Καὶ αὕτη ἡ Παραβολὴ ὁλοσχερέστερον νοουμένη δόξει σαφὴς εἶναι, ἐν ἕ ἄνθρωπος μὲν βασιλεὺς τροπικῶς ὁ θεὸς καὶ πατὴρ Χριστοῦ Ἰησοῦ εἶναι λέγεται, οἱ δὲ γόμοι τοῦ υἱοῦ τοῦ βασιλέως ἡ ἀποκατάστασις τῆς νύμφης ἐκκλησίας χριστοῦ Πρὸς Χριστὸν τὸν νυμφίον αὐτῆς. οἱ δὲ ἀποστελλόμενοι δοῦλοι καλέσαι τοὺς κεκλημένουσ εἰς τοὺς γόμους οἱ κατὰ καιρόν εἰσι προφῆται ἐπιστρέφοντες τοὺς ἀπὸ τοῦ λαοῦ διὰ τῶν προφητειῶν ἐπὶ τὴν εὐφροσύνην ἀγομένην ἐπὶ τῇ ἀποκαταστάσει τῆς ἐκκλησίας πρὸς Χριστόν. οἱ δὲ μὴ θέλοντες ἐλθεῖν προηγουμένως ὄντες κλητοὶ οἱ μὴ ἀκούοντες τῶν λόγων τῶν Προφητῶν ἦσαν, οἱ δέ ἀποστελλόμενοι ἄλλοι δοῦλοι ἄλλο ἄθροισμα προφητῶν, προφητῶν, τὸ δὲ ἡτοιμασμένον ἄριστον, ἐν ᾧ οἱ ταῦροι τοῦ βασιλέως καὶ τὰ σιτευτὰ αὐτοῦ τεθυμένα ἦν, αἱ στερεαὶ ἦσαν καὶ λογικαὶ τῶν μυστηρίων τοῦ θεοῦ τροφαί· οὕτω δέ καὶ πάντα ἕτοιμα, οἱ περὶ πάντων τῶν ὄντων λόγοι <ἕτοιμοι>, οὓς ἔλθη τὸ τέλειον«) οἱ τῇ κλήσει ἀκολουθήσαντες φάγονται καὶ πίονται. ἐπεὶ δὲ τῶν κεκλημένων διὰ τῶν προφητῶν οἱ μέν μόνον ἠμέλουν τῶν λεγομένων καὶ τοῖς βιωτικοῖς ἐσχόλαζον πράγμασιν, οὐ μὴν καὶ ἐπονηρεύοντο <κατὰ τῶν ἄλλοι δὲ καὶ ἐπονηρεύοντο> κατ' αὐτῶν. διὰ τοῦτο τὴν διαφορὰν αὐτῶν παραστπησαι βουδόμενος εἶπεν· οἱ δὲ ἀμελήσαντες ἀπῆθον, ὅς μὲν ἐπὶ τὸν ἴδιον ἀγρόν, ὅς δὲ ἐΠὶ τὴν ἐμπορίαν αὐτοῦ· οἱ δέ λοιποὶ κρατήσαντες αὐτοῦ τοὺς δούλους ὕβρισον καὶ ἀπέκτειναν.

Εἶτα ἀκολούθως <ταύτῃ> ὁλοσχερεστέρᾳ διηγήσει ἡ ὀργὴ τοῦ βασλέως νοεῖται, ἣν κοὶ ὁ ἀπόστολος περὶ Ἰουδαίων ὀνομάζων λέγει • ἐφθασε δὲ ἡ ὀργὴ ἐπ αὐτοὺς εἰς τέλος«. εἶτα προφητεύεται ὁ κατὰ Ἰουδαίων πόλεμος καὶ ἡ ἅλωσις Ἱερουσαλὴμ καὶ ἡ ἀναίρεσις τοῦ λαοῦ μετὰ τὴν Χριστοῦ ἐπιδημίαν ἐν τῷ καὶ πέμψας τὸ στράτευμα αὐτοῦ ἀνεῖλε τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.

τὸ δὲ τότε λέγει τοῖς δούλοις ἀυτοῦ· ὁ μὲν γόμος ἕτοιμος, οἱ δέ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἄν εὕρητε καλέσατε εἰς τοὺς γάμους ἀναφέροιτο ἄν ἐπὶ τοὺς Ἰησοῦ Χριστοῦ ἀποστόλους λέγοντος Ἰουδαίοις· »ὑμῖν ἦν ἀναγκαῖον τὸν λόγον τοῦ θεοῦ· ἐπεὶ δὲ ἀναξίους

κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη«. αἱ διέξοδοι οὖντῶν ὁδῶν τὰ > ἔξω τοῦ Ἰσραήλ ἐστι πράγματο, παρ' αἷς οἱ ὑπὸ τῶν ἀποστόλων εὑρισκόμενοι καλοῦνται εἰς τοὺς γάμους, συναγόντων τῶν ἀποστόλων πάντας οὕς ἐὰν εὕρωσιν. εὕρισκον δὲ τοὺς ἀκούοντας καὶ οὐκ ἐφρόντιζον καλοῦντες πότερόν ποτε πρὸ τῆς καλήσεως πονηροὶ ἢ ἀγαθοὶ ἦσαν οἱ καλούμενοι· πάντας γὰρ τοὺς εὑρισκομένους ἐκάλουν. ἀγαθοὺς δὲ νομιστέον ἐνταῦθα Ι ἁπλούστερον λέγεσθαι τοὺς μετριωτέρους τῶν ἐρχομένων ἐπὶ τὴν θεοσέβειαν, οἷς ἐφαρμόζοις ἄν τὸ τοιοῦτο ἀποστολικόν· ὅταν δὲ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τά τοῦ νόμου ποιῶσιν. οἱ τοιοῦτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος · οἵτινες ἐνδείκνυνται τό ἔργον τοῦ νόμου γραπτὸν ἐν τοῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως«. καὶ ἐπλήσθη γε ὁ Χριστοῦ <καὶ> τῆς ἐκκλησίας γάμος καὶ ἀποκαταστάντων <τῷ θεῷ> , τῶν εὑρεθέντων ὑπὸ τῶν ἀποστόλων, ἀνακειμένων ἐπὶ τῷ εὐφρανθῆναι ἐπὶ τοῖς γάμοις.

Εἶτ' ἐπεὶ πονηροὺς καὶ ἀγαθοῦς καλεῖσθαι <μὲν ἔ> δει, οὐ μὴν ωστε τους πονηρους μενειν πονηρούς, ἀλλὰ μεταμφιασαμένους καὶ ἀποθεμένους τὰ ἀλλότρια τοῦ γόμου ἐνδύματα ἐνδύσασθαι τὰ τοῦ γάμου, »σπλάγχνα οἰκτιρμοῦ, χρηστοτητα, ταπεινοφροσυνην, πραοτητα, μακροθυμίαν« ταῦτα ταῦτα γάρ ἐστι τὰ τοῦ γάμου ἐνδύματα), διὰ τοῦτο ὁ βασιλεὺς εἰσέρχεται θεάσασθαι τοὺς ἀνακειμένους , πρὶν αὐτοῖς παραθῇ τὸ ἡτοιμασμένον ἄριστον, τοὺς ταύρους καὶ τὰ τεθυμένα σιτιστὰ καὶ πάντα τὰ ἕτοιμα, ἵνα θεασάμενος τηρήσῃ μέν τοὺς ἔχοντος ἔνδυμα γάμου καὶ εὐφράνῃ καταδικάσῃ δὲ τοὺς ἐναντίους. εἰσελθὼν οὖν εὑρίσκει τινὰ τῶν κεκλημένων καὶ ἐληλυθότων ἐπὶ τὴν κλῆσιν μὴ ἀλλάξαντα ἑαυτοῦ τὸ ἦθος μηδὲ ἐνδυσάμενον ἔνδυμα γόμου καὶ λέγει αὐτῷ· πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γόμου; εἶτ' ἐπεὶ ὁ ἁμαρτὼν καὶ μὴ ἀνακαινωδεὶς μηδὲ ἐνδυσάμενος τὸν κύριον Ἰησοῦν Χριστὸν ὡς μὴ ἔχων τόπον ἀπολογίας« φιμοῦται, διὰ τοῦτο γέγραπται τὸ ὁ δέ ἐφιμώθη. καὶ οὐκ ἀρκεῖ γε τὸ ἐκβληθῆναι τοῦ γάμου τὸν ἀτιμάσαντα τὴν κλῆσιν· δεῖ γὰρ αὐτὸν ὑπὸ τῶν διακόνων τοῦ βασιλέως τῶν πρὸς τοῖς δεσμοῖς τετογμένων, δεθέντα τὴν πορείαν ᾗ οὐκ εἰς δέον ἐχρήσατο καὶ τὴν δραστήριον δύναμιν ἐν ᾗ πρᾶξιν ἀγαθὴν οὐκ ἐτέλεσεν, ρὺ μόνον ἀπὸ τοῦ γόμου ἐκβληθῆναι, ἀλλ' ὥστε καὶ εἰς τὸν ἀλλότριον φωτὸς > καταδικασθῆναι τόπον, ἔνθα σκότος ἦν τὸ ὡς ἐν σκότεσι βαθύτερον καὶ καλούμενον σκότος ἐξώτερον. κοὶ εἴ τίς γε ἡμῶν ἐπὶ τὴν κλῆσιν ἐλθὼν τοῦ βασιλέως εἰς τοὺς γάμους τοῦ υἱοῦ αὐτοῦ, δοκεῖ μέν ὑπακούειν καὶ ἔρχεσθαι μετὰ τῶν κεκλημένων, οὐ μὴν ἐνδέδυται τὸ προειρημένον ἔνδυμα γάμου, ταῦτα πείσεται κοὶ δεθεὶς ποδῶν καὶ χειρῶν ἐκβληθήσεται εἰς τὸ σκότος τὸ ἐξώτερον , ἔνθα κατὰ τὸ »οὐαί, οἱ γελῶντες νῦν, ὅτι κλαύσετε«, ὁ κλαυθμὸς τοῖς τὰ τοῦ κλαυθμοῦ καὶ θρήνου ἄξια ἁμαρτήσασι· κλαύσονται δὲ θρηνοῦντες τὰς ἰδίας ταλαιπωρίας. εἶθ' ἵνα παραστήσῃ ὁ λόγος τὸν φόβον καὶ τὸν τρόμον καὶ τὰ σκυθρωπὰ πράγματα καὶ τοὺς πόνους ἐν οἷς ἔσονται οἱ μὴ ἐνδεδυμένοι ἔνδυμα γόμου, εἶπε τὸ ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ οὐ μόνον ὁ κλαυθμός, ἀλλὰ καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ ἐπιφέρεται τῇ ὅλη παραβολῇ,

διὰ τὸ πολλοὺς δεδηλῶσθαι τοὺς κληθέντας οὐ πάνατας δὲ ἐληλυθέναι ἀλλ' ὀλίγους ἐξ αὐτῶν, τὸ πολλοί εἰσι κλητοί, ὀλίγοι δέ ἐκλεκτοί.

Ταῦτα μέν οὖν ὁλοσχερέστερον εἰς τὴν παραβολὴν λελέχθω, πειρασόμεθα δέ ἐπανελθόντες ἐρευνῆσαι κατὰ τὴν παροῦσαν δύναμιν αὐτήν, ἐὰν ὅρα βοηθηθέντες ὑπὸ τοῦ τῆς σοφίας πνεύματος δυνηθῶμέν τινα καὶ βαθύτερα εἰς τὴν παραβολὴν εὑρόντες οἰκοδομῆσαι καὶ κατὰ τὸ εὔλογον σιωπῆσαι ἢ αἰνίξασθαι ἢ ἐκθέσθαι. ἡ βασιλεία τοίνυν τῶν οὐρανῶν ὡμοιώθη κατὰ μέν τὸν βασιλεύοντα ἀνθρώπῳ βασιλεῖ, κατὰ δὲ τὸν συμβασιλεύοντα τῷ βασιλεῖ τῷ υἱῷ αὐτοῦ, κατὰ δέ τὰ βασιλευόμενα τοῖς δούλοις καὶ τοῖς κεκλημένοις εἰς τοὺς γάμους, ὧν οἱ μὲν οὐκ ἤθελον τοῦ] εἰσελθεῖν, οἱ δέ ἀμελήσαντες τοῦ εἰσελθεῖν ἀπῆλθον, ὅς μέν εἰς τὸν ἴδιον ἀγρόν , ὅς δέ ἐπὶ τὴν ἐμπορίαν αυτου, καὶ ἄλλοι <δὲ> κρατήσαντες δούλους ὕβρισαν καὶ ἀπέκτειναν. ἔτι τῶν βασιλευομένων ἐστὶ καὶ τὸ στράτευμα τοῦ βασιλέως, κοὶ οἱ ἀπὸ τῶν <διεξόδων τῶν> ὁδῶν συναγόμενοι πονηροὶ καὶ ἀγαθοί, ἕως ἐπλήσθῃ ὁ γόμος ανακειμενων, και ο εν τοῖς ἀνακειμένοις οὐκ ἔχων ἔνδυμα γόμου, καὶ οἱ κελευσθέντες διάκονοι δῆσαι τὸν μὴ ἔχοντ(ι ἔνδυμα γόμου ποδῶν καὶ χειροῖν καὶ ἐκβαλεῖν αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον.

Ἐδύνατο μέντοι γεγράφθαι· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν βασιλεῖ χωρὶς τῆς ἄνθρωπος προσθήκης. ἀλλ' ἐπεὶ πρόσκειται καὶ τὸ ἀνθρώπῳ, ἀναγκαῖον καὶ τοῦτο διηγήσασθαι, οὕτως ἄν ὡς ἐμοὶ δοκεῖ) σαφηνισθέν. τῶν μὲν πρὸ ἡμῶν ποιήσας τις βιβλία νόμων ἱερῶν ἀλληγορίας, τὰς ὡσπερεὶ ἀνθρωποπαθῆ παριστάσας λέξεις τὸν θεὸν διηγούμενος καὶ τὰς τὸ θεῖον αὐτοῦ ἐμφαινούσας, ἐνὶ μὲν ῥητῇ ἐχρήσατο περὶ τοῦ ὡς ἄνθρωπον λέγεσθαι εἶναι τὸν θεὸν ἀνθρώπους οἰκονομοῦντα, τῷ ἐτροποφόρησέ σε κύριος ὁ θεός σου ὡς εἴ τις τροποφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ«, ἐνὶ δέ περὶ τοῦ μὴ ὡς ἄνθρωπον εἶναι τὸν θεόν, τῷ »οὐχ ὡς ἄνθρωπος ὁ θεὸς διαρτηθῆναι«.

ἡμεῖς δέ πολλὴν ἀφθονίαν ἔχομεν ἀπὸ τῶν εὐαγγελικῶν περὶ τοῦ θεοῦ παραδειγμάτων, ἐν οἷς ὡμοιώθη κατα τινας παραβολὰς ἀνθρώπῳ. χρησόμεθα οὖν ταῖς ἄνθρωπον ὀνομαξούσαις παραβολαῖς τὸν θεὸν εἰς ἀπολογίαν τῶν ὅσον ἐπὶ ταῖς λέξεσιν ἀνθρωποπαθῆ φασκουσῶν εἶναι τὸν Χριστοῦ πατέρα, καὶ φήσομέν γε πρὸς τοὺς ἑτεροδόξους, διὰ τὸ μὴ νενοηκέναι τὰ οὕτο)ς λεγόμενα ἐν τοῖς παλαιοῖς γράμμασι προσκόπτοντας τῷ θεῷ νόμου καὶ προφητῶν καὶ τῆς τοῦ κόσμου κτίσεως ὅτι. εἴπερ ἀνθρώπῳ ὡμοίωται κατὰ τὰς τοῦ εὐαγγελίου γελίου παραβολὰς) ὁ θεός, διὰ τί ἀκολούθως ταύταις ταῖς παραβολαῖς οὐ παραδέχεσθε παραβολὴν εἶναι τὴν ὀργὴν <καὶ> τὸν καὶ τὴν μεταμέλειαν καὶ τὴν ἀποστροφὴν τοῦ προσώπου καὶ τὴν κάθισιν καὶ τὴν στάσιν καὶ τὸν περίπατον τοῦ θεοῦ ; τὸν γὰρ ἀναγεγραμμένον ἐν ταῖς προφητείαις ὕπνον αὐτοῦ ἤτοι οὐ παρετήρησαν ἢ ὁμολογήσουσιν εἶναι παραβολήν. καὶ ἔτι πρὸς ἐκείνους ἐροῦμεν ὅτι, εἰ μὴ βούλεσθε, ἀκολούθως τῷ ἐν παραβολῇ ἄνθρωπον λέγεσθαι τὸν θεόν, ἐν παραβολῇ ἀκούειν τῶν ἀνθρωποπαθῶς περὶ αὐτοῦ ἀπαγγελλουσῶν γραφῶν, παραστήσατε

πῶς ἄνθρωπος ὁ τῶν ὅλων κατὰ τὸ εὐαγγέλιον λέγεται θεός, οὐδὲν ἀνθρώπινον (ὡς ὑμεῖς ὑπολαμβάνετε) λεγόμενος ἔχειν ἐν ἑαυτῷ.

Ἐκ περιουσίασ δέ ἐλέγξομεν αὐτοὺς μηδέ τὰ τῆς καινῆς διαθήκης γράμματα ἐξητακότας, ἐν οἷς κατὰ τὴν ἐνταῦθα παραβολὴν ὁ ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ βασιλεὺς ἄνθρωπος ὠργίσθη ἐπὶ τοῖς μὴ θελήσασι κατὰ τὴν κλῆσιν αὐτοῦ ἐλθεῖν εἰς τοὺς γάμους καὶ τοῖς ἀμελήσασι μὲν τοῦ δειπνήσαι εἰς τοὺς γάμους, ἀπεληλυθόσι δὲ εἰς τὸν ἴδιον ἀγρὸν ἢ ἐπὶ τὴν ἐμπορίαν, ὠργίσθη δὲ καὶ ἐπὶ τοῖς κρατήσασι τοὺς δούλους αὐτοῦ καὶ ὑβρίσασι καὶ ἀποκτείνασι. λεγέτωσαν γὰρ ἡμῖν πότερον ὁ ὀργισθεὶς οὗτος, ἅτε ποιῶν γάμους τῷ τῷ υἱῷ αὐτοῦ, ὁ πατήρ ἐστι τοῦ Χριστοῦ ἢ ἄλλος τις παρὰ τὸν (ὅσον ἐπὶ τῇ παραβολῇ) ὀργισθέντα πατήρ ἐστιν αὐτοῦ. ἑκατέρως δέ στενοχωοηθήοονται, εἴτ᾽ ἐκ τοῦ μὴ θέλειν τὸν ὀργισθέντα ποιοῦντα γάμους τῷ υἱῷ πατέρα εἶναι τοῦ Χριστοῦ διὰ τὴν ὀργήν, εἴτ᾽ ἐκ τοῦ ἀνογκάζεσθαι διὰ τοὺς γάμους καὶ τὸν υἱὸν παραδέχεσθαι ὅτι αὐτὸς εἴη ὁ πατὴρ Χριστοῦ καὶ ὅτι ὀργίζεται. ἐὰν δὲ διήγησιν τῷ ἀργίζεσθαι πειραθῶσι φέρειν, φήσομεν πρὸς αὐτοὺς ὅτι· ὦ οὗτοι, τίς ἡ ἀποκλήρωσις, μη φευγειν μευ τον εν τῳ εὐαγγελίῳ ποιοῦντα γάμους τῷ υἱῷ αὐτοῦ διὰ τὴν ὀργὴν καὶ ἄλλον ζητεῖν, ἐν δὲ τῷ νόμῳ καὶ τοῖς προφήταις διὰ τὸ αὐτὸ τῆς ὀργῆς ὄνομα καὶ τὰ παραπλήσια αὐτῇ ζητεῖν ἀναπλάττειν ἕτερον παρὰ τὸν τοῦ] νόμου καὶ προφητῶν θεόν ;

Ὅσον οὖν ἄνθρωποί ἐσμεν, καὶ οὐ συμφέρει ἡμῖν τὸν πλοῦτον »τῆς χρηστότητος« τοῦ θεοῦ καὶ τὸ πολὺ πλῆθος τῆς χρηστότητος« αὐτοῦ κεκρυμμένης ὑπ᾽ αὐτοῦ ἵνα μὴ βλαβῶμεν) θεωρεῖν, ἀναγκαίως ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ἵνα ἀνθρώποις λαλήσῃ ὡς ἄνθρωπος καὶ ἀνθρώπους οἰκονομήσῃ μὴ χωροῦντας οἰκονομηθῆναι ὑπὸ τοῦ θεοῦ, πάντη μένοντος θεοῦ καὶ ἐν τῷ λέγειν διὰ προφητῶν κοὶ ἐν τῷ οἰκονομεῖν ἀνθρώπους. καὶ τότε παύσεται ὁμοιουμένη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ , ὅταν παυσαμένου ζήλου καὶ ἔριδος καὶ τῶν λοιπῶν παθῶν καὶ ἁμαρτημάτων καὶ τοῦ »κατὰ ἄνθρωπον» περιπατεῖν, ἔξιοι γενώμεθα ἀκοῦσαι ἀπὸ τοῦ θεοῦ· ἐγὼ εἶπα • θεοί ἐστε καὶ υἱοὶ ὑφίστου πάντες«, ἢ τοῦ ριστοῦ αὐτοῦ, μηκέτι πράττοντες τοιαῦτα ἐφ᾽ οἷς λέγοιτ᾽ ἄν <ἡμῖν>· »ὑμεῖς δέ ὡς ἀποθηῄσκετε«. ἐγὼ δ᾽ οἶμαι ὅτι οὐ μόνον τὸ ἀνθρώπῳ βασιλεῖ ὁμοιοῦσθαι τὴν βασιλείαν τῶν οὐρανῶν παύσεται, ἀλλὰ καὶ ἄλλα μυρία ὧν χρῄζει ἁμαρτωλὸς ἄνθρωπος, οἷον γέγραπιαι ἐν τῷ Ὡσηέ • »ἐγὼ δέ εἰμι ὡς πάνυηρ τῷ Ἐφραΐμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα«, καὶ ἐν ἄλλῳ τόπῳ· »ἀπαντήσομαί« φησιν αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη. παύσεται οὖν ποτε ὢν ὡς πάνθηρ καὶ ὡς λέων καὶ ὡς ἄρκτος ἀπορουμένη, ὅτε διὰ τὸ τοὺς τόδε πεποιηκότος μηκέτι χρῄζειν τοῦ ὡς πάνθηρος καὶ τοῦ ὡς λέοντος κοὶ τοῦ ὡς ἄρκτου <ἀπορουμένης> αὐτὸς οὐκέτι ἔχων τοὺς <τοιούτους> τοιούτου χρῄζοντας, ἐμφανίσει ἑαυτὸν »καθώς ἐστιν«. ἐγὼ δέ οὕτως ἀκούω καὶ τοῦ ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον«, ἐπείπερ ὅσον μέν <ἐν ἡμῖν> ἐστι τὰ τοῦ καταναλίσκεσθαι ἄξια, ἐπὶ τοσοῦτον ὁ θεὸς ἡμῶν πῦρ ἐστι κατανλίσκον« ἐκεῖνα· ἐπὰν δέ ἀναλωθῇ ὑπὸ τοῦ καταναλισκοντος πυρος τα πεφυκοτα υπ ἐκείνου ἀναλίσκεσθαι, τότε οὐκέτι μὲν ἔσται »ὁ θεὸς ἡμῶν πῦρ καταναλίσκον«, μόνον δέ ὡς εἶπεν Ἰωάννης φῶς, λέγων · ὁ θεὸς φῶς

εστι«. τούτων δέ κινηθέντων πρόσχες εἰ δύνασαι τὸ ἀπὸ τῆς Ἰωάννου καθολικῆς ἐπιστολῆς οὕτως ἔχον · »ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀφόμεθα αὐτὸν καθώς ἐστι«, τὸν τρόπον τοῦτον ἐκλαβεῖν. νῦν μέν γάρ, κἄν ἀξιωθῶμεν βλέπειν τὸν θεὸν θεὸν νῷ καὶ τῇ καρδίᾳ, οὐ βλέπομεν »αὐτὸν καθώς ἐστιν« ἀλλὰ καθὼς διὰ τὴν ἡμετέραν οἰκονομίαν ἡμῖν γίνεται· ἐπὶ δέ τέλει τῶν πραγμάτων καὶ τῆς »ἀποκαταστάσεως πόντων ὧν ἐλάλησε διὰ στόματος τῶν ἁγίων ἐξ αἰῶνος προφητῶν αὐτοῦ«, ὀφόμεθα αὐτόν, οὐχ ὡς νῦν, ὁ οὐκ ἔστιν, ἀλλ’ ὡς πρέπει τότε, ὅ ἐστιν.

Ἅπαξ δέ ταῦτα εἰπόντες εἰς τὸ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ δυνάμεθα καὶ τὴν αἰτίαν εὑρεῖν τοῦ συνεχῶς τὸν σωτῆρα υἱὸν τοῦ ἀνθρώπου ἢ υἱὸν ἀνθρώπου ἑαυτὸν ὠνομακέναι, δηλοῦντα ὅτι, ὥσπερ ὁ θεὸς ἀνθρώπους οἰκονομῶν ὡς ἐν παραβολαῖς ἄνθρωπος λέγεται, τάχα δὲ πως καὶ γίνεται, οὕτως καὶ ὁ σωτὴρ προηγουμένως > υἱὸς ὢν τοῦ θεοῦ καὶ ἐστι καὶ υἱὸς τῆς ἀγάπης αὐτοῦ« καὶ »εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου«· οὐ μένει δὲ ἐν ᾧ ἐστι προηγουμένως, ἀλλὰ γίνεται κατ’ οἰκονομίαν τοῦ ἐν παραβλαῖς λεγομένου ἀνθρώπου ὄντος δέ θεοῦ) υἱὸς ἀνθρώπου, κατὰ τὸ μιμεῖσθαι, ὅταν ἀνθρώπους οἰκονομῇ, τὸν θεόν, λεγόμενον ἐν παραβολαῖς καὶ γινόμενόν πως ἄνθρωπον. καὶ οὐ χρή τινα ἄνθρωπον ζητεῖν κἀκείνου λέγειν υἱὸν εἶναι τὸν σωτῆρα, ἀλλὰ στάντα ἐπὶ τῆς ἐννοίας τοῦ θεοῦ καὶ τῶν λεγουσῶν παραβολῶν αὐτὸν εἶναι ἄνθρωπον συνετῶς ἀκούειν αὐτοῦ λέγοντος ἑαυτὸν υἱὸν τοῦ ἀνθρώπου. Παρ’ ἡμῖν μὲν οὖν τοῖς ἀνθρώποις ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν <ἀνθρώπῳ> βασιλεῖ, παρὰ δὲ τοῖς κατὰ τὰς γραφὰς λεγομένοις θεοῖς, ὧν »ἐν συναγωγῇ ἔστη ὁ θεός, ἐν μέσῳ θεοὺς« διακρίνων, ἡ βασιλεία τῶν οὐρανῶν ἐστιν ὁμοία ὁμοία θεῷ βασιλεῖ.

ζητήσεις δὲ εἰ, ὥσπερ ἐν ἀνθρώποις τοῖς ὑποδεεστέροις ὅσον ἐπὶ τῇ ἑαυτῶν φύσει) ἀγγέλων καὶ θρόνων καὶ κυριοτήτων καὶ ἀρχῶν καὶ ἐξουσιῶν ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, <οὕτως> ἐν θρόνοις ἡ βασιλεία τῶν οὐρανῶν θρόνῳ βασιλεῖ, κυριότησι δὲ κυριότητι βασιλεῖ, ἀρχαῖς δὲ ἀρχῇ βασιλεῖ, καὶ ἐξουσίαις ἐξουσίᾳ βασιλεῖ. φήσει γάρ τις · τίς ἡ ἀποκλήρωσις τοῖς μὲν ἐλάττοσιν ὡμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, τοῖς δὲ κρείττοσιν ἀνθρώπων μὴ τὸ ἀνάλογον τούτῳ γίνεσθαι ;

Οὗτος δὴ ὁ ὁμοιωθεὶς ὥπῳ βασιλεῖ ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους. καὶ ἐπιστήσεις εἰ, ὥσπερ <ἐπὶ τῶν σωματικῶν> ἄλλη ἡ γαμουμένη νύμφη παρὰ τοὺς καλοῦντας δούλους καὶ τοὺς κεκλημένους εἰς τοὺς γόμους, οὕτως καὶ ἐπὶ τῶν μυστικῶν πραγμάτων οἱ μέν τινές εἰσιν ἀναλαμβανόμενοι εις το συστημα της νυμφης, ἄλλοι δέ εἰς τὴν τάξιν τῶν ἀποστελλομένεν δούλων καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ τρίτοι παρὰ τούτους οἱ κεκλημένοι εἰς τοὺς γάμους. θεὸς δ’ ἄν εἰδείη τὰ διάφορα τάγματα τῶν ψυχῶν ἢ σὺν αὐταῖς καὶ δυνάμεων, καὶ τὴν αἰτίαν τοῦ τούοδε μέν ἐπὶ τὸ σύστημα τῆς νύμφης ἀναλαμβάνεσθαι, ἑτέρους

δέ ἐπὶ τοὺς δούλους τοὺς διακονουμένους <ταύτῃ> τῇ κλήσει, κοὶ ἄλλους ἐπὶ τοὺς καλουμένους. ἐν πνευματικοῖς δέ γάμοις κοινωνιαν νόει λόγου νυμφίου <ὑποδοχήν,> τόκον δὲ καλῶς ποιούμενα νύμφης ψυχῆς, γαμουμένης λόγῳ καὶ μὴ φθειρομένης ὑπ' αὐτοῦ, ἀλλὰ καὶ καθ' ἑκάστην τὴν πρὸς αὐτὸν κοινωνίαν ἀφθαρσίας μεταλαμωανούσης καὶ γεννώσης, ὁποῖα γένοιτο ἐκ τοιούτων γόμων λογικὰ γεννήματα.

καὶ ἐν τοιούτοις γόμοις νόει τὸ ἑτοιμαζόμενον ἄριστον ἐκ στερεᾶς ἐν πενυματικοῖς λογίοις τροφῆς. καὶ τὸ στερεὸν τῆς τροφῆς τροπολογούμενόν μοι νόει ἐν τοῖς ταύροις, ἀλλὰ καὶ τὸ πνευματικὸν τῆς αὐτῆς θεωρίας ἐν τοῖς θυομένοις σιτιστοῖς, κοὶ τὴν ἄλλην δὲ ποικλίαν, τὴν ἀνάλογον τοῖς σωματικοῖς πνευματικὴν θεωρίαν, <ἐν> τῷ καὶ τὰ πάντα ἕτοιμα. ὁ γὰρ βασιλεὺς ἐν δαψιλείᾳ βασιλικῇ ἀξίως τῆς βασιλείας καὶ τοῦ πλούτου ἑαυτοῦ τὸ τοιοῦτον ποιεῖ ἄριστον.

Δοκεῖ δή μοι εὐγενῶν τινων ψυχῶν Ἰσραηλιτικῶν γεγονέναι ἡ προηγουμένη κλῆσις εἰς τοὺς γάμους. προηγουμενως γαρ διὰ τῶν καλούντων τῷ τῆς διδασκαλίας λόγῳ βούλεται ὁ θεὸς ἥκειν εἰς τὴν μακαρίαν ταύτην ἑστίαν τοὺς πρὸς σύνεσιν εὐφυεστέρους. καὶ ἔστιν ἰδεῖν ὅτι οὐ θέλουσιν οἱ τοιοῦτοι ἐλθεῖν εἰς τὴν κλῆσιν, καὶ διὰ τοῦτο ἀποστέλλονται ἄλλοι δοῦλοι προκαλούμενοι τοὺς μὴ θέλοντας ἐλθεῖν καὶ ἐπαγγελλόμενοι, εἰ ἔλθοιεν οἱ κεκλημένοι, μεταλήψεσθαι αὐτοὺς ἑτοιμασθέντος ὑπὸ τοῦ βασιλέως ἀρίστου, καὶ ταύρων τῶν ὡς ἐν καθαροῖς πόντων τῶν καθαρῶν μειζόνων, καὶ σεσιτευμένων τῇ ποικίλῃ κοὶ πολλῇ ἀποδείξει τῶν εἰς ἕκαστον πρόβλημα νοημάτων. οἱονεὶ γὰρ σιτιστὸν παρατίθησι λόγον ἢ διηρημένον καὶ ἐν τροπολογίᾳ λεγόμενον τεθυμένον ὁ τὴν περὶ τοῦ Προκειμένου προβλήματος ἀπόδειξιν πολλὴν φέρων καὶ πλήρη. ὡς εἰ καθ' ὑπόθεσιν) ὀλίγα τινὰ κοὶ ἀσθενῆ φέροιτο εἰς τὴν τῶν προβλημάτων ἀπόδειξιν κατὰ τὰ δοκοῦντα κατασκευάζειν αὐτά, εἶεν ἄν τὰ τεθυμένα λεπτά τινα καὶ ἰσχνὰ κοὶ (ἵν᾽ ὁμοίως ξηρὰ καὶ ἄσαρκα. ἀλλ' οὐ τοιαῦτα τὰ ἑτοιμασθέντα ἐν τῷ τοῦ βασιλέως ἀρίστῳ, ἐν ᾧ φησιν· οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, οὕτω δέ καὶ τὰ πάντα ἕτοιμα, ἵν' ἐν τῇ στάσει τῶν παίδων κοὶ τῇ λειτουργίᾳ τῶν πνευματικῶν οἰνοχόων ἕκαστος τῶν διακόνων φέρῃ εἰς τὸ ἄριστον τεταγμένος ἐκεῖνα μάλιστα, ἐν οἷς ἔμαθε διακονεῖσθαι. καὶ προτρεπόμενός γε τοὺς (ὡς εἶπον) κατὰ τὴν παραβολὴν δευτέρους, εἶπε τὸ ἰδοὺ τὸ ἄριστον ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα. καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γόμους.

23. Ἀλλ' οι προηγουμενως καλούμενοι ὡς πτωχοὶ καὶ ἄποροι τὸν νοῦν ἀμελήσαντες ἀπῆλθον, περιέποντες τὰ ἴδια καὶ εὐφραινόμενοι μᾶλλον ἐπ' αὐτοῖς ἢ οἷς ἐπηγγέλλετο διὰ τῶν ἀποσταλέντων δούλων ὁ βασιλεύς. καὶ ὅρα ὅτι ὁ μέν τις αὐτῶν ἔχων ἴδιον ἀγρὸν οὐκ ἦλθεν εἰς τοὺς γόμους, ὁ δὲ ἐμπορίαν Ι κεκτημένος μιμεῖσθαί πως θέλων τὰ λεγόμενα ἐν τῇ περὶ τοῦ ἐμπόρου τῶν μαργαριτῶν παραβολῇ, ζητοῦντος τοὺς »καλοὺς μαργαρίτας« κοὶ εὑρόντος »ἕνα πολύτιμον« καὶ ἀποδομένου τοὺς πολλούς, ἵνα ἀγοράσῃ τὸν ἕνα. πλὴν οὐκ αἴσιος ἡ ἐμπορία αὕτη, ἐφ' ἧν ἀπελθὼν ὁ κεκλημένος οὐ μετέλαβε τοῦ ἑτοιμασθέντος

τῷ βασιλεῖ ἀρίστου κοὶ τῶν τεθυμένων ταύρων κοὶ σιτιστῶν καὶ πάντων τῶν ἑτοίμων. ὅσοι μέν οὖν τῶν διορατικῶν κληθέντες οὐκ ἔρχονται εἰς τὴν κλῆσιν, οὐ μὴν καὶ τοὺς ἀποσταλέντας δούλους ἐπὶ τὸ καλεῖν ὑβρίζουσι καὶ ἀναιροῦσι, μετριώτεροί εἰσι τῶν ταῦτα τετολμηκότων καὶ ἀναπαύονται ὅς μέν εἰς τὸν ἔδιον ἀγρόν, ὅς δέ ἐπὶ τῇ ἐμπορίᾳ αὐτοῦ. οἱ δὲ εἰσί. δοκεῖ δή μοι ὅτι ἐκπεπτώκασιν οὗτοι ἐπὶ παρασκευὴν ἐρισικῶν καὶ σοφιστικῶν λόγων, ἐν οἷς κρατοῦντες τῶν ἀποστελλομένων δούλων οὐ παρεσκευασμένων μένων πρὸς τὸ λύειν σοφίσματα ἢ κρατεῖν δοκοῦντες. ὑβρίζουσι τοὺς διακονουμένους τῇ κλήσει. καὶ ἔστι γε ἰδεῖν τοὺς προσπεπονθότας τῇ ἀσκήσει τῶν θείων λόγων καὶ μετὰ τῆς θείας σοφίας βουλομένους αὐτοὺς πρεσβεύειν, ὑβριζομένους ὑπὸ τῶν διορατικῶν μὲν οὐ βουλομένων δέ πιστεύειν πιστεύειν τῇ ἀληθείᾳ· τινὰς δέ αὐτῶν καὶ ἀναιρουμένους ὑπ' ἐκείνων, οἷς ὁ βασιλεὺς ὀργισθῆναι λέγεται, ἐπειδὴ ἔφθασε ἡ« καλουμένη »ὀργὴ ἐπ' αὐτούς«.

Τό δέ ἔργον τῆς ὀργῆς ἐστι πεμφθῆναι τὸ στράτευμα τοῦ βασιλέως, ἤτοι τὸ πλῆθος τῆς οὐρανιου στρατιας« η τους τεταγμενους ἐπὶ τῶν κολάσεων ἀγγέλους· καὶ ἀναιροῦσί γε τοὺς φονεῖς τῶν διακόνων τοῦ λόγου καὶ πᾶσαν τὴν πόλιν αὐτῶν ἐμπίπρησιν ὁ βασιλεύς. οἱονεὶ γὰρ πόλις <ἀσεβῶν> σύστημα καθ' ἕκαστόν ἐστι τῶν συγκεκροτημένων ἐν τῇ σοφίᾳ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου« δογμάτων, ἣν ἐμπίρησιν ὁ βασιλεὺς κοὶ ἔξαφανίζειν, ὡς ἐκ μοχθηρῶν οἰκοδομημάτων συνεστηκυῖαν. καὶ ἐπάν ποτε κατανοήσῃς καθαίρεσιν εἴτε »ψευδωνύμου Ι γνώσεως» εἴτε ὁποιωνποτοῦν λόγων ἐπαγγελλομένων ἀλήθειαν, καὶ ἀνατροπὴν αὐτῶν γενναίαν, μὴ ὄκνει λέγειν τὸ τοιοῦτον γεγονέναι ὑπὸ τῶν στρατιωτῶν τοῦ θεοῦ ἐμπιπράντων τὰς τῶν ἐχθρῶν τῆς ἀληθείας <τοῦ θεοῦ> πόλεις. ἐνεπρήσθη μέντοι καὶ ἡ πόλις τῆς Ἰουδαϊκῆς διδασκαλίας μετὰ τὴν τοῦ Χριστοῦ ἐπιδημίαν, ἧς ἐμπρησθείσης εἶπε τοῖς δούλοις αὐτοῦ ὁ βασιλεὺς ἀποστόλοις ριστοῦ ἢ ἀγγέλοις θεοῦ τεταγμένοις ἐπὶ τῆς κλήσεως τῶν ἐθνῶν· ὁ μέν γάμος ἕτοιμος, οἱ δέ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους. κοὶ ἔστιν ἰδεῖν ἀπὸ πάσης ὁδοῦ ἰδιωτικῶν καὶ οὐκ ἰδιωτικῶν δογμάτων τῶν κατὰ τὰ ἔθη τῶν ἐθνῶν καὶ πόλεων καὶ κωμῶν κοὶ τόπων τοὺς καλουμένους εἰς τοὺς γάμους ἀπὸ τῶν προσταχθέντων τοῦτο ποιεῖν. ἐξελθόντες δέ οἱ δοῦλοι, εἴτε ἐπὸ τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ οἱ Χριστοῦ ἀπόστολοι, εἴτε ἀπὸ τῶν ἔνδον ὁρίων ἐν οἷς ἦσαν οἱ μακάριοι ἄγγελοι, καὶ ἐλθόντες εἰς τὰς ὁδοὺς καὶ συνήγαγον καὶ συνάξουσι πάντας οὕς ἐὰν εὕρωσι, πονηροὺς ***, ἵνα ἀποθέμενοι τὴν πονηρίαν τὸ τὸ ἀλλότριον τοῦ γόμου ἔν δυμα) καὶ ἐνδυσάμενοι μετὰ τῶν λεγομένων <ἔργων> ἀγαθῶν τὸ δυμα τοῦ γόμου πληρώσωσι τὴν τοῦ γόμου ἑστίαν ἑαυτῶν ἀνακειμένων.

Ἐπὰν οὖν πλησθῇ γάμος ἀνακειμένων καὶ προσαναπαυσαμένων τῇ πίστει καὶ τῇ θεοσβείᾳ, τότε εἰσελεύσεται ὁ βασιλεὺς ἐπιθεωρῆσαι καὶ κρῖναι περὶ τῶν ἀνακειμενων, ινα τον μεν ουκ εχοντα ἔνδυμα γόμου ἐλέγξας κολάσῃ, τοῖς δέ λοιποῖς τὸ ἡτοιμασμένον ἄριστον παραθῇ καὶ τὰ τεθυμένα σιτιστὰ μετὰ τῶν ταύρων καὶ τὰ λοιπὰ πάντα οσα ητοιμασεν. ἕνα δέ εἶδε τὸν ἐνδεδυμένον

ἐνδεδυμένον ἔνδυμα γόμου, εἰς ἕν γένος ἢ εἶδος ἀναφέρων τοὺς τὴν πρὸ τῆς πίστεως κακίαν τηρήσαντας καὶ μὴ ἀποδυσαμένους αὐτήν. κοὶ μέμφεταί γε τῷ τοιούτῳ, ὡς κακῶς ποιήσαντι κατὰ τὸ τετολμηκέναι εἰσελθεῖν εἰς τοὺς τοιούτους γόμους μὴ ἀναλαβόντι τὸ τοῦ γόμου ἔνδυμα, τὸ ὕφασμα τῆς ἀρετῆς, τὸ λαμπρὸν ἱμάτιον, περὶ οὗ Σολομῶν ἐν Ἐκκλησιαστῇ ἐνετείλατο λέγων· ἐν παντὶ κοιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκά. φιμοῦται δέ ὁ τολμήσας εἰσελθεῖν χωρὶς ἐνδύματος γόμου εἰς τὸν λαμπρὸν τοῦτον γόμον καὶ οὐ δύναται λέγειν· ὅστις ὡς ἄξιος κολάσεως καὶ κρίσεως καταδικάζεται ὑπὸ τοῦ εἰπόντος τοῖς διακόνοις ἄλλοις <ἄλλοις> τὰ στρατεύματα), ἵνα δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας οἷς οὐκ εἰς δέον ἐχρήσατο οὔτε γὰρ ἦν ἔδει πορείαν περιεπάτησεν οὔτε ἃς ἐχρῆν πράξεις ἐπετέλεσεν), ἐκβάλωσιν αὐτὸν οὐ μόνον ἔξω τῆς ἔστίας τοῦ γάμου ἀλλὰ καὶ εἰ <σβάλωσιν εἰ> τὸ ἐξώτερον σκότος καὶ πάντη φωτὸς ἀμιγές, ἵνα διψήσας φωτὸς μετὰ τὸ γεγονέναι ἐν σκότῳ τῷ ἐξωτέρῳ κλαύσῃ πρὸς τὸν δυνάμενον αὐτὸν εὐεργετῆσαι κἀκεῖθεν ῥύσασθαι θεόν, καὶ τοὺς ὀδόντος βρύξῃ τοὺς διὰ τὴν κακίαν φαγόντος τὸν ὅμφακα καὶ διὰ τοῦτο αἱμωδιάσαντας. τοῦ γὰρ φαγόντος τὸν ὅμφακα οἱ ὀδόντες« αἱμωδιάσουσιν · ὁμφακα δὲ κἀκεῖ νομιστέον λέγεσθαι τὴν κακίαν τοῦ μὴ ἐπιλανθανομένου τῶν »ὀπίσω« μηδ᾽> τοῖς ἐμπροσθ« ἀλλὰ παραμείναντος αὐτῇ, δέον ὁδεῦσαι ἐπὶ τὸ πέπειρον καὶ γλυκεῖαν ποιῆσαι τὴν τῆς ἀρετῆς σταφυλήν.

Ἐπιφέρει δὲ ὅλη τῇ παραβολῇ διὰ μέν τοὺς πολλοὺς τῶν κεκλημένων καὶ μὴ γενομένων ἀξίων τὸ πολλοὶ γάρ εἰσιν κλητοί, διὰ δὲ τοὺς εἰσελθότας εἰς τόν γόμον κοὶ ἀνακλιθέντας ἐκεῖ ὡς ὀλίγους τὸ ὀλίγοι δὲ ἐκλεκτοί. καὶ εἴ τίς γε κατανοήσαι τὰ πολυάνθρωπα ἀθροίσματα τῶν (ἵνα ἁπλούστερον ὀνομάσω) ἐκκλησιῶν καὶ ἐξετάσαι, πόσοι μέν οἱ βιοῦντες ἐπιεικέστερον καὶ μεταμορφούμενοι »τῇ ἀνακαινώσει τοῦ νοός«, πόσοι δὲ οἱ ῥᾳθυμότερον πολιτευόμενοι καὶ συσχηματιζόμενοι »τῷ αἰῶνι τούτῳ«, ἴδοι ἄν ὅτι χρήσιμός ἐστιν ἡ λέγουσα τοῦ σωτῆρος φωνή · πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δέ ἐκλεκτοί. Καὶ ἀλλαχοῦ λέλεκται· »πολλοῖ ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσι« καὶ »ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης, ὅτι ὀλίγοι εὑρίσκουσιν αὐτήν«.

Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ καὶ τὰ ἑξῆς εως του καὶ ἀφέντες αὐτὸν ἀπῆθον (Matth. 22, 15-22).

Τὸ βούλημα τῆς ἐκκειμένης λέξεως κατὰ τὸ ῥητὸν τοιοῦτον εἶναί μοι φαίνεται. Ἰουδαῖοι, ἅτε ἰδίαν ἔχοντες τὴν κατὰ τὸν Μωσέως νόμον διδασκαλίαν κοὶ πολιτείαν ἀπεξενωμένην τῆς τῶν ἐθνῶν ἀγωγῆς καὶ δόγμα ἔχοντες τὸ λέγον· »ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ κύριος πολεμήσει περὶ σοῦ«, ἀνθίσταντο τοῖς κρατοῦσιν αὐτῶν ἔθνεσιν ὑπέρ τοῦ μὴ παραβῆναι τὸν νόμον τοῦ θεοῦ. καὶ πολλάκις γε ἄρδην ἀπολέσθαι κεκινδυνεύκασιν ἐπὶ Ῥωμαίων βουλομένων ἀνδριάντα Κάισαρος εἰσαγαγεῖν εἰς τὸν νεὼν τοῦ θεοῦ, ἀνθιστάμενοι καὶ κωλύοντες τοὺς ἰσχυροτέρους αὐτῶν γενομένους ἐκ τοῦ ἡμαρτηκέναι Ἰουδαίους.

εὕρομεν δέ ἐκ τῶν κατὰ τὸν χρόνον Τιβερίου Καίσαρος ἱστοριῶν γραφάς, ὡς ὅρα ἐπὶ Ποντίου Πιλάτου ἐκινδύνευσεν ὁ λαός, τοῦ μέν Πιλάτου βιαζομένου ἀνδριάντα Καίσαρος ἀναθεῖναι ἐν τῷ ναῷ τῶν δὲ καὶ παρὰ δύναμιν κωλυόντων · τὸ δ’ ὅμοιον ἀναγέγραπται γεγονέναι καὶ κατὰ τοὺς χρόνους Γαΐου Καίσαρος. καὶ στοχαζόμεθα ὅτι, ὅσον μὲν ἀπεσκοπεῖτο ὁ λαὸς καὶ τὸν λεγόμενον κατὰ τοὺς προφήτας φραγμὸν περιτετείχιστο »ὁ ἀμπελὼν τοῦ γυρίου οἶκος Ἰσραήλ, καὶ τὸ ἠγαπημένον νεόφυτον αὐτοῦ ἄνθρωπος Ἰούδα«, οὐδὲν τηλικοῦτον ἐγένετο. τὸ παραδοξότατον δέ· αὐτὸς πρῶτος ἐτόλμησε μιᾶναι τὸν ναὸν τοῦ θεοῦ ὁ Πιλᾶτος, ᾧ παρέδωκαν τὸν Ἰησοῦν.

Καὶ κατὰ τὸν χρόνον οὖν τοῦ σωτῆρος, ἡνίκα φόρον ἐπετάχθησαν δοῦναι Ἰουδαῖοι Ῥωμαίοις, σκέψις καὶ βουλὴ ἦν ἐν Ἰουδαίοις περὶ τοῦ πότερον καθήκει τοὺς ἀνακειμένους τῷ θεῷ καὶ μερίδα ὄντος αὐτοῦ διδόναι φόρον τοῖς ἄρχουσιν ἢ ὑπὲρ ἐλευθερίας πολεμεῖν, εἰ μὴ συγχωροῖτο ζῆν ὡς βούλονται, καὶ μὴ διδόναι φόρον. καὶ ἱστόρηται ὅτι Ἰούδας μὲν ὁ Γαλιλαῖος, οὗ μέμνηται καὶ Λουκᾶς ἐν τοῖς τῶν ἀποστόλων Πράξεσιν, ἀποστήσας πολὺ πλῆθος Ἰουδαίων, ἐδίδασκε μὴ δεῖν διδόναι Καίσαρι φόρον μηδὲ γύριον ἀναγορεύειν τὸν Καίσαρα· ὁ δὲ κατὰ τὸν καιρὸν αὐτοῦ τετράρχης πείθειν ἐβούλετο τὸν λαὸν εἴκειν τῇ παρούσῃ κατατάσει κοὶ μὴ αὐθαίρετον αἱρεῖσθαι πρὸς ἰσχυροτέρους πόλεμον, διδόναι δέ τοὺς φόρους. καὶ ἡ προκειμένη δέ τοῦ εὐαγγελίου λέξις οὐ σαφῶς μέν <ἀλλὰ> ἐμφαίνει τὰ τοιαῦτα, δὲ δυναμένῳ βεβασανισμένως ὁρᾶν τό ἐκκείμενον ῥητὸν παρίστησι ταῦτα οὕτως ἔχειν. χώραν γὰρ οὐκ εἶχον <ἂν> Φαρισαῖοι βουλόμενοι ἐν λόγῳ τὸν Ἰησοῦν, ἀποστείλαντες ἑαυτῶν τοὺς μαθητὰς μετὰ τῶν Ἡρωδιανῶν πυθέσθαι τοῦ Ἰησοῦ, πότερον ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ, εἰ ὁμολο . γούμενον ἦν ὅτι οὐ δεῖ δοῦναι. καὶ εἰ συμπεφωνημένον ἦν τὸ > διδόναι.

Καὶ ὅρα εἰ μὴ δηλοῦται τὰ τῆς ἐκκειμένης ἱστορίας ἐκ τοῦ τοὺς βουλομένους παγιδεῦσαι ἐν λόγῳ τὸν Ἰησοῦν Φαρισαίους μὴ μόνους ἀπεσταλκέναι τοὺς μαθητὰς ἑαυτῶν πευσομένους περὶ τοῦ κήνσου, ἀλλὰ μετὰ τῶν Ἡρωδιανῶν. εἰκὸς γὰρ ὅτι ἐν τῷ λαῷ τότε οἱ μὲν διδάσκοντες τελεῖν τόν φόρον Καίσαρι ἐκαλοῦντο Ἡρωδιανοὶ ὑπὸ τῶν μὴ θελόντων τοῦτο γίνεσθαι· οἱ δὲ φαντασίᾳ ἐλευθερίας κωλύοντες διδόναι τόν φόρον τῷ Καίσαρι, ἐδόκουν εἶναι οἱ ἀκριβοῦντες τὰ Ἰουδαίων μαθήματα Φαρισαῖαι. εἰ δὲ μὴ βούλεταί τις ταῦθ’ οὕτως ἔχειν, δηλωσάτω πῶς βουλόμενοι αὐτὸν παγιδεῦσαι ἐν λόγῳ ἀποστέλλουσι τοὺς ἑαυτῶν μαθητὰς οἱ Φαρισαῖοι, ἀποστέλλουσι δέ καὶ τοὺς Ἡρωδιανοὺς πευσομένους περὶ τοῦ φόρου. ποία γὰρ παγὶς ἦν ἐν τῷ ἀποκρίνεσθαι τὸν Ἰησοῦν, εἴτε βούλεται κῆνσον δίδοσθαι Καίσαρι εἴτε μή, εἰ μὴ (ὡς ἀποδεδώκαμεν) κωλύοντος μὲν αὐτοῦ διδόναι κῆνσον Καίσαρι, ἔμελλον Ἡρωδιανοὶ παραδιδόναι αὐτὸν Ῥωμαίοις, ὡς ἀποστασίαν διδάσκοντα, ἐπιτρέποντος δέ οἱ Φαρισαῖοι ἔμελλον κατηγορεῖν τοῦ Ἰησοῦ ὡς βλέποντος εἰς πρόσωπον ἀνθρώπου μᾶλλον ἤπερ διδάσκοντος ἐν ἀληθείᾳ τὴν ὁδὸν τοῦ θεοῦ; βασάνισον δέ παρὰ σαυτῷ ὅτι οἱ τῶν Φαρισαίων μαθηταὶ λέγοντες · διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός, οὐ γὰρ βλέπεις εἰς πρόσωπον

ἀνθρώπου οἷον προκαλοῦνται αὐτὸν διὰ <τούτου> ἐπαίνου ἐπὶ τὸ μὴ λαβεῖν πρόσωπον τῶν Ἡρωδιανῶν καὶ τῶν οἳ ἐφρόνουν τὰ Καίσαρος, ἵνα ἀπφηνάμενος κατὰ τὸ βούλημα τῶν Φαρισαίων περὶ τοῦ μὴ δεῖν Καίσαρι διδόναι φόρον, ὑπαὐτῶν παραδαθῇ τοῖς Ἡρωδιανοῖς. ὅρα δὲ καὶ γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πανουργίαν αὐτῶν εἶπε· τί με πειράζετε, ὑποκριταί; οὐκοῦν ἤδει πειραζόμενος ὑπὸ τῶν Φαρισαίων μετὰ πανουργίας αὐτῷ προσερχομένων, ἵν’ ὅ τί ποτ’ ἄν ἀποκρίνηται ἐκ τῆς ἀποκρίσεως ἐπιβουλεύσωσιν αὐτῷ.

Ταῦτα μὲν οὖν ἐκ τοῦ προκειμένου εὐαγγελίου λελέχθω εἰς τὸν τόπον ὡς πρὸς τὴν λέξιν, οἷς συνᾴδει καὶ τὰ τοῦ Μάρκου καὶ τοῦ Λουκᾶ ῥητὰ περὶ τῶν ὁμοίων ὡς δυνατόν σοι παραθεμένῳ τὰ εὐαγγέλια καὶ συνεξετάζοντι αὐτὰ ἀλλήλοις ἰδεῖν · οὐκ ἄλλος γὰρ νοῦς ἐστι παρὰ τοῦτον εἰρημένος τῷ Ματθαίῳ περὶ τῶν κατὰ τὸν τόπον, καὶ παραπλησίως Ματθαίῳ παρὰ τῷ Μάρκῳ. ἅμα δέ καὶ διδασκόμεθα ἀπὸ τοῦ σωτῆρος ἡμῶν μὴ τοῖς ὑπὸ τῶν πολλῶν λεγομένοις καὶ διὰ τοῦτο ἐνδόξοις φαινομένοις προφάσει τῆς εἰς θεὸν εὐσεβείας προσέχειν, ἀλλὰ <τοῖς> ὑπὸ τῆς ἐξετάσεως τῆς ἀκολουθίας τοῦ λόγου παρισταμένοις. πρόσχες γὰρ ὅτι, ζητουμένου τοῦ εἰ δεῖ διδόναι Καίσαρι κῆνσον ἢ μή, οὐχ ἁπλῶς ἀπεφήνατο τὸ δοκοῦν ἑαυτῷ ἀλλὰ εἰπὼν ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου ἐπύθετο, τίνος ἡ εἰκὼν καὶ ἡ ἐπιγραφή, καὶ εἰποῦσιν ὅτι Καίσαρος , ἀπεκρίνατο ὅτι δεῖ ἀποδιδόναι τῷ Καίσαρι τὰ αὐτοῦ αἰτοῦντι καὶ μὴ ἀποστερεῖν αὐτὸν τῶν ἰδίων φαντασίᾳ θεοσεβίας· οὐ δήπου δὲ τὰ μέν Καίσαρος ἀποδιδόναι δεῖ τῷ Καίσαρι οὐχὶ δέ καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ, κοὶ οὐ κωλύεταί τις ἀποδιδοὺς Καίσαρι τὰ Καίσαρος ἀποδιδόναι τῷ θεῷ τὰ τοῦ θεοῦ.

Δύναται δέ τις τὰ κατὰ τὸν τόπον οὕτως τροπολογῆσαι. συνεστήκαμεν ἐκ ψυχῆς καὶ σώματος (ὑπερκείσθω δὲ νῦν λέγειν ὅτι καὶ πνεύματος) κοὶ ὀφείλομέν τινα διδόναι ωσπερει φορον σωματων αρχοντι λεγομένῳ Καίσαρι, τὰ ἀναγκαῖα τῷ σώματι, ἔχοντα τὴν εἰκόνα τοῦ τῶν σωμάτων ἄρχοντος σωματικήν· ταῦτα δέ ἐστι τροφὴ καὶ σκέπη καὶ ἀναγκαία διανάπαυσις καὶ ὕπνοι. καὶ ἄλλα ὀφείλομεν, ἐπεὶ ἡ ψτχὴ φύσει κατ’ εἰκόνα ἐστὶ θεοῦ, τῷ βασιλελῖ αὐτῆς θεῷ ἅπερ ἐστὶ συμφέροντα καὶ κατάλληλα τῇ τῆς φυχῆς φύσει καὶ οὐσίᾳ · ταῦτα δέ εἰσιν > αἱ ἐπ’ ἀρετὴν ἄγουσαι ὁδοὶ κοὶ αἱ κατ’ ἀρετὴν πράξεις. οἱ οὖν διδασκόμενοι τὸν νόμον τοῦ θεοῦ περὶ τῶν τοῦ σώματος πραγμάτων καὶ ὀφειλομένων αὐτῷ οὐ τὰ αὐτὰ δοξάζουσιν. οἱ μέν γὰρ τὸ ἀνάλογον ποιοῦσι τοῖς συμβουλεύουσι μὴ διδόναι κῆνσον Καίσαρι, ὅσηδύναμις δύναμις νηστείαις καὶ ἀγρυπνίαις κακοῦντες τὸ σῶμα καὶ ἀποχῇ πάση τῇ διὰ τὸ σῶμα κοὶ τὰς ἀναγκαίας αὐτοῦ πράξεις. ἕτεροι δέ παρὰ τούτους εἰσίν, οἵ ἀτρανώτως μέν διαλαμβάνουσι περὶ τῶν κατὰ τὸν τόπον, φαντάζονται δέ ὅτι καὶ τῷ σώματι διδόναι τὰς ὀφειλάς. ἀλλ’ ὁ σωτὴρ ἡμῶν ὁ λόγος τοῦ θεοῦ«, τρανῶς χωρίζων τὰς εὐλόγους τῷ σώματι ὀφειλὰς ἀπὸ τῶν <πνευματικῶν> ὀφειλῶν τῆς φησιν· ἀπόδοτε τὰ Καίσρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ· εἰκόνα γὰρ ἔχει Καίσαρος καὶ σωματικῶν πραγμάτων ὁ φόρος, ὅν μόνον καὶ οὐδὲν πλέον αὖτοῦ ὀφείλομεν τῷ σώματι.

Οἶδα δέ καὶ ἄλλην εἰς τὸν τόπον τοιαύτην φερομένην διήγησιν. ὁ μέν ἄρχων τοῦ αἰῶνος τούτου ἐν τροπολογίᾳ καλεῖται Καῖσαρ· ὁ δὲ <πάντων> τῶν αἰώνων ἐν οὐδενὶ συμβόλῳ τυγχάνων θεὸς πανταχοῦ ὀνομάζεται. ἐπεὶ τοίνυν ἔχομέν τινα τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου. τουτέστι τὰ κατὰ κακίαν, καὶ οὐ πρότερον δυνάμεθα ἀποδιδόναι τὰ τοῦθεοῦ τῷ θεῷ, ἐὰν μὴ ἀποδῶμεν, ἀποθέμενοι πάντα τὰ τῆς κακίας, τῷ Καίσαρι τὰ τοῦ Καίσαρος , διὰ τοῦτο ὁ σωτὴρ ἐπιδειχθέντος τοῦ νομίσματος καὶ τῆς ἐν αὐτῷ εἰκόνος φησίν· ἀπόδοτε τὰ Καίσαρος τῷ Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῶ θεῶ. κοὶ τοῦτο δέ κατὰ τὸν τόπον σκοπήσωμεν ὅτι, ἐόν ποτε πειραζόμενοι ὑπὸ τῶν ζητούντων ἀφορμάς, προτεινόντων προβλήματά <τινα> οὐχ ἵνα μάθωσιν ἀλλ’ δύναμις ἡμῶν κατηγορήσωστιν, ἀκούωμεν λόγους πειραστικοὺς ἡμῶν, οὔτε πάντη σιωπᾶν ὀφείλομεν οὔτε ὡς ἔτυχεν ἀποκρίνασθαι, ἀλλὰ περιεσκεμμένως καὶ μετὰ περισκέψεως, εἰς τὸ (ὅση δύναμις) ἀφορμὰς »τῶν θελόντων« ἀφορμάς, καὶ διδάσκειν ἀνεπιλήπτως τὰ σῴζοντα τοὺς βουλομένους ἐν τῷ ἀκούειν σῴζεσθαι. δύνανται δέ οἱ μέν Φαρισαῖοι λαμβάνεσθαι εἰς τοὺς διδασκάλους τῶν διαφόρων Ἰουδαϊκῶν παραδόσεων, οἱ δὲ Ἡρωδιανοὶ εἰς τὸν νομιζόμενον παρὰ τοῖς πολλοῖς βασιλικὸν Ἰουδαίων τῶν οὕτως ἁπλούστερον λεγομένων λόγον. ἀφ’ ἑκατέρων οὖν πυνθάνονται τοῦ σωτῆρος τὰ περὶ τοῦ κήνσου. ὁ δὲ αὐτοῖς ἀποκρίνεται, ὡς ἀποδεδώκαμεν· πλὴν ἐπεὶ οὐ μαθεῖν βούλονται ἐκ τοῦ ἐρωτᾶν αὐτόν, ἀλλὰ παγιδεῦσαι ἐν λόγῳ καὶ πειράζειν αὐτόν, διὰ τοῦτο ἀκούσαντες τὰ δοκοῦντα αὐτῷ πρὸς τὸ πύσμα αὐτῶν καὶ θαυμάσαντες, ὅτι μὴ ἔδωκεν αὐτοῖος ἀφορμὰς τοῦ αὐτῷ ἐπιβουλεύειν οὐκ ἔμειναν μέν παρ’ αὐτῷ, ὡς οἱ μαθηταί, οὐδέ ἁπλῶς ἀπῆλθον, ὡς περὶ ἄλλων γέγραπται, ἀφέντες δὲ αὐτὸν ἀπῆλθον. καὶ τοιοῦτοί γέ εἰσιν οἱ ἀφιέντες τὸν λόγον καὶ ἀπιστοῦντες αὐτῷ καὶ ἀπιόντες ἀπ’ αὐτοῦ μετὰ τὸ ἀκοῦσαι αὐτοῦ. καὶ οὐχ ἁμαρτήσει λέγων περὶ τῶν μετὰ τὸ ἀκοῦσαι ἀποστάντων καὶ τοῦ ἀκούειν, ὅτι οἱ τοιοῦτοι ἀφέντες τὸν Ἰησοῦν ἀπῆλθον· ἡμεῖς δὲ ἐροῦμεν τὸ τῆς νύμφης · »ἐκράτησαι αὐτόν, καὶ οὐκ ἀφῆκα αὐτόν«.

Ἐν ἐκείνη τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι λέγοντες μὴ εἶναι ἀνάστασιν καὶ τὰ ἑξῆς, ἕως τοῦ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. (Matth. 23 — 33). τὰ δὲ ἰσοδυναμοῦντα τούτοις ἢ τὰ αὐτὰ αὐτοῖς εἴρηται κοὶ παρὰ τῷ Μάρκῳ καὶ τῷ Λουκᾷ ἐν ἄλλαις κατ’ ὀλίγα λέξεσιν.

Ἐν ἐκείνη τῇ ἡμέρᾳ· ποίᾳ ἢ ὅτε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ’ αὐτοῦ ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ«, καὶ πυνθάνονται τὰ περὶ τοῦ κήνσου; εἰκὸς γὰρ ὅτι, ἀποκριναμένου τοῦ σωτῆρος ἡμῶν περὶ τοῦ κήνσου, καὶ εἰπόντος· »ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ«, καὶ θαυμασάντων > τὴν ἀπόκρισιν αὐτοῦ, ᾠήθησαν οἱ Σαδδο υκαῖοι, εἰδότες αὐτοῦ τὰς συνετὰς ἀποκρίσεις, ἤτοι αὐτοὶ διὰ τῆς ἐπαπορήσεως παραστήσειν ἑαυτοὺς κρείττονα λόγον ἔχοντας, μὴ εἶναι λέγοντας ἀνάστασιν τῶν ἐλπιζόντων αὐτήν, ἢ τάχα καὶ μαθήσεσθαι, πῶς δύναται εἶναι ἀνάστασις κατὰ τὴν Μωσέως γραφὴν καὶ ποῖος ὁ βίος ἔσται τῶν ἀναστησομένων. παρατήρει δὲ ὅτι σχεδὸν πᾶσα ἡ τοῦ καιροῦ τούτου τοῦ σωτῆρος ἡμῶν διδασκαλία πρὸς πεύσεις ἐγίνετο. κοὶ

πρῶτόν γε ἐλθόντος αὐτοῦ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες · ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς ἔδωκέ σοι τὴν ἐξουσίαν ταύτην;« πρὸς οὕς ἀντερωτήσας τὰ περὶ Ἰωάννου ἐδοξεν εὐλόγως παρῃτῆσθαι τὴν πρὸς τὸ βούλημα αὐτῶν ἀπόκρισιν. εἶτα μετὰ τοῦτο λέγει παραβολὴν τὴν περὶ τῶν δύο τέκνων, τοῦ τε > ὑποσχομένου ἐργάσασθαι ἐν »ἐν ἀμπελῶνι« καὶ [μὴ] ἐργασαμένου, κοὶ ἐπαγγειλαμένου μὲν μὴ ἐργασαμένου δέ. εἶτα μετὰ ταῦτα λέγει τὴν περὶ τοῦ ἀμπελῶνος παραβολὴν καὶ τῶν ἀποκτεινάντων γεωργῶν τοὺς δούλους καὶ τὸν υἱόν, καὶ τὰ ἑξῆς τούτων περὶ τῶν εἰς τοὺς γόμους κλητῶν ἄλλην παραβολήν. καὶ μετὰ τοῦτο δευτέραν πεῦσιν τὴν περὶ τοῦ κήνσου ἀνέγραψεν ὁ Ματθαῖος, καὶ τρίτην τὴν τῶν Σαδδουκαίων περὶ ἀναστάσεως ἐπαπόρησιν. ἀλλὰ καὶ τετάρτη μετὰ ταύτην ἐπερώτησις γεγένηται ἀπό τινος Φαρισαίου πειράζοντος ἀυτὸν περὶ τοῦ · ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ ;« τοσούτων δὲ ἐρωτήσεων προσαγομένων αὐτῷ καὶ αὐτὸς »συνηγμένων τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς« τὰ περὶ τοῦ Χριστοῦ«.

Οἱ Σαδδουκαῖοι μέντοι μέντοι λέγοντες μὴ εἶναι ἀνάστασιν, οὐ <μόνον> τὴν ἐν τῇ συνηθείᾳ τῶν ὀνομαζομένην ἀνάστασιν σαρκὸς ἠθέτουν, ἀλλὰ καὶ παντελῶς ἀνῄρουν τὴν τῆς τῆς οὐ μόνον ἀθανασίαν ἀλλὰ καὶ ἐπιδιαμονήν, οἰόμενοι μηδαμοῦ ἐν τοῖς Μωσέως γράμμασι σημαίνεσθαι τὴν τῆς ψυχῆς μετὰ ταῦτα ζωήν. τὸ δὲ αὐτὸ τοῖς Σαδδουκαίοις δόγμα περὶ τῆς τῶν ἀνθρώπων ψυχῆς φρονοῦσι μέχρι τοῦ δεῦρο Σαμαρεῖς καὶ οἱ δοκοῦντες ἐξ ἀυτῶν εἶναι νομομαθεῖς καὶ ἕως θανάτου ἀγωνιζόμενοι περὶ τοῦ Μωσέως νόμου καὶ τῆς περιτομῆς. τοῦτο δὲ τό περὶ ἀναστάσεως σημαινόμενον λέγω δέ τὸ παρὰ Σαδδουκαίοις καὶ Σαμαρεῦσιν, <τοῖς> ἀθετοῦσι τὴν τῆς ψυχῆς τοῦτο ζωήν) νοοῦντές τινες <καὶ> τῶν κατὰ τοῦ ἀποστόλου χρόνον Κορινθίων ἐδογμάτιζον μὴ εἶναι ἀνάστασιν, περὶ ὧν ταῦτα γράφει· »εἰ δὲ Χριστὸς κηρύσσεται ἐκ νεκρῶν ὅτι ἐγήγερται, πῶς λέγουσιν ἐν ὑμῖν τινες ὅτι ἀνάστατσις νεκρῶν οὐκ ἔστιν ;« ὅτι δὲ οἱ ἐν Κορίνθῳ λέγοντες μὴ εἶναι ἀνάστασιν νεκρῶν κατὰ τὸ Σαδδουκαίων σημαινόμενον ἠθέτουν τὴν ἀνάστασιν] τὴν ἐπιδιαμονὴν τῆς ψυχῆς, δῆλον ποιεῖ ἐκ τοῦ »εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν«. ὅπερ ἐπιμελῶς ἐξετάσας ὄψει ὅτι ὁ μέν ἀθετῶν τὴν ἐν τῇ ἐκκλησίᾳ πεπιστευμένην ἀνάστασιν νεκρῶν, κἄν ψευδόμενος ἀθετῇ, οὐ πάντως ἐν »τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ« ἠλπικώς ἐστι »μόνον«. Christo «; ἵνα γὰρ καθ’ ὑπόθεσιν μὴ ᾖ ἀληθὴς ἡ πεπιστευμένη παρὰ τοῖς πολλοῖς ἀνάστασις, οὐκ »ἐν ταύτῃ τῇ ζωῇ« ἤλπικε »μόνον« »ἐν Χριστῷ« ὁ ἐκείνην ἀθετῶν ζώσης τῆς ψυχῆς, οὐκ ἐκεῖνο μὲν ἀπολαμβανούσης τὸ σῶμα ἐνδυομένης δὲ αἰθέριόν τι καὶ κρεῖττον. ἀλλ’ οὐδὲ »ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν«, εἰ τὴν μὲν ψυχὴν λέγοιμεν ζῆν καὶ ὑπάρχειν, τὸ δὲ σῶμα τοῦτο μὴ περιτιθεῖμεν αὐτῇ μηδὲ λέγοιμεν ἀπολαμβάωειν αὐτό. Ἔτι δὲ εἰς κατασκευὴν τοῦ πρὸς τὸ σημαινόμενον τοῦτο μάλιστα ἵστασθαι τὸν ἀπόστολον ἐν τῇ πρὸς Κορινθίους προτέρᾳ συγχρησόμεθα καὶ τῷ εἰ ὅλως νεκροὶ οὐκ ἐγείροντια, τί καὶ βαπτίζονται ὑπέρ αὐτῶν ; τί καὶ ἡμεῖς κινδυνεύομεν πᾶσαν ὥραν ;« καὶ τῷ »εἰ κατὰ ἀνθρωπον ἐθρηιομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; εἰ

νεκροὶ οὐκ ἐγείρονται, φάγωμεν κοὶ πίωμεν, αὔριον γὰρ ἀποθνῄσκομεν«. ἔστω γὰρ τὸ νομισθὲν παρὰ τοῖς πολλοῖς ἀληθὲς εἶναι μὴ εἶναι ἀληθὲς τὸ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, πῶς τούτῳ ἀκολουθεῖ τὸ μάτην ἡμᾶς κινδυνεύειν ὑπὲρ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν ἀγωνιζομένους ; πῶς δὲ οὐδὲν ὄφελος τῷ διὰ Χριστὸν θηριομαχήσαντι *** οἰκονομουμένῃ κατ' ἀξίαν, τό δὲ πρότερον σῶμα μὴ ἀπολαμβάνοι; πῶς δὲ ἀκολουθεῖ τῷ μὴ εἶναι σαρκὸς ἀνάστασιν τὸ »φάγωμεν καὶ πίωμεν αὔριον γὰρ ἀποθνῄσκομεν«; οὐ ταῦτα δέ φαμεν ἀπιστοῦντες τῷ ἐν Ἡσαΐᾳ γεγραμμένῳ τοῦτον τὸν τρόΠον · »ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ« ἢ τῷ ὑπὸ τοῦ Ἰὼβ λεγομένῳ · »ὅτι ἀέννaός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ τῆς γῆς, καὶ ἀναστῆσαι στῆσαι τὸ δέρμα μου τὸ ἀνατλοῦν ταῦτα«. οὐκ ἀπιστοῦμεν δὲ οὐδὲ τῇ ἀποστολικῇ φωνῇ λεγούσῃ · »ζῳοποιήσει τὰ θνητὰ ὑμῶν σώματα διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν«. ἀλλ' ὅση δύναμις καθαίρωμεν τὸ ἐν τῇ ἐκκειμένη λέξει τοῦ εὐαγγελίου σημαινόμενον ἀπὸ τῆς ἀνάστασις φωνῆς, διὸ παρεθέμετθα καὶ τὰ ἀπὸ τῆς προτέρας πρὸς Κορινθίους ῥητά.

Προσῆλθον οὖν τῷ Ἰησοῦ Σαδδουκαῖοι, οἵτινες ἔλεγον μὴ εἶναι ἀνάστασιν, ἀνάστασιν δέ τὴν (ὡς ἀποδεδώκαμεν) κατ' κοὶ ἐπηρώτησαν ἡμῶν τὸν κύριον λέγοντες· Μωσῆς εἶπεν· ἐόν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. 30. ἄξιον οὖν εἰς τοῦτό μοι δοκεῖ παραθέσθαι τὴν Μωσέως λέξιν, εἰς ἣν ἀνέφερον Σαδδουκαῖοι τὰ ἐν τῷ εὐαγγελίῳ γεγραμμένα ὑπ' αὐτῶν εἰρῆσθαι. ἔχει οὖν οὕτως ἐν τῷ Δευτερονομίῳ τὸ ῥητόν · »ἐὰν δὲ κατοικήσωσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτό, καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν« καὶ τὰ ἑξῆς εως του »οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«. τούτου δὴ τοῦ ῥητοῦ οἱ Σαδδουκαῖοι, ὡς τὴν ἐλπίδα τῆς ἀναστάσεως μὴ ἔχοντες, φαύλως ἀκούσαντες κοὶ μηδέν θεοῦ ἄξιον ἐνθυμηθέντες εἰς τὸν ἐκκείμενον νόμον, ᾠήθησαν ἀκολουθεῖν τῷ εἶναι ἀνάστασιν τὸ καὶ τὸν ἄνδρα ἄνδρα πόλιν ἔσεσθαι ἀνατάντα ἄρρενα μόρια ἔχοντα, καὶ τὴν γυναῖκα γυναῖκα ἀναστήσεσθαι σῶμα γυναικεῖον περικειμένην. καὶ ταπεινῶς ὑπολαμβάνοντες λέγεσθαι τὰ περὶ ἀναστάσεως ἐκ τοῦ ταῦτα αὐτοῖς νομίζειν ἀκολουθεῖν, πλάσαντές τινα μῦθον τὸν περὶ ἑπτὰ ἀδελφῶν γαμησάντων μίαν γυναῖκα, ἐΠηπόρουν τίνος ἂν γένοιτο γυνὴ τοιαύτη ἀναστᾶσα, φθάσασα ἅπαξ ἑπτὰ χρηματίσαι ἀνσρῶν γυνή. ἐδύνοντο δὲ καὶ χωρὶς τοῦ τοιούτου πλάσματος ἐπαπορῆσαι ἐκ τῶν πολυγάμων γυναικῶν, τάχα δέ κοὶ πολυγάμων ἀνδρῶν. καὶ ὁ σωτὴρ ἡμῶν ἀποκρινόμενος αὐτοῖς τὸ μὲν βούλημα τοῦ κατὰ Μωσέα νόμου οὐ διηγήσατο, ὡς οὐκ ἀξίοις γνώσεως τηλικούτου μυστηρίου· μόνον δὲ ἀπ<λῶς ἀπ> εφήνατο λέγων καὶ τὰς θείας γραφὰς ἀπαγγέλλειν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως ὅτι ἐκεὶ μή εἰσι γόμοι, ἀλλὰ γίνονται οἱ ἐκ νεκρῶν ἀνιστάμενοι ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι, καὶ ὥσπερ οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι οὔτε γαμοῦσιν οὔτε γαμοῦνται, οὕτω (φησὶ) κοὶ οἱ ἀπὸ τῶν νεκρῶν. ἐγὼ δ' οἶμοι διὰ τούτων δηλοῦσθαι ὅτι οὐ μόνον κατὰ τὸ μὴ γαμεῖν καὶ τὸ μὴ γαμεῖσθαι ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι γίνονται οἱ καταξιούμενοι τῆς ἐκ νεκρῶν ἀναστάσεως, ἀλλὰ καὶ κατὰ τὸ μετασχηματιζόμενα αὐτῶν τὰ σώματα»

τῆς ταπεινώσεως« γίνεσθαι τοιαῦτα, ὁποῖά ἐστι τὰ τῶν ἀγγέλων σώματα, αἰθέρια καὶ αὐγοειδὲς φῶς.

Ξενίζον δέ τι τοὺς πολλοὺς τῶν πιστευόντων δόγμα ζητήσαι τις ἄν, τάχα μὲν καὶ πολλαχόθεν σαφῶς δ’ ὅτι καὶ ἐντεῦθεν ἐπαπορῶν, εἰ ὥσπερ εἰσὶν οἱ ἀνιστάμενοι ἐκ νεκρῶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ καὶ τάγμα τι ἀγγέλων, μεταβάλλοντες ἐξ ἀνθρώπων, οὕτως καὶ ἄλλοι ἐν τῷ οὐρανῷ ἄγγελοι, ἄνθρωποί ποτε ὄντες καὶ καλῶς ἀγωνισάμενοι ἐν ἀνθρώπου σώματι, γεγόνασιν ἐν τῷ οὐρανῷ ἄγγελοι ὥς τινες ἕτεροι πρὸ αὐτῶν. ὁ δέ τὸ ξενίζον τοῦτο δόγμα ζητῶν ἐκ τῆς προκειμένης λέξεως, τάχα δὲ καὶ ἀλλαχόθεν, ὁράτω περιαθρήσας ὅλην τήν τε γραφὴν καὶ τὴν ἀκολουθίαν τῶν πραγμάτων, κοὶ τί ἔπεται τῷ ταῦτα τιθέντι, <καὶ> σκοπείτω εἰ χρὴ παραδέξασθαι τοιοῦτον λόγον ᾧ ἔπεται τοιαῦτα ἄτινα δηλοῦται ἐκ τοῦ »ἀγγέλους κρινοῦμεν« καὶ τοῦ »εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι«. εἰ δέ καὶ τὴν Ἰούδα προσοῖτό τις ἐπιστολήν, ὁράτω τί ἔπεται τῷ λόγῳ διὰ τὸ »ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν ἀλλὰ ἀπολιπότας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν«. ὁράτω δὲ ὁ τὰ τοιαῦτα τολμῶν ζητεῖν, πῶς αὐτῶν δεῖ ἀκούειν τῶν ἐν Γενέσει γεγραμμένων ὅτι »ἰδόντες οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς εἰς γυναῖκας ἀπὸ πασῶν ὧν ἐξελέξαντο«. σαφῶς δὲ τὰ κατὰ τὸν τόπον ἐπαπορῆσαι καὶ τὴν ἀκολουθίαν αὐτῶν ἐπισκοπῆσαι καὶ χάρτῃ πιστεῦδαι τὴν τῶν τηλικούτων σαφήνειαν, μήποτε οὐκ ἀσφαλὲς ᾖ· ἀρκεῖ γὰρ καὶ ἐπὶ τοῖς εἰρημένοις ἡμᾶς ἐπὶ τοσοῦτον παρακεκινδυνευκέναι.

Οὐκ ἄκαιρον δέ νομίζω ἅπαξ ἐκθεμένους τὴν λέξιν τοῦ νόμου ἀπὸ τοῦ Δευτερονομίου, ἰδεῖν ὁποῖόν γέ ἐστιν αὐτοῦ τὸ βούλημα. ζητητέον οὖν ἐν αὐτῷ τίς ἡ μία γυνὴ καὶ τίνες οἱ δύο ἄνδρες οἱ ἀλλήλων ἀδελφοί, <ὧν> πρότερον γαμῶν ὁ ἕτερός <ἐστι> τὴν οὐ καρποφορῶν δέ ἐξ αὐτῆς, δεύτερον δέ γαμῶν ὁ τοῦ τεθνηκότος ἀδελφὸς καὶ γεννῶν παιδίον ἐξ ὀνόματος τοῦ τετελευτηκότος. καὶ μετὰ ταῦτα ζητήσεις τίς ἐστιν ὁ μὴ βουλόμενος »λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἑαυτοῦ« καὶ διὰ τοῦτο ἐναντίον τῆς γερουσίας« ὑπολυόμενος »τὸ ἔν ὑπόδημα« καὶ ἐμπτυόμενος εἰς τὸ πρόσωπον« ὑπὸ τῆς γυναικὸς καὶ ἀναβάσης »ἐπὶ τὴν πύλην« κοὶ λεγούσης · »οὐ θέλει ὁ ἀδελφὸς τοῦ ἀνδρός μου ἀνασῆςσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ«. ζητηθείη δ’ ἄν ἐν τῷ τόπῳ καἰ τίς ἡ γερουσία καὶ ἡ πύλη ἐφ’ ἧν ἀναβαίωει »ἡ γυνὴ« λέγουσα τὰ γεγραμμένα. ὅτι μὲν οὖν σεμνόν τι εἶναι καὶ αἰδοῦς ἄξιον χρὴ πεπεῖσθαι πάντα νόμον ἐπαγγελλόμενον εἶναι θεοῦ ἢ μὴ ὄντα σεμνὸν μὴ εἶναι νόμον θεοῦ, πᾶς ὁ μὴ πάντη ἀσύνετος ὁμολογήσαι ἄν · εἰ δὲ εὑρίσκομεν ἡμεῖς τὸ τοῦ νόμου τούτου σεμνὸν καὶ αἰδέσιμον ἢ μή, πρῶτον μὲν ὁ θεὸς ἄν εἰδείη καὶ ὁ Χριστὸς αὐτοῦ, μετὰ δὲ ταῦτα καὶ ὁ κατὰ τὴν γραφὴν ὀνομαζόμενος δόκιμος τραπεζίτης καὶ εἰδὸ)ς »πάντα« δοκιμάζειν τὸ μὲν »καλὸν« κατέχειν, ἀπέχεσθαι δὲ παντὸς εἴδους πονηροῦ«. φέρε οὖν τό προκείμενον πρόβλημα νομικὸν διηγήσασθαι θέλοντες, ἐπικαλσάμενοι τὸν εἰπόντα · »φυέγξομαι προβλήματα ἀπ’ ἀρχῆς«, εἴπωμεν »καλὸν« μέν εἰ

<κατέχομεν> τὰ ὑπ’ αὐτοῦ διδόμενα, εἰ δέ μή γε τὰ ὑποπίπιοντα ἡμῖν εἰς τὸν τόπον · κρινεῖ δέ ὁ ἐντυγχάνων τοῖς λεχθησομένος.

Δοκεῖ δή μοι κατὰ μίαν διήγησιν γυνὴ εἶναι ἡ τοῦ ἀυθρώπου ψυχη, γαμουμενη προτερον μὲν τῳ τοῦ νόμου γράμματι καὶ μὴ τεκνοῦσα ἐξ αὐτοῦ, δεύτερον δὲ τῷ πνευματικῷ νόμῳ καὶ ἀπὸ τούτου καρποφορῦσα καὶ γεννῶνσα καὶ μὴ ἀφισταμένη ἐν τῷ γεγεννημένῳ τῆς Πρὸς τὸν ἀποθανόντα αὐτῇ νόμον γράμματος τιμῆς. καὶ τάχα ἑκάστη ἡ ἐσομένη μακαρία ψυχὴ καὶ τροπικῶς <λεγομένη> γυνὴ πάντως πρότερον κατὰ τὰς εἰσαγωγὰς τῷ τοῦ νόμου γράμματι, ὃς ἀποθνῄσκει προκοπτούσης τῆς γυναικὸς ψυχῆς, ἵν’ αὐτὴ τοῦ σεμνοτέρου καὶ τεκνοποιοῦ ἐπιτύχῃ γόμου, ὅτε »σωθήσεται διὰ τῆς τεκνογονίς«, ἐπὰν τὰ τέκνα μείνῃ ἐν πίστει καὶ ἀγάπῃ κοὶ ἁγιασμῷ μετὰ σωφροσύνης«, νης«, οὐ σωθησομένη πρὸ τῆς τεκνογονίας ἢ χωρὶς αὐτῆς. τέκνα δὲ τῆς γυναικὸς ταύτης ψυχῆς ψυχῆς ἀπὸ τοῦ δευτέρου ἀνδρός, τοῦ πνεευματικοῦ νόμου, τὰ κατ’ αὐτόν ἐστιν ἔργα. ἀδελφοὶ δὴ <δύο> καὶ μιᾶς διανοίας γεννώμενοι οἱ νόμοι * * *, οἵτινες ἀεὶ κατοικοῦσιν »ἐπὶ τὸ αὐτό«· οὐ γὰρ κεχώρισται ὁ οἶκος αὐτῶν ἀπ’ ἀλλήλων, ἀλλ’ »ἀδελφοί« εἰσι κοὶ ἀμφότεραι αἱ ἐκδοχαὶ ὡς ἐν οἴκῳ ἑνὶ τῷ περιέχοντι αὐτοὺς γράμματι. καὶ ὅρα εἰ μὴ τοῦτο δηλοῦσθαι δύναται ἐκ τοῦ »ἄν δέ κατοικῶσιν ἀδελφοὶ ἐπὶ τό αὐτό«. εἶτα ἑξῆς ἐστι · κοὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ ᾖ αὐτῷ«, ἅ κατὰ δύναμιν διηγησάμην. ἴδωμεν δέ καὶ τὸ οὐκ ἔσται ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι«, καὶ τίς μὲν γυνὴ ψυχὴ παραβαίνει τοῦτον τὸν νόμον τίς δὲ τηρεῖ. ὡς ἐν τοιούτοις δὴ τόποις ὑπολαμβάνω μετὰ τὸν θάνατον τῆς κατὰ τὸ γράμμα ἐκδοχῆς τοῦ νόμου καὶ τὴν ἀνατροπὴν αὐτῆς τὴν μέν τινα ψυχὴν ποιοῦσαν παρὰ τὴν θείαν ἐντολήν, γυναῖκα πρότερον γενομένην τοῦ τεθνηκότος καὶ ἐκείνῳ πιστεύσασαν, ἐΜ πάντη γίνεσθαι τοῦ νόμου »ἀνδρὶ μὴ ἐγγίζοντι«, ὅτε παραδέχεται λόγον αὐτὸν <μὴ> *** τῇ ἐκδοχῇ τοῦ γράμματος, ἀλλὰ πάντη ἀλλότριον (τοιαῦται δέ εἰσιν αἱ τῶν ἑτεροδόξων ψυχαί, αἷς καὶ ἡ ἐγδοχὴ τοῦ κατὰ τὸν νόμον γράμματος ἐτελεύτα, καὶ οὐκ ἐβουλήθησαν τῷ <ἀεὶ> »ἐπὶ τὸ αὐτὰ« ἐκείνῳ οἰκοῦντι γαμηθῆναι πνευματικῷ νόμῳ, ἀλλά τινι »ἔξω« ἀμφοτέρων τούτων λόγῳ καὶ μηδαμῶς»ἐγγίζοντι«κοινωνῆσαι). ἑτέραν δὲ ψυχὴν γυναῖγα εἶναι τὴν κατὰ θεὸν βιοῦσαν ἀποθανόντος καὶ ἀνατραπέντος τοῦ προτέρου ἀνδρός, οὐ βουλομένην »ἔξω« γενέσθαι καὶ »ἀνδρὶ μὴ ἐγγίζοντι«, ἀλλὰ γαμουμένην τῷ ἀδελφῷ τοῦ τετελευτηκότοσ καὶ »ἐπὶ τὸ αὐτὸ« αὐτῷ οἰκήσαντι, ὅτε »ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσερχεται πρὸς αὐτὴν« καὶ γίνεται ἔνδον τῆς ψυχῆς αὐτῆς καὶ λαμβάνει »αὐτὴν ἑαυτῷ εἰς γυναῖκα« καὶ συνοικεῖ αὐτῇ τῇ ψυχῇ ἐπὶ μακαρισμῷ αὐτῆς, ἅτε κατὰ τὸ βούλημα τοῦ θεοῦ γαμουμένης τῷ δευτέρῳ καὶ πνευματικῷ νόμῳ. »τὸ δὲ παιδίον ὃ ἐὰν τέκῃ« καὶ γεννήσῃ ἡ συνοικήσασα τῷ δευτέρῳ καὶ πνευματικῷ ἀδελφῷ ψυχὴ γυνή. καθίσταται »ἐκ τοῦ ὀνόματος« τοῦ ἀδελφοῦ αὐτοῦ »τοῦ τετελευτηκότος«, τος«, καὶ γίνεται οὐκ ἐκ τοῦ προτέρου μὲν ὁμώνυμος δὲ τῷ προτέρῳ· ὄνομα γὰρ τῷ γεννήματι ἐκ τοῦ πνευματικοῦ νόμου ἐσιὶ τὸ ὄνομα τοῦ τετελευτηκότος, ἐπεὶ κἀκεῖνος ἐκαλεῖτο νόμος νόμος θεοῦ,

καὶ οὐ χρή γε ἐξαλείφεσθαι ἀπὸ τοῦ διορατικοῦ καὶ ἀληθῶς Ἰσραὴλ »τὸ ὄνομα« τοῦ ἀποθανόντος ἀνδρός, κἂν αὐτὸς ἐξαλειφθῇ.

Ταῦτα μέν οὖν ἐκ μέρους εἰρήσθω περὶ τοῦ νόμου. θεοῦ δέ ἡμῖν πάλιν ἢ καὶ μᾶλλον χρεία, ἐν Χριστῷ φωτίζοντος τὸν νοῦν ἡμοῖν πρὸς θέαν τῶν ἐξῆς. »ἐὰν γὰρ »μὴ βούληται (φησὶν) ὁ ἄνθρωπος λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναβήσεται ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ ἐπὶ τὴν πύλην ἐπὶ τὴν γερουσίαν καὶ ἐρεῖ« τὰ ἐπιφερόμενα. καὶ πρῶτόν γε πορατήρει ὅτι, ἐς ὅσον <μὲν> καὶ ἡ γυνὴ ἐποίει τὸ τοῦ νόμου προστεταγμένον, καὶ ὁ ἀνὴρ εἰσιὼν πρὸς αὐτὴν συνῴκει αὐτῇ καὶ ἐτέκνου ἐξ αὐτῆς, ἄνθραπος οὐκ εἴρητο ἀλλὰ »ἀδελφὸς« ἀνδρὸς τῆς γυναικός· ὅτε δέ οὐ βούλεται »λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ« καὶ »οὐ θέλει ἀναστῆσαι τοῦ ἀδελφοῦ αὐτοῦ τὸ ὄνομα ἐν Ἰσραήλ«, καὶ καλούμενος ὑπὸ τῆς γερουσίας »τῆς πόλεως« λέγει· »οὐ βούλομαι λαβεῖν αὐτὴν« καὶ ἀτιμοῦται ὑπολυόμενος »τὸ ὑπόδημα« καὶ ἐμπτύεται »εἰς τὸ πρόσωπον« ἀπὸ τῆς γυναικὸς καὶ μετονομάζεται, ἵνα »τὸ ὄνομα αὐτοῦ« ᾖ »[ὁ] οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«, τότε <οὐκέτι ἀδελφὸς ἀλλ'> λέγεται · οἱονεὶ γὰρ διὰ μέν τῆς τηρήσεως τοῦ νόμου ἐλέγετο αὐτῷ τὸ »ἐγὼ εἶπα· θεοί ἐστε <καὶ υἱοὶ> ὑψίστου <πάντες>«· τοῦ τὰ ἐναντία τῷ νόμῳ ποιεῖν οἱονεὶ ἐλέγχεται ὑπὸ τοῦ λόγου φάσκοντος πρὸς αὐτόν· »ὑμεῖς δέ ὡς ἄνθρωποι ἀποθνῄσκετε«. καὶ Πρόσχες εἰ δύνασαι νοῆσαι μετὰ τὸν θάνατον τῆς ἐκδοχῆς τοῦ γράμματος εἶναι ἄλλην <τινὰ> τοῦ νόμου διημαρτημένην καὶ οὐ πνευματικὴν οὐδὲ ἀνεπίληπτον, πλὴν τὴν γένεσιν ἔχουσαν <ἐκ νόμου> ἡμαρτημένην μὲν ἀπὸ δὲ ἀφορμῆς τῶν ἐν τῷ νόμῳ γεγραμμένων ἀρχομένην, καὶ οὐ βουλομένην »ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ« καὶ τιμῆσαι τὸ ὄνομα τοῦ νόμου. οὐ βούλεται δὲ ἡ τοιαύτη ἐκδοχὴ παραλαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ φυχήν· οὐδέ γὰρ Βέλει καρποφορῆσαι ἐπὶ τῷ δοξάσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἀδελφοῦ. διὸ ἡ γυνὴ οὐ κάτω ἔστηκεν ἡ ἑτοίμη τιμῆσαι τὸν πρότερον ἄνδρα αὐτῆς, ἀλλὰ ἀναβαίνει »ἐπὶ τὴν πύλην« καὶ τὴν εἴσοδον τῆς πόλεως ἑαυτῆς ἔχουσαν καὶ »γερουσιαν«. καὶ νοείσθω ταῦτα γινόμενα κατὰ τὴν ἐκκλησίαν καὶ τὴν εἰς αὐτὴν εἰσαγωγὴν καὶ εἴσοδον.

Ἐλέγχει οὖν ἡ γυνὴ τὸν μὴ βουλόμενον ἄνδρα καρποφορῆσαι τὸν τοιόνδε λόγον ·Λαὶ λέγει· οὐ θέλει ὁ αδελφὸς τοῦ ἀνδρός μου ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ οὐτοῦ ἐν Ἰσραήλ«. εἶτα »ἡ γερουσία τῆς πόλεως« ἐκείνης ἐξετάζουσα τὸν τοιοῦτον ἄνδρα πυνθάνεται εἰ ἀληθῶς οὐ βούλεται. ἀποκριναμένου δέ ἐκείνου τὸ μὴ βούλεσθαι, προσέρχεται αὕτη πρὸς τὸν μὴ βουληθέντα ἐξαναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐπὶ τῆς γερουσίας ἐλέγχει αὐτὸν καὶ ἀτιμάζει ὑπολύουσα »τὸ ὑπόδημα αὐτοῦ τὸ ἕν«. καὶ σκόπει ἐν τούτοις διὰ τὸ »λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου« εἰρημένον πρὸς Μωσέα καὶ Ἰησοῦν καὶ τὸ »<οὗ> οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ«, γεγραμμενον εν τῳ κατὰ Λουκᾶν καὶ <ἐν τῷ> κατὰ Μᾶρκον καὶ ἐν τῷ κατὰ Ἰωάννην, μήποτε οὐ ταὐτόν ἐστι τό λῦσαι τὸ ὑπόδημα τῷ ὑπολῦσαι· οὐ γὰρ ὑπολύσασθαι κελεύεται Μωσῆς ἢ Ἰησοῦς, οὐδὲ Ἰωάννης περὶ τοῦ σωτῆρος ὠνόμασε τὸ ὑπο <λῦσαι ἀλλὰ τὸ> λῦσαι. οὗτος οὖν ὁ νομῶν οὔτε ἐξ ὅλων ὑπολέλυται οὔτε πάντη τῇ ὑποδέσει κεκόσμηται,

ἀλλ᾽ ἐξ ἡμισείας ἑκάτερον ἔχει. διὸ ἐμπτύει »εἰς τὸ πρόσωπον αὐτοῦ« ἡ ἐπὶ τῆς γερουσίας ἐλέγξασα αὐτὸν γυνή · ἐμπτύει γὰρ πᾶσα ψυχὴ τῷ οὐ τεκνοποιοῦντι οὐδὲ καρποφοροῦντι λόγῳ, καὶ διὰ τῆς ἀνατροπῆς ὑπολύει αὐτὸν ἐν οἷς πταίει καὶ »ἀποκριθεῖσα« λέγει ὅτι »οὕτως ποιήσουσι τῷ ἀνθρώπῳ ὃς οὐκ οἰκοδομεῖ τὸν οἶκον τοῦ ἀδελφοῦ αυτου«. καὶ πρόσχες Πόλιν ἐνταῦθα ὅτι δεύτερον τὸ ἄνθρωπος ὠνόμασται ἐπὶ τοῦ ἁμαρτάνονιος, νῦν δ᾽ ἤδη καὶ μὴ οἰκοδομοῦντος »τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ«. πᾶς οὖν ὁ βλέπων τοῦτον τὸν ἄνθρωπον ὑπολυόμενον ἀπὸ γυναικὸς καὶ ἐμπτυόμενον καὶ ἀκούων αὐτῆς λεγούσης· »οὕτω ποιήσουσι τὸν εἶκον θρώπῳ, ὃς οὐκ οἰκοδομεῖ τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ«, »πάντα πρὸς οἰκοδομὴν« τοῦ ἀδελφοῦ ποιείτω· εἰ γὰρ μὴ οἰκοδομήσαι »τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ« ⟦νόμου⟧, ὑπολυθήσεται »τὸ ἓν ὑπόδημα« καὶ ἐμπτυσθήσεται καὶ »τὸ ὄνομα« παντὸς τοῦ τοιούτου »ἐν Ἰσραὴλ« παρὰ <πᾶσι> τοῖς ὁρῶσι »κληθήσεται οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημο«.

Ἰδωμεν δὲ καὶ δευτέραν εἰς τὸν ἐκκείμενον τόπον διήγησιν, καὶ ἔστωσαν δύο νόμοι ἀδελφοί, καθ᾽ οὓς ὁ μὲν τηρήσας τὸν πρότερον οὐκ ἦν »ἄνομος θεοῦ«, ὁ δὲ τὸν δεύτερον φυλάσσων ἐστὶν »ἔννομος Χριστοῦ«. καὶ νόει μοι κατὰ τὴν Χριστοῦ παρουσίαν τεθνηκένοι τὸν πρότερον νόμον, ἄνθρωπον τῆς τῶν ἀνθρώπων ψυχῆς, ἐπεὶ μὴ »δεδόξαστοι τὸ δεδοξασμένον ἐν τούτῳ τὸ μέρει« πρότερον »ἕνεκεν τῆς ὑπερβαλλούοης δόξης« τῆς κατὰ τὸ δεύτερον· δεύτερον δὲ νόμον τοῦ Χριστοῦ, ἀδελφὸν ὄντα τοῦ προτέρου καὶ διὰ Μωσέως καὶ υἱὸν τοῦ αὐτοῦ λόγον, ὃς καὶ τὸν πρότερον ἐγέννησε. κατοικούντων οὖν τούτων τῶν δύο ἀδελφῶν ἐπὶ τὸ αὐτὸ« μάλιστα κατὰ τὴν παρουσίαν ἀπέθανεν ὁ εἷς ἐξ αὐτῶν καὶ οὐκ ἦν αὐτῷ σπέρμα. ἀλλὰ ἡ γυνὴ τοῦ τεθνηκότος μετὰ τὸν θάνατον τοῦ προτέρου ἀνδρός, ἡ ὑπὸ νόμον φυχή, οὐ γίνεται »ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι«· ἐγγίζει γὰρ ἀνήρ, ὁ τοῦ εὐαγγελίου νόμος, ὡς ἀδελφὸς τοῦ ἀνδρὸς τεθνηκότος τῷ προτέρῳ νόμῳ, καὶ εἰσέρχεται πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ. οἷον ὡς ἐπὶ παραδείγματος ἰδέ μοι τὴν Παύλου ψυχὴν »ὑπὸ νόμον«, εἶτα διὰ Χριστὸν ἐξαγοράσαντα αὐτὸν ἀπὸ τοῦ νόμου γενομένην ὑπὸ τὸ εὐαγγέλιον. καὶ ὅρα εἰ μὴ ἀπέθανεν ὁ ἀνὴρ τῆς Παύλου φυχῆς, καὶ οὐδὲν ἧττον ἀποθανόντος ἐκείνου ἡ γυνὴ τοῦ τεθνηκότος οὐ γέγονεν »ἔξω«, ὡς οἴονται οἱ ἀπὸ τῶν αἱρέσεων, οὐδέ »ἀνδρὶ μὴ ἐγγίζοντι«. ὁ γὰρ »ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς« εἰσῆλθε πρὸς αὐτὴν καὶ ἔλαβεν »αὐτὴν ἑαυτῷ εἰς γυναῖκα« καὶ συνῴκησεν αὐτῇ, καὶ γέγονεν ὁ καρπὸς καὶ τὸ γέννημα κοὶ τὸ παιδίον« καὶ τὸ τεχθέν ἐκ τοῦ ὀνόματος τοῦ τετελευτηκότος«. κατὰ γὰρ τὸν πνευματικὸν νόμον τὸ εὐαγγέλιον ὀνομάζει πάντα, καὶ οὐκ ἐξήλειπται τὸ ὄνομα τοῦ τετελευτηκότος, ὅτε ἐλήλυθεν ὁ νόμος τοῦ εὐαγγελίου· παρὰ γὰρ τῷ ἀληθινῷ Ἰσραὴλ τηρεῖται καὶ τὸ ὄνομα τοῦ προτέρου. τίς δέ μετὰ ταῦτα ὁ μὴ βουλόμενος ἄνθρωπος »λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἑαυτοῦ« ἢ ὁ ἐν ταῖς αἱρέσεσι λόγος, μὴ βουλόμενος τὴν τιμήσασαν φυχὴν τὸν Πρότερον ἄνδρα καὶ τὴν μνήμην τοῦ προτέρου ἀνδρὸς παραδέξασθαι; καθ᾽ οὗ ἀναβαίνει ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ »ἐπὶ τὴν πύλην«, περὶ ἧς λέλεκται τὸ »αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ« καὶ ἀναβαίνει »ἐπὶ τὴν γερουσίαν« καὶ διαμαρτύρεται περὶ τοῦ μὴ βου- λομένου »ἀναστῆσαι σπέρμα τῷ

ἀδελφῷ αὐτοῦ ἐν Ἰσραὴλ« μηδέ τιμῆσαι τὸν τοῦ θεοῦ διὰ Μωσέως νόμον. ἐπὰν οὖν »ἡ γερουσία« πύθηται τοῦ τοιούτου ἀνθρώπου εἰ ἀληθῆ περὶ αὐτοῦ λέγει ἡ γυνὴ καὶ οὐ βούλεται ἐξαναστήσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ, τότε προσέρχεται »ἡ γυνὴ« τοῦ τεθνηκότος »ἐναντίον τῆς γερουσίας« καὶ ὑπολύει τὸ ὑπόδημα τὸ ἓν ἀπὸ τοῦ ποδὸς αὐτοῦ«, ἵνα κἂν ᾖ ὑποδεδεμένος τὸ Χριστοῦ ὄνομα, ὑπολελυμένος τε ᾖ τὸ τοῦ θεοῦ ὄνομα καὶ διὰ τοῦτό γε οὐκ ἐνδόξως οὐδὲ ἀληθῶς τὸ Χριστοῦ φορῶν ὄνομα. ἐμπτύει δέ κοὶ »εἰς τὸ πρόσωπον« τοῦ τοιούτου ἡ γυνὴ καὶ ὀνειδίζει ὡς ἀνθρώπῳ αὐτῷ, καὶ οὐ βουληθέντι θεοποιηθῆναι ἐκ τοῦ καρποφορῆσαι· καί φησιν οὕτω παντὶ ἔσεσθαι τῷ μὴ οἰκοδομήσαντι »τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ«, τοῦ εὐαγγελικοῦ λόγου, ὃς νομικός ἐστι καὶ προφητικός. καὶ ἍΠο ὄνομα οὐχ ἕξει ὁ μὴ οἰκοδομῶν τὸ ὄνομα αὐτοῦ παρὰ τοῖς Ἰσραηλίταις ἢ τοῦτο ὅτι »οἶκός« ἐστιν οὗτος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα«. πᾶς οὖν ὁ ἐν αἱρέσεσι, πάλιστα τοῖς διακοπτούσαις τὴν θεότητα καὶ τὸν νόμον ἀπὸ τοῦ εὐαγγελίου χωριζούσαις, καλινδούμενος »οἰκός« ἐστι »τοῦ ὑπολυθέντος ὑπόδημα«, ἐμπτυόμενος »εἰς πρόσωπον« κοὶ ὑπολυόμενος »τὸ ἓν ὑπόδημα«.

Καὶ τρίτην δέ τοιαύτην ὑπόνοιαν εἰς τὸν τόπον ἐξεδεξάμεθα, ἣν διὰ βραχέων ἐροῦμεν. γυνὴ μέν ἡ σοφία εἴρηται διὰ τὸ »ταύτην ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ«, <ἦν> καὶ ἐρᾶν δεῖ κατὰ τὸν εἰπόντα Σολομῶνα· »’εράσθητι αὐτῆς, καὶ τηρήσει σε«, ἀνὴρ δέ αὐτῆς ὁ σοφός. ἐὰν οὖν ὁ σοφὸς μὴ γεννήσας τινὰς ἐκ τῆς σοφίας ἀπαλλαγῇ τοῦ βίου, ὁ κατοικήσας μετ’ αὐτοῦ ἀδελφὸς καὶ ἐν τοῖς αὐτοῖς ἀναπαυσάμενος λόγοις πρεσβευέτω τῶν αὐτῶν, ἵνα γεννηθῇ ἐκ τῆς σοφίας ὁ κλέος περιποιήσων τῷ ἀπαλλαγέντι τῆς συμβιώσεως <τῷ> τὸν παραστῆσαι. εἰ δὲ μὴ βούλοιτο πρεσβεῦσαι ὁ καταλειπόμενος ἀδελφὸς τῶν λόγων, ἀτιμασθήσεται ὑπὸ τῆς σοφίας ἐξ ἡμισείας αὐτὸν ὑπολυούσης· οὔτε γὰρ οὐχ ὑπολυθήσεται ὁ τοιοῦτος οὔτε τελείως ὑπολυθήσεται. εἰς δὲ κατασκευὴν τοῦ τὸν νόμον ἄνδρα λέγεσθαι κατὰ τὴν γραφὴν γυναικὸς τῆς φυχῆς, παραθησόμεθα τὰ ἀπὸ τῆς πρὸς Ῥωμαίους οὕτως ἔχοντα· »ἢ ἀγνοεῖτε, αδελφοί, γινώσκουσι γὰρ νόμον λαλῶ, ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ’ ὅσον χρόνον ζῇ;« καὶ τὰ ἑξῆς γενομένην ἀνδρὶ ἑτέρῳ«. si fuerit cuni altero «. εἴρηται δὲ πλείονα ἡμῖν εἰς τὸν τόπον διηγουμένοις τὸ χωρίον του<τὶ> τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς ἐν τοῖς εἰς αὐτὴν ἐξηγητικοῖς.

ταῦτα μέν, εἰ καὶ μετὰ παρεκβάσεως λελέχθαι δοκεῖ, εἰρήσθω εἰς σαφήνειαν τοῦ παρὰ Μωσεῖ νόμου, οὗ μνησθέντες οἱ Σαδδουκαιοι ἐΠύθοντο τοῦ σωτῆρος λέγοντες τὸ Μωσῆς ειπεν· ἐάν τις ἀποθάνῃ μὴ ἔχων τεκνα καὶ τὰ ἑξῆς.

Φέρε δὲ μετὰ ταῦτα τὰ ἄλλα τοῦ εὐαγγελίου ἐξετάσωμεν τὰ ἀπὸ τοῦ ἦσαν δὲ παρ’ ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γήμας ἐτελεύτησε καὶ τὰ ἑξῆς. ὁ μὲν Ἡσαΐας ἐν τῇ προφητείᾳ φησίν· »’επιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνὸς λέγουσαι· τὸν ἄρτον ἡμῶν φαγόμεθα καὶ τὰ ἱμάτια ἡμῶν περιβαλούμεθα· πλὴν τὸ ὄνομα τὸ σὸν κεκλήσθω ἐφ’ ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν«. οἱ δὲ προσελθόντες Σαδδουκαῖοι τῷ σωτῆρι τὸ ἀνάπαλιν τῇ προφητείᾳ φασὶ περὶ ἀνδρῶν ἑπτὰ γαμησάντων μίαν γυναῖκα. πλάσμα δὲ δοκεῖ μοι εἶναι τὸ πρόβλημα

αὐτῶν, προθεμένων διὰ τοῦ πλάσματος τὸν περὶ ἀναστάσεως ἀθετῆσαι λόγον καὶ οἰηθέντων ἀκολουθεῖν τῇ ἀναστάσει τὸ ἔκασον τῶν ἀνισταμένων τὴν αὐτὴν ἔχειν σχέσιν πρὸς οὓς εἶχεν ἐν τῷ βίῳ τούτῳ, ἵν᾽ ὁ μὲν ἀνὴρ ἀπολάβῃ καὶ τὴν γυναῖκα μετὰ τὸ τυχεῖν ἀναστάσεως, ὁ δέ πατὴρ μείνῃ ἐν τῇ σχέσει τῇ πρὸς τὸν υἱὸν καὶ ὁ ἀδελφὸς πρὸς τὸν ἐδελφον. ἠγνόουν δέ ἄρα ὅτι ὁ δημιουργὸς πάντα ποιῶν πρὸς τὸ χρήσιμον, ὅπου μὲν γένεσίς ἐστι καὶ φθορά, πεποίηκεν ἀναγκαιως τας τοιαυτας σχέσεις, ἵν᾽ ὁ μέν τις ᾖ ἀνὴρ διὰ γυναικὸς διακονούμενος παίδων γενέσει, οἱ δὲ γεννώμενοι σχῶσί τι ἐκ τῆς διὰ τῶν αὐτῶν γενέσεως συγγενές, ὄντες ἀδελφοί· γενέσεως δέ ἔργον ἦν καὶ πατὴρ κοὶ υἱὸς καὶ μήτηρ καὶ θυγάτηρ. εἰ οὖν ἐν τῇ μακαριότητι οἱ γέρως ἀξιούμενοι διὰ τὸν ἐνεστηκότα αἰῶνα ἐν ᾧ καλῶς ἐβίωσαν ἐν ἐκείνῃ ἔσονται τῇ ζωῇ, καὶ οὐδεὶς τῶν μὴ ἀγωνισαμένων ἐνταῦθα καταξιοῦται τῆς ἐκ νεκρῶν ἀναστάσεως, δηλονότι ὧν ἐνταῦθα διὰ γένεσιν χρεία ἦν, ταῦτα οὐκ ἔσται ἐκεῖ. οὐδέν γὰρ παρέλκον ὁ θεὸς ποιεῖ οὐδὲ μάτην τι παρ᾽ αὐτῷ γίνεται. ἐχρῆν δὲ ὁρᾶν <τότε> τοὺς τὸ ἀκόλουθον αὐτῶν τῇ ὑπονοίᾳ περὶ τοῦ ἕκαστον ἀπολήψεσθαι τὴν ἑαυτοῦ γυναῖκα, ὅτι πόλιν ἐκεῖ τεκνογονίαι καὶ παίδων γενέσεις καὶ θάνατοι· εἰ δὲ ταῦτα καὶ νόσοι, εἰ δὲ γενέσεις καὶ νηπιότητες καὶ προβάσεις ἀπὸ νηπιότητος ἐπὶ τὸ συμπληροῦσθαι <τὴν> δφιάλεκτον καὶ ὕστερον τὸν καὶ ἐν τῇ συμπληρώσει τοῦ λόγου κακίαν, καὶ μόλις ποτὲ πόλιν ἀρετὴν ἐν ὀλίγοις τοῖς ζητοῦσιν αὐτὴν εὑρίσκεσθαι.

Τούτων δέ τί ἂν εἴη ματαιότερον; κοὶ βέλτιόν γέ ἐστι μὴ εἶναι ἀνάστασιν τοῦ τοιαύτην εἶναι ὁποίαν ὑπενόουν οἱ Σαδδουκαῖοι, ὑπολαμβάνοντες ἀκολουθεῖν τῇ ἐκ νεκρῶν ἀναστάσει τὸ ἀπολαμβάνειν ἕκαστον τὴν γυναῖκα · ᾧ ἀκόλουθον ἦν καὶ ἕκαστον τῶν εἰρημένων ἔσεσθαι. εἴπερ οὖν καινὸς αἰών ἐστιν ἐλπιζόμενος κοὶ ὡς ὠνόμασεν Ἡσαΐας) »οὐρανὸς καινὸς καὶ γῆ καινὴ« καὶ ὡς ἐν τῷ εὐαγγελίῳ γέγραπται »ποτήριον« κοινῆς διαθήκης, ἀπὸ ἀμπέλου οἶμαι καινῆς, ἑτεροῖα δεῖ εἶναι πάντα τὰ τῆς ἐκεῖσε ζωῆς καὶ ἀληθῶς μακάρια. ὥσπερ δέ, ὡς ὁ λόγος ἀπέδειξεν, ἠκολούθησε τῷ εἶναι γυναῖκα καὶ ἄνδρα τὸ ἔσεσθαι κοὶ τέκνα πατέρων καὶ ἀδελφοὺς ἀδελφῶν καὶ μητέρος τῶν γεννωμένων, οὕτω μήποτε ἀκολουθεῖ τῷ μὴ εἶναι γυναῖκα ἢ ἄνδρα τὸ μηκέτι ἔσεσθαι πατέρα καὶ μητέρα καὶ ἀλλήλων τινὰς ἀδελφούς, τάχα οὐ περὶ μελλόντων μόνον ἀλλὰ κοὶ τῶν παρεληλυθότων. ἐκεῖ γὰρ οὐκέτι τοῦ κατὰ σάρκα γένους ἔσται μνήμη παρὰ τοῖς εὐλόγως ἀκούουσι τοῦ »μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε· ἰδοὺ ποιῶ καινὰ πάντα«. καὶ κατὰ τοῦτο ἐν τῷ μέλλοντι αἰῶνι οὐ χρηματίσει πατὴρ τοῦ Ἀβραὰμ ὁ Θάρρα οὐδὲ τοῦ Ἰσμαὴλ καὶ τῶν ἀπὸ Χεττούρας ὁ Ἀβραάμ, τάχα δὲ οὐδέ τοῦ Ἰσαάκ· »τὰ γὰρ ἀρχαῖα παρῆλθε« καὶ τότε λεχθήσεται τὸ »ἰδοὺ γέγονε κοινὰ πάντα«. εἰ δέ ἐστιν ἄλλως τις παρὰ »τὸ κατὰ σάρκα« ἀδελφὸς καὶ ἑτέρως παρὰ τὰ ἐν γενέσει Πράγματα πατὴρ καὶ υἱός, οὐκέτι διὰ γυναικὸς οὐδέ δι᾽ ἀσχημόνων μερων του σωματος, ἀλλὰ ἀνάλογον τῷ καὶ τὸν σωτῆρα υἱὸν εἶναι τοῦ θεοῦ, ἐπιστήσει ὁ δυνάμενος τὰ τηλικαῦτα ὀρθῶς ζητεῖν χωρήσας »τὸ πάντα« ἐρευνῶν »πνεῦμα, καὶ τὰ βάθη τοῦ θεοῦ«.

Ἐγὼ δέ οὐ μόνον ἐπὶ τούτων τὸ ἑτεροῖον καὶ ὥσπερ ὁμώνυμον παραλαμβάνω, λέγω τὰ ἀδελφοῦ κοὶ πατρὸς καὶυἱοῦ, ἀλλὰ καὶ περὶ γυναικὸς καὶ ἀνδρός. ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν ἀληθὲς καὶ τὸ οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ᾽ εἰσὶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, ἀληθὲς δὲ καὶ τὸ ὡς ἐν παραβολῇ εἰρημένον περὶ ἑτεροίου παρὰ τοὺς ἐπὶ γῆς γάμους ἐν τῷ »ὡμοιώθη ἡ βασιλεία οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ποιῶν γάμους τῷ υἱῷ αὐτοῦ« καὶ τὰ ἑξῆς καὶ ἐν τῷ »τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν« καὶ τὰ ἑξῆς. οὐκοῦν ὁ υἱὸς τοῦ βασιλέως ἐν τῇ ἀναστάσει τῶν νεκρῶν γαμεῖ γάμον παρὰ πάντα γόμον, ὃν ὀφθαλμὸς εἶδε καὶ οὖς ἤκουσε »καὶ ἐπὶ καρδίαν ἀνθρώπου« ἀνέβη· καὶ ἔσται ὁ σεμνὸς καὶ θεῖος ἐκεῖνος καὶ πνευματικὸς γάμος ἐν ἀρρήτοις ῥήμασιν, ἃ μὴ ἔξεστιν ἀνθρώπῳ λαλεῖν. ζητήσει δέ τις εἰ ἀνάλογον τῷ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν τοῦ νυμφίου γάμῳ εἰσὶ καὶ ἄλλοι γάμοι ἢ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν μόνος ὁ νυμφίος, καταργήσας πάντα γόμον, γαμεῖ γόμον, οὐχ ὅπου »ἔσονται οἱ δύο εἰς σάρκα μίαν«, ἀλλ᾽ ὅπου κυριώτερόν ἐστιν εἰπεῖν ὅτι ἐν πνεῦμά εἰσιν ὁ νυμφίος καὶ ἡ νύμφη. ἀλλ᾽ ὅρα μήποτε ὀλίσθῃς ἀκούων τοιούτων λόγων πρὸς τό τὴν περὶ τῶν αἰώνων μυθοποιίαν, ἀρρένων καὶ θηλειῶν, παραδέξασθαι κατὰ τοὺς ἀναπλάσαντας τὰς συζυγίας αὐτῶν οὐδαμῶς <οὔσας οὐδ’> ὑπὸ τῶν ἱερῶν γραμμάτων δηλουμένας.

Ἐπεὶ οὐδεμιᾶς τροπολογίας δεῖται τὸ πύσμα τῶν Σαδδουκαίων περὶ τῶν ἑπτὰ ἀδελφῶν ἐσχηκότων μίαν γυναῖκα, φέρε κατανοήσωμεν τοὺς τοῦ σωτῆρος περὶ ταῦτα λόγους, ἐν οἷς φησι · πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ᾽ εἰσὶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ. πρὸς τοῦτο δέ ζητήσει τις τοιαῦτα· ὁ λέγων σωτὴρ τοῖς Σαδδουκαίοις· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδέ τὴν δύναμιν τοῦ θεοῦ ἐμφαίνει κατὰ τὰς γραφὰς παρίστασθαι τὸ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν μὴ εἶναι γόμους, ἅτε τῶν ἀνθρώπων <ὁμοιωθ>ησομένων τοῖς ἐν ἀγγέλοις παρ’ οἷς οὐκ ἔστι γόμος. ποία οὖν γραφὴ δηλοῖ ὅτι ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε γαμίζονται; καὶ ποῦ τοῦ νόμου ἢ τῶν προφητῶν μανθάνομεν περὶ τῶν ἀναστησομένων ὅτι ἔσονται ὡς οἱ ἐν τῷ οὐρανῷ ἄγγελοι; σαφῶς γὰρ τοιαῦτα ἐν τῇ παλαιᾷ γραφῇ οὐχ εὑρίσκομεν. κατὰ μὲν τὸν Λουκᾶν τοῦτο οὐ ζητηθήεται, ἀναγράψαντα τὸν σωτῆρα εἰρηκέναι· »οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γεννῶσι καὶ γεννῶνται, γαμοῦσι καὶ γαμίσκονται« καὶ <τὰ> ἑξῆς καὶ μὴ εἰπόντα ἐν τῷ τόπῳ τούτῳ τι πρὸς τοὺς Σαδδουκαίους καὶ περὶ τοῦ ἐν ταῖς γραφαῖς ταῦτα δηλοῦσθαι. κατὰ δέ τὸν Ματθαῖον ζητηθείη ἂν, ὁμοίως δέ κοὶ κατὰ τὸν Μᾶρκον· κατ᾽ αὐτὸν γὰρ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε τοῖς Σαδδουκαίοις· »οὐ διὰ τοῦτο πλανᾶσθε μὴ γινώσκοντες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ; ὅταν γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίσκονται, ἀλλ᾽ εἰσὶν ὡς οἱ ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς«.

Ἕκαστος μέν οὖν τῶν ἐπιστησάντων τῇ ἐπαπορήσει ἡμῶν ζητείτω ἀπὸ τῶν γραφῶν παριστάμενα τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα περὶ τῶν μετὰ τὴν ἀνάστασιν. ἡμεῖς δὲ τοιαῦτα φήσομεν ὅτι περιέχουσι ταῦτα αἱ γραφαὶ οὐκ αὐτολεξεὶ οὐδ’

ὥστε τοῖς τυχοῦσι νοηθῆναι, ἀλλ᾽ ἐν τροπολογίᾳ. »σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν« καὶ νομοθετήσας τινὰ περὶ γυναικῶν καὶ ἀνδρῶν καὶ δηγησάμενος γάμους δικαίους, οὐ περὶ τούτων προηγουμένως λέγει ἃ ἐκ τῆς Προχείρου λέξεως ἐκλάβοι τις ἄν. ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς προαπεφήναμεν παραθέμενοι τὰ περὶ τοῦ γόμου τοῦ σωτῆρος <καὶ ἐκκλησίας> ἐσομένου ἐν τῷ αἰῶνι. οἷον <εἰ> »Ἀβραὰμ δύο ἔσχεν, ἵνα ἐκ τῆς παιδίσκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. καὶ ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας διά τῆς ἐπαγγελίας«, οὐ πάντως στῆναί με δεῖ ἐπὶ τοῦ αἰσθητοῦ γάμου τῆς ἐλευθέρας καὶ τῆς πρὸς τὴν παιδίσκην κοινωνίας· ταῦτα γάρ ἐστιν ἀλληγορούμενα«. ἀλλ᾽ εἰ καὶ ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, κοὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν«, οὐχ οὕτως ἀκουστέον τοῦ λεγομένου ὡς οὐδὲν μυστήριον δηλοῦντος · »τὸ« γὰρ »μυστήριον τοῦτο μέγα ἐστὶ« κοὶ ὡς Παῦλός φησιν) »εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν« ἀναφερόμενον. καὶ πρὸ βραχέος δὲ ἐκθέμενοι τὸ περὶ τῆς γαμουμένης τῷ ἀδελφῷ τοῦ τετελευτηκότος ἀνδρὸς αὐτῆς ὡς ἐδυνήθημεν ἐξητάσαμεν τὸ βούλημα τοῦ νόμου. εἰσὶ δὲ κοὶ ἄλλοι μυρίοι περὶ γυναικὸς καὶ ἀνδρὸς νόμοι ὡς περὶ τοῦ βιβλίου τοῦ ἀποστασίου καὶ περὶ τῶν δύο γυναικῶν ἑνὶ ἀνδρὶ γινομένων, μιᾶς μὲν ἀγαπωμένης ἑτέρας δὲ μισουμένης, καὶ περὶ τῆς γαμουμένης αἰχμαλώτου τῷ αὐτῆς ἐρασθέντι, γαμουμένης δέ μετὰ τὸ ξύρασθαι καὶ ἐν πενθικοῖς κλαῦσαι τὸν πατέρα καὶ τὴν μητέρα αὐτῆς), ὧν ἕκαστος τὸ σεμνὸν καὶ θεῖον ἔχει ἐν τῇ εὑρισκομένῃ ἀληθινῇ τροπολογίᾳ. εἴ τις οὖν ἀναγινώσκων τὸν νόμον καὶ τὰ περὶ γάμων γυναικῶν καὶ ἀνδρῶν διεξερχόμενος οἴεται μηδὲν πλέον τῶν ὑπὸ τοῦ γράμματος σημαινομένων *** δήλοῦσθαι, πλανᾶται μὴ εἰδὼς τὰς γραφὰς μηδέ τὴν δύναμιν τοῦ θεοῦ.

Ζητήσαι δ᾽ ἂν τις εἰ <τὸ> πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς λεγόμενον τοῖς Σαδδουκαίοις, μὴ προσιεμένοις ἄλλην γραφὴν ἢ τὴν νομικήν, ἀναφορὰν ἔχει καὶ ἐπὶ ἑτέρας παρὰ τὸν Μωσέως νόμον γραφάς. ὁ μέν οὖν τις φήσει κατ᾽ αὐτὸ τοῦτο ἐγκαλεῖσθαι τοὺς Σαδδουκαίους ὅτι μὴ προσιέμενοι τὰς ἐξῆς τῷ νόμῳ γραφὰς πλανῶνται μὴ εἰδότες αὐτός. ἕτερος δέ ἐρεῖ· ἀρκεῖ πρὸς τὸ τὴν πλάνην ελέγχεσθαι τῶν Σαδδουκαίων τὸ μὴ εἰδέναι αὐτοὺς τὰς κατὰ Μωσέα γραφὰς τῷ μὴ ἐκλαμβάνειν τὸν ἐν ταύταις θεῖον νοῦν. δύο μέντοιγε πράγματά φησι μὴ εἰδέναι τοὺς Σαδδουκαίους, ἔν μέν τὰς γραφάς, ἕτερον δέ τὴν δύναμιν τοῦ θεοῦ, ἀφ᾽ ἧς δυνάμεως τὰ τῆς ἀναστάσεως γίνεται καὶ ἡ κοινὴ ἐν αὐτῇ ζωή. δύναται δέ τις <λέγειν> τὸ μηδὲ τὴν δύναμιν τοῦ θεοῦ εἰδέναι λέγεσθαι τοὺς Σαδδουκαίους ἀναρέρειν ἐφ᾽ ἑαυτὸν τόν σωτῆρα· ἐπείπερ Χριστὸς θεοῦ δύναμίς ἐστι καὶ θεοῦ σοφία, καὶ ἠγνόουν αὐτὸν οἱ Σαδδουκαῖοι, ὡς μὴ εἰδότες τὰς περὶ αὐτοῦ γραφὰς μηδὲ οἷα διακονήσεται τῇ ἐκ νεκρῶν ἀναστάσει τῶν σωθησομένων. ὁ δὲ μὴ ἀρεσκόμενος τῷ διὰ τῆς τροπολογίας λύεσθαι τὸ περὶ τοῦ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδέ τὴν δύναμιν τοῦ θεοῦ ἐπηπορημενον, δυεῖν θάτερον ποι<εῖν δε> ήσει, ἢ ἀπιστήσει τοῖς ἐκκειμένοις ῥητοῖς ὡς οὐ καλῶς ἀναγεγραμμένοις, τῷ μὴ ἂν τὸν σωτῆρα τὰ μὴ γεγραμμένα εἰρηκέναι ὡς

γεγραμμένα, ἢ τολμήσει ἀπιστῆσαι ὡς οὐκ ἀληθεύσαντι τῷ Ἰησοῦ. καὶ τρίτος δ' ἂν τις, ἐπὶ τοὺς ἀποκρύφους καταφεύγων λόγους, ἔνθα δοκεῖ σαφέστερον τὰ περὶ τῆς μακαρίας γεγράφθαι ζωῆς, φήσει ἐπ' ἐκείνους τὴν ἀναφορὰν εἶναι τῶν ἐνταῦθα γεγραμμένων ἐν τῷ πλανᾶσθε μὴ εἰδότες τὰς γραφάς. καὶ ὅρα εἰ μὴ πάντοθεν ἀτόποις περιπεσεῖται διὰ τό φεύγειν τὴν προπολογίαν. εἴτε γὰρ τῇ γραφῇ ἀπιστεῖ, παρὰ τὸν ἐκκλησιαστικὸν ποιήσει λόγον· εἴτε τῷ Ἰησοῦ, ὡς κατὰ σάρκα Ἰουδαῖος τὸ τοιοῦτο ποιήσει · εἴτε ἐπὶ τοὺς ἀποκρύφους <λόγους> οὐκ ἐπὶ ὁμολογούμενον πρᾶγμα παρὰ τοῖς πεπιστευκόσιν ἐλεύσεται. διόπερ ἐμοὶ οὐκ ἄλλως φαίνεται δύνασθαι λύεσθαι τὸ πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ· ἐν γὰρ τῇ ἀναστάσει οὔτε γα. μοῦσιν οὔτε γαμίσκονται ἢ διὰ τῆς ἀνάλογον κειμένης ἀλληγορίας παρὰ τῷ ἀποστόλῳ ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ περὶ παιδίσκης καὶ ἐλευθέρας, ἀποδοθησομένης καὶ εἰς τὰς λοιπὰς γραφὰς ἔνθα περὶ ἀνδρὸς καὶ γυναικὸς λέλεκταί τι. καὶ ὥσΠερ πλανῶνται οἱ διὰ τό μὴ τροπολογεῖν τὰ προφητικὰ οἰόμενοι μέλλειν ἡμᾶς μετὰ τὴν ἀνάστασιν ἐσθίειν καὶ πίνειν σωματικὰ βρώματα <καὶ πόματα>, ἐπεὶ <καὶ> αἱ λέξεις <προφητικῶν> γραφῶν τοιαῦτα οὕτως καὶ καῖ περὶ γάμων γεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν τηροῦντες ἐπὶ τοῦ ῥητοῦ καὶ οἰόμενοι συνουσίαις ἡμᾶς καὶ τότε χρήσεσθαι, δι' ἃς οὐδὲ σχολάζειν ἐστὶ »τῇ προσευχῇ« δυνατὸν ἐν μολυσμῷ πως ὄντων καὶ ἀκαθαρσίᾳ τινὶ τῶν χρωμένων ἀφροδισίοις.

Μετὰ ταῦτα ζητῶ πότερον τὸ πλανᾶσθε μὴ μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ ἐπὶ μόνον ἀναφέρεται τὸ ἐν γὰρ τῇ ἀνστάσει οὔτε γαμοῦσιν οὔτε γαμίσκονται ἢ καὶ ἐπὶ ἀλλ' εἰσὶν ὡς οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ. οὐ γὰρ εὑρίσκω, ποῦ τῆς γραφῆς λέγονται οἱ σωθησόμενοι εἶναι ὡς ἄγγελοι ἐν τῷ οὐρανῷ· εἰ μὴ ἄρα τις καὶ τοῦτο φήσει δηλοῦσθαι ἐν τῷ »σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρος σου μετ εἰρήνης, τραφεὶς ἐν γήρᾳ καλῷ« καὶ <τῷ »προσετέθη πρὸς τὸν αὐτοῦ« τῷ »προσετέθη πρὸς τὸ γένος αὐτοῦ«. ἢ τῷ ἐν Δευτερονομίῳ λεγομένῳ περὶ ἀνθρώπου ὡς τεταγμένου ὑπὸ θεοῦ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς · ἑαυτῷ δὲ τὴν λέξιν τηρήσας εὑρήσεις. ἐξῆς τούτῳ ἔστιν ἰδεῖν τὸ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ λέγοντος· ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ καὶ ὁ θεὸς Ἰσαὰκ Λ·αὶ ὁ θεὸς Ἰακώβ; οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν ἀλλὰ ζώντων. καὶ εἰς τοῦτο δὲ φήσομεν ὅτι μυρία δυνάμενος περὶ τοῦ ὑπάρχειν τὴν μέλλουσαν ζωὴν τοῖς ἀνθρώποις παραθέσθαι ἀπὸ προφητῶν ὁ σωτήρ, τοῦτο ου πεποιηκεν, διὰ τὸ τοὺς Σαδδουκαίους μόνην προσίεσθαι τὴν Μωσέως γραφήν, ἀφ' ἧς ἐβουλήθη αὐτοὺς συλλογισμῷ δυσωπῆσαι τοιοῦτό τι δηλοῦντι· ὁ θεὸς εἶπε Μωσεῖ· ἐγώ εἰμι θεὸς Ἀβραάμ καὶ θεὸς Ἰσαάκ καὶ θεὸς Ἰακώβ«, ἡνίκα ἐπὶ τῆς βότου ἐχρημάτισεν αὐτῷ. ἤτοι οὖν ὁ θεὸς θεὸς ὄντων ἐστὶν ἢ θεὸς οὐκ ὄντων. ἀλλ' ἄτοπον λέγειν ὅτι ὁ θεὸς ὁ εἰπών· <»ἐγώ εἰμι> ὁ ὢν«, »τοῦτό μοί ἐστιν ὄνομα«, τῶν οὐδαμῶς ὄντων θεός ἐστιν. εἰ δέ τοῦτο ἄτοπον, ὄντων θεός ἐστι καὶ ζώντων καὶ ὑφεστηκότων καὶ αἰσθανομένων τῆς χάχάριτος, ἧς αὐτοῖς ὁ θεὸς ἐδωρήσατο. θεὸν ἑαυτὸν ἀναγορεύων αὐτῶν καὶ λέγων· »τοῦτό μού ἐστι μνημόσυνον αἰώνιον«. ζῶσιν ἄρα αἰσθανόμενοι τοῦ θεοῦ καὶ τῆς χάριτος αὐτοῦ ὁ

Ἀβραάμ καὶ ὁ Ἰσαάκ καὶ ὁ Ἰακὼβ <καὶ> καθ’ ἕκαστον αὐτῶν χρηματίζει θεός· οὐ γὰρ γέγραπται· »ἐγὼ θεὸς Ἀβραὰμ« καὶ Ἰσαάκ καὶ Ἰακώβ, ἀλλ᾽ »ἐγώφ εἰμι θεὸς Ἀβραάμ καὶ θεὸς Ἰσαάκ καὶ θεὸς Ἰακώβ«. καὶ οὕτως γε ἀνέγραψαν Ματθαῖος καὶ Μᾶρκος καὶ Λουκᾶς, ἵν᾽ οἶμαι) παραστήσωσι τοῖς προσέχουσι τῇ ἀναγνώσει ὅτι καθ’ ἕκαστον αὐτῶν ὁ θεὸς θεός ἐστι, τοῦτ’ ἐξαίρετον αὐτοῖς χαριζόμενος. οὐ γὰρ ἦσαν ὅμοιοι τοῖς Ἑβραίοις, ἵνα συλληπτικῶς ὥσπερ ἐκείνων οὕτω καὶ τούτων ὁ θεὸς λέγηται. επ εκεινων μὲν γὰρ γεγραπται· »ο θεὸς τῶν Ἑβραίων ἀπέστειλέ με«, ἐπὶ δέ τούτων κατὰ ἕνα, ἵνα παραστήσῃ ὁ λόγος ὅτι εἷς Ἀβραάμ ἰσότιμος ὅλῳ ἔθνει Ἑβραίων ἐστίν · οὐ γὰρ ἐπίσης ἐστὶν ὁ θεὸς θεὸς Ἀβραάμ καὶ θεὸς Ἑβραίων. τὸ δ’ ὅμοιον ἐρεῖς καὶ περὶ τοῦ θεὸν αὐτὸν εἶναι τοῦ Ἰσαάκ καὶ θεὸν τοῦ Ἰακὼβ ὡς θεὸν τῶν Ἑβραίων. τοιαύτης δὲ τιμῆς ἠξιῶσθαι νομίζω καὶ τὸν Ἠλίαν, διὸ ἀναγέγραπται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· »ὁ θεὸς Ἠλιοῦ«.

Τοῦ μέν οὖν Ἀβραάμ θεὸς μόνον ἦν ὁ θεός, ὁμοίως δέ καὶ τοῦ Ἰσαάκ καὶ τοῦ Ἰακώβ. τοῦ δὲ κρείττονος αὐτῶν σωτῆρος ἡμῶν οὐ μόνον θεός ἐστιν ὁ θεός, ἀλλὰ καὶ πατήρ. διὸ καλῶς λέγεται παρὰ τῷ ἀποστόλῳ· » εὐλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ«. οὗτος δὴ Ἰησοῦς Χριστός, οὗ »εὐλογητὸς ὁ θεὸς καὶ πατήρ«, ἐχαρίσατο τοῖς γνησίοις αὐτοῦ μαθηταῖς τὸ τὸν αὐτὸν εἶναι αὐτῶν οὐ μόνον θεὸν ἀλλὰ καὶ πατέρα. φησὶ γὰρ ἀναστὰς ἐκ νεκρῶν πρὸς τὴν Μαριάμ· »μή μου ἅπτου, οὔπω γὰρ ἀναβέβηκα προς τὸν πατερα μου · πορεύου δέ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπέ αὐτοῖς · ἀναβαίνω πρὸς τὸν πατερα μου καὶ πατερα υμων καὶ θεόν μου καὶ θεὸν ὑμῶν«. ἐγὼ δ’ οἶμαι ὅτι τότε καὶ τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαάκ καὶ τῷ Ἰακὼβ ἐχαρίσατο, ἵνα μηκέτι μόνον θεὸς ᾖ αὐτῶν ὁ θεὸς ἀλλ᾽ ἤδη καὶ πατήρ. ὁ δέ Λουκᾶς προσέθηκε τῷ »οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν ἀλλὰ ζώντων«, κειμένῳ καὶ παρὰ Ματθαίῳ καὶ Μάρκῳ, τὸ »πάντες γὰρ αὐτῷ ζῶσιν«. ὅπερ ἦν οὐχ ὁ τυχὼν ἔπαινος τῶν πατριαρχῶν, ἅτε τοῦ τηλικούτου σωτῆρος ἡμῶν μαρτυροῦντος αὐτοῖς οὐ μόνον ὅτι ζῶσιν, ἀλλὰ καὶ ὅτι ο ζῶσι θεῷ ζῶσι καὶ οὐκ ἄλλῳ τινί. τοῦτο δὲ τὸ »πάντες γὰρ αὐτῷ ζῶσι« καλὸν παντὶ τρόπῳ ἀσκεῖν ἡμᾶς καὶ ἀναλαβεῖν, ἵνα πάντες μηδενὶ ἄλλῳ ἢ τῷ θεῷ ζήσωμεν ἐν Χριστῷ. τὴν δὲ ἐν βραχυλογίᾳ ἀπόδειξιν ἐκ τῶν Μωσέως γραμμάτων, τοῖς μόνα ἐκεῖνα παραδεχομένοις ὡς θεῖα περὶ τοῦ ζῆν τοὺς πατριάρχας, ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο, τὴν διδαχὴν ἀποδεχόμενοι τοῦ σωτῆρος σοφωτάτην καὶ δυναμένην τοὺς δυσπίστως ἔχοντας ἐπιστρέφοι πρὸς αὐτόν.

Source. Greek text from the First Thousand Years of Greek project of the Open Greek and Latin project (digital edition of *Origenes Werke* edited by Erich Klostermann (Leipzig, J. C. Hinrichs’sche Buchhandlung: 1935-1937)), encoded in EpiDoc TEI XML. Digitised and corrected by the Open Greek and Latin team (University of Leipzig and partners); the text is taken from the printed edition by OCR with correction, so some errors may remain. SermonIndex has only divided it into short

sections for reading; the critical notes, margin notes and apparatus of the printed edition are not shown here but are kept in the XML download.

Licence. Creative Commons Attribution-ShareAlike 4.0 International (CC BY-SA 4.0). You may share and adapt this text if you credit the Open Greek and Latin project and release your version under the same licence.